B I B L I O T H E C A
SCRIPTORVM GRAECORVM ET ROMANORVM
T E V B N E R I A N A

MICHAELIS PSELLI

ORATIONES HAGIOGRAPHICAE

EDIDIT

ELIZABETH A. FISHER



STVTGARDIAE ET LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI MCMXCIV

Gedruckt mit Unterstützung der Förderungs-
und Beihilfefonds Wissenschaft der VG WORT GmbH,
Goethestraße 49, 80336 München

Die Deutsche Bibliothek – CIP-Einheitsaufnahme

Michael ⟨Psellus⟩:
[Orationes hagiographicae]
Michaelis Pselli Orationes hagiographicae /
ed. Elizabeth A. Fisher.
– Stutgardiae ; Lipsiae : Teubner, 1994
(Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana)
ISBN 3-8154-1665-5
NE: Fisher, Elizabeth A. [Hrsg.]; Michael ⟨Psellus⟩: [Sammlung]

Printed in Germany
Satz und Druck: INTERDRUCK Leipzig GmbH
Buchbinderei: Druckhaus „Thomas Müntzer“ GmbH, Bad Langensalza

HOC VOLVMEN CONTINET

D. M.
Leendert Gerrit Westerink

PRAEFATIO

Hoc volumine comprehenduntur orationes Michaelis Pselli quae hagiographicae designari possunt, id est quae dies festos aut miracula laudant et explicant. octo vere sunt huiusmodi orationes, editae e codicibus nunc primum aut denuo examinatis. quibus in orationibus descripti sunt septem festi dies: in sanctum Auxentium (14 Feb.), in annunciationem (25 Mar.), in crucifixionem, in decollationem Ioannis Baptistae (29 Aug.), in archangelum Michaelem (8 Nov.), in praesentationem deiparae (21 Nov.), et in Symeonem Metaphrastem (28 Nov.). oratio hagiographica etiam octava non festum diem sed miraculum in Blachernis Iulio 1075 patefactum tractat, quo mense hanc orationem ab imperatore Michaele Duca desideratam Psellus fecit. illis tamen orationibus ad festum diem celebrandum usi sunt monachi privatique, secreto aut publice adorantes.

DE CODICIBVS PRINCIPALIBVS

Codex Vaticanus graecus 672 saec. XIII, chart., ff. 291, 229 × 155, M. Pselli opera varia (huius editionis # 1, 4, 5) continet.[1] qui nonnullis in locis difficulter legitur, quia ante saec. XVII plurima folia humore blattisque laesa sunt, nunc aut refecta aut contexta chartis translucidis. in   V

1 R. Devreesse, Codices Vaticani Graeci III, Romae 1950, 122–126.

folio 291 mensis Iulius 1293 indicatur. hic est codex princeps duobus orationibus (# 4, 5).

Codex Vaticanus graecus 1900 saec. XVII, chart., ff. VII + 446, 273 × 215, Pselli opera varia habet.[2] A. D. 1625–1630 a Laurentio Portio et aliis transcriptus est e codice Vat. gr. 672, cuius ordo foliorum tunc turbatus est.[3] ad hanc editionem faciendam Vat. gr. 1900 non adhibitus est.

Nonnulla autem opuscula e V transcripta sunt duobus in codicibus.

u Codex Vaticanus Urbinas 134 saec. XV, chart., ff. 258, 211 × 149, miscellanea opera auctorum diversorum et Pselli (huius editionis # 4,5) habet.[4] pars Pselliana a Phrancopulo scripta est.

i Codex Vallicellianus 166 saec. XVII, viginti quinque opera varia Michaelis Pselli[5] (huius editionis # 5) alia manu alia iussu Allatii praebet.[6]

u et i velut coniecturarum fontibus haec editio usa est.

Unam orationem (# 1) continent V atque quattuor alii codices:

l Codex Athous Laurae Γ 99 saec. XIV ineuntis, perg., ff. 253, 240 × 160, novem vitas et encomia sanctorum

2 P. Canart, Codices Vaticani Graeci 1745–1962 I, Romae 1970, 581–586 et II, p. LVIII.

3 P. Canart, 'Notes et documentations pour l'histoire des vaticani graeci 1487–1962,' Studi e testi 284 (1979) 102, 109.

4 C. Stornajolo, Codices Urbinates Graeci Bibliothecae Vaticanae descripti, Romae 1895, 248–255.

5 E. Martini, Catalogo di manoscritti greci esistenti nelle biblioteche italiane II, Milan 1902, 210–211.

6 A. Littlewood, Michaelis Pselli oratoria minora, Leipzig 1985, VII.

praebet, ultimo in folio annum 1303 indicante colophonte.[7]

n Codex Nicosianus 18 saec. XIV, chart., ff. 194, 215 × 150, septem opera hagiographica auctorum diversorum habet.[8]

c Codex Athous Vatopedinus 636 saec. XV ineuntis, chart., ff. 385, 270 × 190, undeviginti orationes panegyricas habet, in folio 385 annum 1417 indicante colophonte.[9]

s Codex Athous Esphigmenou 78 saec. XV ineuntis, chart., tres vitas sanctorum Februario Martioque in mensibus commemoratorum habet, colophonte mensem Augustum 1417 indicante.[10]


Omnes hi codices non solum ordinem et electionem verborum faciliorem reddiderunt sed autem errores singulares praebent, ut nullus optimus sit. quorum **V l n** multas praetermissiones passi sunt, quas **c s** non monstrant. erroribus tunc consideratis, **c** cum **s** et **l** cum **n** consociatur, atque **V** similior **l** et **n** quam **c** et **s** est. Hoc stemma fieri potest, necessitudinem inter codices reddens:

7 S. Eustratiades et Spyridon Lauriotes, Catalogue of the Greek Manuscripts in the Library of the Laura on Mt. Athos (Harvard Theological Studies 12), Cambridge, Mass, 1925, 46–47.

8 Ch. I. Papaioannou, *'Κατάλογος τῶν χειρογράφων τῆς Βιβλιοθήκης τῆς Ἀρχιεπισκοπῆς Κύπρου,' Ἐπετηρὶς τοῦ Φιλολογικοῦ Συλλόγου Παρνασσοῦ* 9 (1906), 97–98.

9 S. Eustratiades et Arcadius Vatopedinus, Catalogue of the Greek Manuscripts in the Library of the Monastery of Vatopedi on Mt. Athos (Harvard Theological Studies 11), Cambridge, Mass. 1924, 127.

10 S. P. Lambros, Catalogue of the Greek Manuscripts on Mt. Athos I, Cambridge 1895, 179.



mihi autem videtur hoc stemma inutile esse ad textum constituendum, quia quisque codex solus varie lectionem optimam praebet (e. g. l in 1 A 417–418, n in 1 A 37 et 394, s in 1 A 73 et 1 Γ 672–673) et l in margine 1 B 132 contaminationem monstrat. haec recensio igitur aperta mihi videtur et quaeque lectio pensa est. P.-P. Ioannou, qui l inspicere nequivit, similiter codicum necessitudinem aestimavit.[11]

Duas orationes (huius editionis # 3, 7) duo codices continent:

O Codex Bodleianus Baroccianus 131 saec. XIII medii,

11 P.-P. Ioannou, Démonologie populaire – démonologie critique au XIe siècle, Wiesbaden 1971, 56–57.

chart. orient., ff. 536, 256 × 170 habet opera varia et M. Pselli (huius editionis # 3, 7) et auctorum saec. XII florentium e manibus octo scribarum,[12] quorum unus codicem **B** scripsit.[13]

Codex Barberinianus graecus 240 saec. XIII exeuntis, chart., ff. 218 olim 225, 252 × 175 et 205 × 145, miscellanea rhetorica et octoginta duo opera Pselliana (huius editionis # 3, 7) continet, madore multum mutilatus et nunc recens refectus chartisque translucidis contectus.[14] manus secundae in margine adnotationes tribuendae sunt Leoni Allatio, conferenti cum **r**.[15] **B**

Codex Athous Vatopedinus 164 saec. XIII medii, bombyc., ff. 209 initio mutilatus, 330 × 230, quattuor opera dogmatica aut hagiographica (huius editionis # 3) habet.[16] **w**

Inscriptio, praetermissiones (e. g. 3 A 8, 3 A 174 et cett.) et multae lectiones concinentes (e. g. 3 A 9, 3 A 231 et cett.) indicant codices **B** et **w** consociari, ut lacunae aut loca incerta codicis **B** saepe a socio **w** suppleantur (e. g. 3 A 588, 3 A 591–592, 3 A 603 et cett.). cum **O** et **B** non in praetermissionibus concinant, non socii sunt.[17]

Codex Vaticanus graecus 567 saec. XIV, chart., ff. 246, **r**

12 N. G. Wilson, 'A Byzantine Miscellany, Ms. Barocci 131 Described,' Jahrbuch der Oesterreichischen Byzantinistik 27 (1978), 157–179.

13 N. G. Wilson, Medieval Greek Bookhands, Cambridge, Mass. 1973, 29.

14 P. Canart, 'Nouveaux inedits de Michel Psellos,' Revue des Études Byzantines 25 (1967), 43–60 praecipue 47–52.

15 Cf. S. G. Mercati, Bollettino di filologia classica 43 (1937), 164.

16 S. Eustratiades et Arcadius Vatopedinus, 38, et P. Gautier, 'Un discours inédit de Michel Psellos,' Revue des Études Byzantines 49 (1991), 8.

17 Cf. Gautier, 9.

223 × 150, quattuordecim sermones vitasque sanctorum (huius editionis # 7) habet.[18] manus secundae autem in margine adnotationes tribuendae sunt Leoni Allatio, conferenti cum **B**.[19]

b Codex Bodleianus Auct. T. 1. 11 (olim Misc. gr. 189) saec. XV ineuntis, bombyc., ff. 205 maculis foraminibusque laesus, varia Pselliana (huius editionis # 7) et miscellanea rhetorica continet.[20]

Su. Laurentius Surius vitam Symeonis Metaphrastae (huius editionis # 7) linguam in Latinam transtulit,[21] usus codici **r** simili codice ignoto (e.g. 7.5–6, 7, 18 et cett.)

Quamquam haec traditio multum contaminata est, quod monstrant collationes Allatii in marginibus **B** et **r**, omnium nihilominus codex **b** recentissimus sed aliis dissimillimus et nonnumquam optimus est (cf. 7.30, 31 et praecipue 169).

Duo codices huius editionis unam orationem (# 6) praebent.

a Codex Atheniensis 282 saec. XVI, chart. orient., ff. 550, 300 × 210 diversis ex auctoribus panegyricos unum et quinquaginta (huius editionis # 6) habet.[22]

h Codex Atheniensis 327 saec. XVI, chart. orient., ff. 540,

18 R. Devreesse, II, 452–454.

19 Mercati, 164.

20 H. O. Coxe, Catalogi codicum mss. Bibliothecae Bodleianae I, Oxonii 1853 (1969), 742–752.

21 Vitae sanctorum ordinis praedicatorum...ex Surio Carthusiano selectae VI, Lovanii 1575, non venit in manus meas; inspexi hanc versionem solum in editione J. Bollandi (Coloniae Agrippinae 1618) IV, 625–627. Migne PG 114, 183–200 cum textu graeco Allatii eandem versionem praebet.

22 I. et A. Sakkelion, *Κατάλογος τῶν χειρογράφων τῆς Ἐθνικῆς Βιβλιοθήκης τῆς Ἑλλάδος*, Athenae 1892, 49.

320 × 210 panegyricos quinquaginta tres (huius editionis # 6) ex auctoribus undeviginti praebet.[23]

Codices **a** et **h** eodem e fonte derivantur, ut videtur,[24] quia dissentiunt nullo in momento (e.g. 6.195 et 185), sed neuter ex altero transcriptus est, quia uterque suas praetermissiones praebet (e.g. **a** in 6.1, **h** in 6.167).

Septem codices unam orationem (huius editionis # 2) continent.

Codex Parisinus graecus 1630 saec. XIV, bombyc., ff. 278, opera varia auctorum diversorum et Pselli (huius editionis # 2) habet.[25] **Q**

Codex Athous Pantocratoris 3 saec. XIII, perg., quadraginta octo sermones (huius editionis # 2) habet, indice operum manu Alexii monachi saec. XVI addito.[26] **q**

Codex Bodleianus Baroccianus graecus 25 saec. XIV ineuntis, bombyc., ff. 296, quarto minore unum et triginta opera miscellanea et sacra et profana (huius editionis # 2) habet.[27] **o**

Codex Athous Esphigmenou 76 saec. XIV, chart., viginti octo sermones et vitas sanctorum (huius editionis # 2) habet.[28] **e**

Codex Athous Vatopedinus 630 saec. XV, chart., ff. 411, triginta quattuor sermones (huius editionis # 2) habet, colophonte tricesimo in folio verso apparente.[29] **d**

23 Sakkelion 54–55.

24 Cf. E. Toniolo, 'Alcune omelie mariane dei sec. x–xiv: Pietro d'Argo, Niceta Paflagone, Michele Psellos e Ninfo Ieromonaco,' Marianum 33 (1971), 34.

25 H. Omont, Inventaire sommaire des manuscrits grecs de la Bibliothèque Nationale II, Paris 1898, 109–112.

26 S. Lambros I, 91–92.

27 Coxe I, 32–36.

28 Lambros I, 178–179.

29 S. Eustratiades et Arcadius Vatopedinus, 124.


k Codex Athous Koutloumousiou 626 saec. XVI, chart., pp. 1250, 300 × 200 quinquaginta septem sermones (huius editionis # 2) habet, qui menologium est, festos dies a 25 die Martii per mensem Septembrem celebrans.[30] colophon etiam 1237 in pagina annum 1549 et scribam Sophronium indicat.

y Codex Yalensis Beineckensis 251 saec. XVI, chart., ff. ii + 662 + ii, 317 × 210, quinquaginta septem sermones et vitas sanctorum (huius editionis # 2) habet, qui menologium est, festos dies a 25 die Martii ad 29 diem Augusti celebrans.[31] colophon autem 1315 in pagina indicat hunc codicem anno Domini 1585 Cyrillum scripsisse monasterio in Simonis Petras cum pecuniis Constantini.

Septem horum codicum stemma fieri potest. codices **o**, **Q** et **q** eodem ex fonte (ζ) derivari demonstrat praetermissio in 2.173, quam alii non monstrant. cum codex **o** verba in 2.297–298 omittat quae **Q**, **q** et alii habeant, **Q** et **q** verba in 2.15–16 omittant quae **o** et alii habeant, **Q** et **q** eodem ex fonte (η) manant, singulares praetermissiones demonstrantes (**Q** in 2.301, **q** in 2.203–204). codices autem **e**, **d**, **k** et **y** eodem ex fonte (ε) manant, cum omnes easdem praetermissiones in 2.94, 102 et 235–6 passi sint. quorum codex **e** lineam 40–41 omittit, quam alii habent, atque **d**, **k** et **y** soli praetermissionem in 2.281 patiuntur. denique codices **k** et **y** soli praetermissiones in 2.45 et 243, codex **y** solus in 2.70 patiuntur. hoc stemma fieri potest, necessitudinem inter codices reddens:

30 L. Polites, *Συμπληρωματικοὶ κατάλογοι χειρογράφων Ἁγίου Ὄρους, Ἑλληνικά* suppl. 24, Thessalonicae 1973, 50–53.

31 B. Shailor, Catalogue of Medieval and Renaissance Manuscripts in Beinecke Rare Book Library II, Binghamton NY 1987, 3–7.



orationem # 2 huius editionis habebat codex Trapezuntius Phrontisterii 5, nunc perditus,[32] quem A. I. Papadopoulos-Kerameus A.D. 1884 inspexit. codex perditus saec. XV, chart., ff. 191, 300 × 215, triginta sex orationes sacras praebebat, multis foliis laesis et turbatis.[33]

Oratio in decollationem Ioannis Baptistae (huius editionis # 8) in appendicem relegatur, quae non Pselli sed

32 Cf. M. Richard, Répertoire des bibliothèques et des catalogues de manuscrits grecs², Paris 1958–1963, 225.

33 A. I. Papadopoulos-Kerameus, *Ἑλληνικοὶ κώδικες Τραπεζοῦντος*, Vizantijskij Vremennik 19 [1912] I, 224, 231.

auctoris incerti est. A. Ehrhard hoc opus auctoris incerti habet, quod continetur sine nomine tribus in codicibus e saeculo XI ortis et ad Psellum attributum est solo in codice e saeculo XVI orto.[34]

m Codex Marcianus graecus Z 360 (= 696) saec. XI, perg., ff. 540, triginta quattuor vitas sanctorum et sermones mensium Iulii Augustique (huius editionis # 8) praebet.[35]

p Codex Parisinus graecus 1177 saec. XI, perg., ff. 292, triginta duas vitas sanctorum sermonesque mensium Iulii Augustique (huius editionis # 8) habet.[36]

v Codex Vindobonensis historicus graecus 45 saec. XI, perg., ff. 311, 290/300 × 230/245, sexaginta septem vitas sanctorum sermonesque mensis Augusti (huius editionis # 8) habet.[37]

t Codex Vindobonensis theologicus graecus 242 (olim 209) saec. XVI, chart., ff. 155, sermones et carmina Pselli aliorumque (huius editionis # 8) praebet.[38]

Codices **m** et **p** paene consimiles et eodem e fonte derivantes,[39] nonnumquam optimam lectionem soli habent (e. g. in 8. 42) sed differunt a codicibus **v** et **t**, quorum modo **v** (e. g. in 8. 166) modo **t** (e. g. in 8. 65 et 231) solus optimam lectionem praebet. neglegenter tamen scriptus, hic codex **t** solus sacras ad litteras verborum ordinem

34 Cf. A. Ehrhard, Überlieferung und Bestand der hagiographischen und homiletischen Literatur der griechischen Kirche I (Texte und Untersuchungen 50), Leipzig 1937, pp. 687, 432, 436.

35 A. Zanetti et A. Bongiovanni, Graeca d. Marci Bibliotheca codicum manu scriptorum, Venetiis 1740, 165–166.

36 Omont I, 243.

37 H. Hunger, Katalog der griechischen Handschriften der Oesterreichischen Nationalbibliothek I, Wien 1961, 50–54.

38 P. Lambechius et A. Kollarius, Commentariorum de augustissima Bibliotheca Caesarea Vindobonensi V, Vindobonae 1766–1782, 42–45.

39 Cf. Ehrhard I, 432–434.

(e.g. in 8.205), electionem (e.g. in 8.263) usumque (e.g. in 8.112) conformat, quibus in locis auctor sacras litteras commemoravit. fontium deinde trium (**m**, **v**, **t**) quaeque lectio pensa est, cum nullus codex optimus esset.

VSVS CODICVM

1	**Vcns** (Ioannou) **l**
2	**Q** (Jugie, Kurtz et Drexl) **qoedky**
3	**BOw** (Gautier)
4	**V** (Bezobrazov, Siderides)
	Vu (Bidez, Papadopoulos)
5	**V** (Kurtz et Drexl) **iu**
6	**ah** (Toniolo)
7	**Br** (Allatius)
	O (Kurtz et Drexl) **bSu.**
*8	**p** (Combefis) **mtv**

DE RATIONE HVIVS EDITIONIS

Cum aliis in tractatibus Pselli vel auctor ipse vel redactor textum aut contrahens aut amplificans duas recensiones edidisset,[40] his tamen in orationibus hagiographicis duarum recensionum nullum vestigium recognovi. non necesse est igitur, ut mihi videtur, codicem optimum ad textum constituendum designare, sed quaeque lectio quoque in codice a me pensa est. vitiosus quidem codex nonnumquam optimam lectionem solus praebet (e.g., codex **b**).

Hoc in apparatu critico tacita praeterivi menda de more scribarum facta, id est consonantes duplices pro sin-

40 Cf. Littlewood XV et P. Gautier/L.G. Westerink, Michaelis Pselli theologica I, Leipzig 1989, XV–XVI.

gularibus singularesque pro duplicibus atque vocales e vocis sono variantes, nisi lectiones aliae alios casus, modos, aut vocabula demonstrarent. regulas autem Atticas non observavi de nu-mobili, elisione, et ceteris, usum codicum sequens et plusquamperfecti reduplicati augmentum referens solis quibus in locis aut codex habet (e.g. in 1 A 168) aut corruptus subicit (e.g. in 1 A 283). omissiones tamen lapsusque editionum priorum haud memoravi, nisi coniectura etiam ignorata esse videretur. interpunctio tamen ad usum Teubnerianum conformata est, Atticas ad regulas ratio accentuum. praeponens denique apparatum criticum, naturam cuiusque codicis illustrare conata sum, menda minora proferens cum soli codices orationem praebentes (i.e. # 6) simillimi sint.

Multas gratias ago omnibus qui me consilio aut pecunia aut vacatione aut alio quovis auxilio adiuverunt. primus certe est Leendert G. Westerink, fautor meus, qui doctissimus benignissimusque mihi suppeditavit, multa verba perlegit et correxit. grato autem animo commemoro illos qui consilium auxiliumque liberaliter varieque dederunt: Robert Browning, George Dennis, John Duffy, multorum verborum accuratissimus corrector, Paul Hollingsworth, Alexander Kazhdan, A. R. Littlewood, Anna Moore, Paul Moore, Dominic O'Meara, Ihor Ševčenko, John Ziolkowski, doctus corrector Latinitatis, Vasilis Riginos, mystagogus in usum scribae mechanicae, et A. Failler, editionem orationis de crucifixione (# 3) P. Gautier demortui manu scriptam praebens. imagines tamen photographicas perite suppeditaverunt praefecti bibliothecae Beineckensis, Bodleianae, Marcianae, Vallicellianae, et Vaticanae atque praefecti CNRS et Vlatadonis/Instituti Patriarchalis ad Studia Patristica Colenda (Thessalonicae). me autem salvere iusserunt librarii in Union Theological Seminary, Johns Hopkins Universi-

tate, Center for Hellenic Studies, atque praecipue in Dumbarton Oaks. restat denique ut commemorentur grate George Washington Universitas, quae vacationem et pecuniam mihi praebuit, Dumbarton Oaks, patrona meorum studiorum A. D. 1990–1991, atque Robert A. Hadley, carus conviator.

Menda hoc in volumine quae restant, deo volente pauca parvaque, certe non adiuvatoribus sed mihi sunt.

Scribebam civitate Washingtonii, m. Aprili 1992

Elizabeth A. Fisher

CONSPECTVS EDITIONVM

L. Allatius, De Symeonum scriptis diatriba, Symeonis Metaphrastae laudatio, auctore Michaele Psello, Paris 1664, 221–235 (= Migne, PG 114, 183–200) (7)

P. Bezobrazov, Materiali dlya istorii bizantiiskoi imperii, Zhurnal' Ministerstva Narodnago Prosveshchenia 262, 1889, 72–91 (4 partim)

J. Bidez, Catalogue des manuscrits alchimiques grecs VI, Michael Psellus, Épître sur la Chrysopée, Bruxelles 1928, 192–210 (4)

F. Combefis, Graecolatinorum patrum bibliothecae novum auctarium I, Parisiis 1648, 1372–1409 (8)

P. Gautier, Un discours inédit de Michel Psellos sur la Crucifixion, Revue des Études Byzantines 49, 1991, 25–66 (3)

P.-P. Ioannou, Démonologie populaire – démonologie critique au XIe siècle, La vie inédite de S. Auxence par M. Psellos, Wiesbaden 1971, 64–132 (1)

M. Jugie, Homélies mariales byzantines, IV Michel Psellos Homélie sur l'Annonciation, Patrologia Orientalis 16, 1922, 517–525 (= D. Gemmiti, Omelia di Psello sull'Annunziazione, Studi e ricerche sull'Oriente cristiano 7, 1984, 114–130) (2)

E. Kurtz et F. Drexl, Michaelis Pselli scripta minora magnam partem adhuc inedita I, Mediolani 1936, 82–93 (2), 120–141 (5), 94–107 (7). – correxerunt R. Cantarella, Rivista di Filologia e d'Istruzione Classica n. s. 15, 1937, 201–206; F. Halkin, Analecta Bollandiana 55, 1937, 404–407; P. Maas, Byzantinische Zeitschrift 37, 1937, 130–133; S. G. Mercati, Bollettino di filologia classica 43, 1937, 161–166; J. Sykutres, *Ἐπετηρὶς Ἑταιρείας Βυζαντινῶν Σπουδῶν* 12, 1936, 511–520

J. B. Papadopoulos, Les Palais et les Églises des Blachernes, Thessalonika 1928, 33–34 (4 partim)

X. A. Siderides, *Μιχαὴλ Ψελλοῦ λόγος ἐν τῷ ἐν Βλαχέρναις γεγονότι θαύματι*, Orthodoxia 2, 1927, 511–519 et 539–547 (4)

E. M. Toniolo, Alcune omelie mariane dei sec. x–xiv: Pietro d'Argo, Niceta Paflagone, Michele Psellos e Ninfo Ieromonaco, Marianum 33, 1971, 386–394 (= Alcune omelie mariane dei sec. x–xiv: Pietro d'Argo, Niceta Paflagone, Michele Psellos e Ninfo Ieromonaco, Roma 1971, 60–68) (6)

CONSPECTVS VERSIONVM

Gallicae:

P. Gautier, Un discours inédit de Michel Psellos sur la Crucifixion, Revue des Études Byzantines 49, 1991, 11–12 (3 partim)

P.-P. Ioannou, Démonologie populaire – démonologie critique au XIe siècle, La vie inédite de S. Auxence par M. Psellos, Wiesbaden 1971, 65–133 (1)

Germanicae:

H. Belting, Bild und Kult: eine Geschichte des Bildes vor dem Zeitalter der Kunst, Munich 1990, 587–588 (3 partim)

Italicae:

D. Gemmiti, Omelia di Psello sull'Annunziazione, Studi e ricerche sull'Oriente cristiano 7, 1984, 114–130 (2)

E. M. Toniolo, Alcune omelie mariane dei sec. x–xiv: Pietro d'Argo, Niceta Paflagone, Michele Psellos e Ninfo Ieromonaco, Marianum 33, 1971, 386–395 (= Alcune omelie mariane dei sec. x–xiv: Pietro d'Argo, Niceta Paflagone, Michele Psellos e Ninfo Ieromonaco, Roma 1971, 60–69) (6)

Latinae:

F. Combefis, Graecolatinorum patrum bibliothecae novum auctarium I, Parisiis 1648, 1372–1409 (8)
M. Jugie, Homélies mariales byzantines, IV Michel Psellos Homélie sur l'Annonciation, Patrologia Orientalis 16, 1922, 517–525 (2)
L. Surius, Vitae sanctorum patrum ordinis praedicatorum...ex Surio Carthusiano selectae VI, Lovanii 1575
– Vitae sanctorum ex probatis authoribus et mss. codicibus, primo quidem per r. p. fr. Laurentium Surium ... editae ... IV, Coloniae Agrippinae 1618, 625–627 (idem in Migne, PG 114, 183–200 et L. Allatius, De Symeonum scriptis diatriba, Symeonis Metaphrastae laudatio, auctore Michaele Psello, Paris 1664, 221–235) (7)

SIGLA

B	Barberinianus graecus 240, s. XIII (man.[2] Allatius)
O	Bodleianus Baroccianus 131, s. XIII
Q	Parisinus graecus 1630, s. XIV
V	Vaticanus graecus 672, s. XIII
a	Atheniensis 282, s. XVI
b	Bodleianus Auct. T. 1. 11 (olim Misc. gr. 189), s. XV
c	Athous Vatopedinus 636, s. XV
d	Athous Vatopedinus 630, s. XV
e	Athous Esphigmenou 76, s. XIV
h	Atheniensis 327, s. XVI
i	Romanus Vallicellianus graecus 166, s. XVII
k	Athous Koutloumousiou 626, s. XVI
l	Athous Laurae Γ 99, s. XIV
m	Marcianus graecus Z 360 (= 696), s. XI
n	Nicosianus 18, s. XIV
o	Bodleianus Baroccianus graecus 25, s. XIV
p	Parisinus graecus 1177, s. XI
q	Athous Pantocratoris 3, s. XIII
r	Vaticanus graecus 567, s. XIV (man.[2] Allatius)
s	Athous Esphigmenou 78, s. XV
t	Vindobonensis theologicus graecus 242 (olim 209), s. XVI
u	Vaticanus Urbinas 134, s. XV
v	Vindobonensis historicus graecus 45, s. XI
w	Athous Vatopedinus 164, s. XIII
y	Yalensis Beineckensis 251, s. XVI
Al.	Allatius
Bez.	Bezobrazov

Bi.	Bidez
Cb.	Combefis
Du.	Duffy
Dxl.	Drexl
Fr.	Fisher
Gtr.	Gautier
Io.	Ioannou
Ju.	Jugie
Kz.	Kurtz
Pa.	Papadopoulos
Si.	Siderides
Su.	Surius
To.	Toniolo
Wk.	Westerink
⟨ ⟩	addenda
[ ]	supplenda in lacuna codicis
[..]	desunt duae litterae
a. c.	ante correctionem
add.	addit, addunt
adn.	adnotatio
cf.	confer
ci.	coniecit
codd.	codices
corr.	correxit
del.	delevit
iter.	iterat, iterant
lac.	lacuna, lacunam
litt.	littera, litterae
man.^{2}	manus secunda
mg.	(in) margine
om.	omittit, omittunt
p. c.	post correctionem
ras.	(in) rasura
secl.	seclusit
s. l.	supra lineam
spat.	spatium
transp.	transponit, transponunt

ASS	Acta sanctorum, ed. Socii J. Bollandi
BZ	Byzantinische Zeitschrift
CPG	E. Leutsch et F. G. Schneidewin, Corpus paroemiographorum graecorum
EO	Échos d'Orient
Gonimos	Gonimos ... Studies Presented to L. G. Westerink, Buffalo, NY, Arethusa 1988
PG	J.-P. Migne, Patrologia cursus completus, series graeca
PO	Patrologia orientalis
REB	Revue des Études Byzantines

VITA AUXENTII (A)

Christi vita exemplum praebet et martyribus et ascetis et rem publicam agentibus (4–31). qui autem discant facta beatorum athletarum, haec imitari student (31–49). at tamen talis ascetis Auxentii gentem illustrem et patriam praeclaram rhetorico more describere non vult Psellus (50–69).

Theodosio minore imperatore, Auxentius cum fortis tum grandis ubique barbaris obstans militabat (79–87). deinde cum Constantinopolem accessit ut se coniungeret cum patruo, duce illustri, Auxentius hunc mortuum esse cognoscens in equitatem scriptus est, imperatore ipso volente (92–108). denique ut hostes animi oppugnaret, se coniunxit et cum Sitta et cum Marciano, qui quondam Novatum secutus erat et postea Constantinopoli magister factus est, et cum Anthimo, qui imperatoris epistulas signumque custodiebat (109–126). Hos quattuor tamen discipulos habuit beatus Ioannes, qui septima in parte Constantinopolis vitam agebat semper in scopulo stans (129–135). cum Auxentius Marcianusque, et ieiunii et vigiliae socii, sanctae Irenae maritima in ecclesia deum venerarentur (143–158), miraculum evenit, aqua ab Auxentio rogata in vinum commutata (158–186). quamquam sancto Paulo Thebaico similis Auxentius pauca vestimenta habebat, tunicam solam tamen mendico pertinacissimo fictoque dedit (196–223). beatum autem apud Ioannem non multo postea Auxentius Marcianusque invenerunt illum querentem de tunicis octo furatis (236–264). amicus quidem et populo et imperatori auli-

ciisque, servavit Auxentius primum ex poena damnatum (282–292) deinde ex egestate artifices, pretiis Constantinopoli nimis crescentibus (296–313). cum autem hunc daemones metuerent, servavit mulierem et gravidam et abhinc viginti annos a daemone invasam (314–349).

Cum deinde Nestorius Eutychesque contraria docentes similiter errantes ecclesiam perturbarent (350–377), Auxentius clam se recepit praeceptum in montem prope urbem Chalcedonem ut deum animo intueretur sine corpore curando (378–406). at tamen cum aperiret ubi pastores quaerentes pecus in monte peritum reperirent, repente celeber fit (407–455). tum primum populus Auxentio et tugurium aedificavit et cibum donabat, miracula et felicitates recipientes (459–484). sanavit quidem divem mulierem ab Nicomedia proficiscentem quae repente oculos amiserat (485–504), atque Christi discipulorum modo plurimos daemones expulsit (505–528). erant qui autem dicerent Auxentium cibum dementibus donare ut hoc loco manentes ad se multos curiosos traherent (529–536). hunc etiam tali mente miles invisit tum derisit, cuius filius filiaque deinde dementes facti sunt (537–594). impius autem pater denique se peccavisse intellegens, liberos ad Auxentium adduxit, recipiens et his mentium sanationem et sibi animae salutem (595–614). omnis quidem morbi causam animo comprehendens, Auxentius curavit duo periuros cum elephantiasi afflictos (615–662). liberavit autem a daemonibus duo feminas, a Phrygia proficiscentes, quae deinde eodem in monte vitas austero more et modo egerunt (663–722). multos quidem cum morbis magnis diversisque afflictos atque hominem debilem curavit Auxentius (723–734). denique invasam tali a daemone, qualis et materiam et mulieres valde amans saepe formam mutat, feminam sanavit cum orans tum flens, quae deinde ascetes hunc montem habitabat (735–787).

VITA AUXENTII (B)

Cum Marcianus imperator convocaret Chalcedone et pereruditos et episcopos, qui haeresem Nestorii Eutychisque etiamtum vigentem deliberarent, Auxentius ad concilium vocatus se advenire recusavit, quippe qui non episcopus esset (2–32). imperator deinde demisit ad montem quos iussit aut persuadere Auxentio ut adiret aut tugurium evertere; denique hunc vix volentem et ieiunio vulneribusque aegrum de tugurio deduxerunt (33–69). Theophilem autem castigans, qui inconsulte ac temere sancti unguem recidit, Auxentius in plaustrum ponitus est, ut in Chalcedonem transportaretur (70–91). in itinere tamen multos daemones e bubus equis ovibusque expulsit atque a daemonibus liberavit et invalidum infantem et Dorothei filiam et pastoralem iuvenem et Isidorem adulescentem (95–182). ad ecclesiam Ioannis Baptistae deinde perveniens, adsecutos valere iussit, quorum in memoriam revocavit sua praecepta, et a daemone puerum liberavit, qui sanctum multis contumeliis lacerabat (183–235). cum tamen hoc in loco aliqui inimici quererentur Auxentium superbum patrum praescripta violare vix edentem, vix potantem, hic declaravit paucos licere ad deum accedere magnum per ieiunium (236–279). ut autem sanctum temptarent, inimici prope cellam aperte multas escas, clam puerum vigilantem posuerunt, qui detulit Auxentium et fulgentibus cum angelis oravisse et sanctum cibum a columba accepisse et sua in vulnera vermiculos restituisse (280–301). hinc deinde migrans proximum ad monasterium Hypatii in Rufinianis locatum Auxentius alios ad ascete vivendum instruxit, alios sanavit, alios a daemonibus liberavit (302–335).

Illi ad Nestorium adhaerescentes non solum se doctrinas orthodoxas docere simulaverunt sed etiam negave-

runt naturam divinam Christi, obscure et rhetorice dicentes, dum Cyrillus Alexandrinus haeresem manifestam reddidit (336–394). quae in controversiam Chalcedone vocata erant, Auxentius acute discrevit, quid recte, quid male dictum esset, et concilium dicta Auxentii descripsit (395–412). acta deinde concilii legit admirans imperator atque rogavit ut Auxentius solus coram eum haec perlegeret et rata haberet (413–435). his tamen confectis, imperator invite concedit ut Auxentius suum in montem rediret (436–459).

VITA AUXENTII (Γ)

In montem Scopum revertus, Auxentius quandam caveam aspero loco habitavit in duritia exercitus, discipulis prope vitam agentibus (2–20). quos autem orthodoxis de doctrinis docuit (id est deum et volentem omnia genuisse et tribus in personis esse), Arium Macedoniumque convincens atque Nestorium Eutychumque Christi de natura refutans (21–64). cum deinde daemones novissimis formis hunc oppugnarent, modo fulgur aut flumen modo procellam modo montem modo leonem aut draconem etiam modo angelum lucis simulantes, Auxentius defatigatus omnes tamen superavit atque spiritus bonos et fallaces distinguere potuit, aut aegrimonia aut tranquillitate affectus (85–131). musicae praeterea peritus, sacra carmina composuit, a Psello approbata quod voces modique inter se congruunt (132–171). Auxentius tamen docuens de orando, dei de virtute, malo de oppugnando, ad montem multos attraxit, qui tonsi vitam egerunt ascetes (185–239). mancipe autem pistoreque delectis, nihil erat quod sanctus suppeditionem curaret, qui non negotio et

divitiis sed deo et beatitudini animum intendit (249–268). a daemonibus deinde monachum Basilem oppugnatum atque exanimatum hic sanavit atque exposuit daemones et multis modis homines ad malum sollicitare atque cruce signando psalmo canendo deterreri (285–372).

Cum a corpore digressus animo intellegeret sanctum Symeonem procul perire, quid et quando vidisset socii animadvertaverunt atque postea comprobaverunt 375–437). plebem autem benigne curavit, cum pastorem de ovi erranti et secluso docens tum respondens facete et urbane rusticam ad salutationem (441–484). cum deinde ad Scopum pervenisset Stephanis, quondam cubicularia prosequens Pulcheriam regiam nunc rogans vitam deo dedicatam in monte, probata sancto recepit regulam quam multae et Cosmia Pamphili uxor quoque observare voluerunt (488–544). quibus denique monachis Auxentius et tunicam pilis asperis palliumque habitum dedit et monasterium condidit, omnibus e vicinia ad celebrationem convocans et has Christi nuptas palam confirmans (554–656). mox autem senectute laboreque fatigatus, circa A. D. 470 (cf. Ioannou pp. 148–149, n. 222) e vita migravit et in caelum receptus est (665–689). multis tum dolentibus, de possessione corporis contenderunt et monasterium Hypatii prope Chalcedonem et Zachariae ecclesia montis in vicina et monachae Auxentii, quae vicerunt (690–722).

Occasio orationis huius fortasse fuit dies festus sancti Auxentii (14 Feb.) feminarum in monasterio quod Auxentius condidit (cf. Ioannou p. 55).

1. Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Αὐξεντίου τοῦ ἐν τῷ Βουνῷ

A

Ἀρχὴ μὲν ἡμῖν τῆς πρὸς τὸ ἀγαθὸν ἐκ τοῦ παλαιοῦ πτώματος ἀνανεύσεως ὁ κύριος πέφυκε καὶ θεός, ὁ τὴν 5 *ἡμετέραν φύσιν ἀπολωλυῖαν ἀνακτησάμενος, καὶ διὰ τῆς θείας καὶ ἀρρήτου οἰκονομίας ὁδοὺς ἡμῖν σωτηρίας ἀποτεμόμενος καὶ πρὸς οὐρανὸν ἀνάγων, τὴν ἀρχαίαν πατρίδα, ἧς διὰ τὴν παράβασιν ἀπερρίφημεν· οὗτος γὰρ καὶ τοῖς μάρτυσι ἀθλήσεως πρωτότυπον ἵσταται, ἐπὶ τὸν* 10

Hoc opus valde simile est quattuor vitis Auxentii, quae omnes incerti auctoris sunt. hoc in apparatu significat Aux.[1] PG 114,1377–1436; Aux.[2] ed. Manouel Gedeon, Byzantinon Eortologion (Cpl. 1899) 278–283 (excerpta); Aux.[3] ed. Leon Clugnet, Revue de l'Orient chretien 8 (1903) 3–14; Aux.[4] ed. Constantine Doukakis, *Μέγας Συναξαρίστης* 2 (Athens 1890) 242–252.

V 117ᵛ–159ᵛ; c 242ʳ–289ᵛ; l 21ʳ–70ʳ; n 107ᵛ–154ᵛ; s p. 328–p. 453–Ioannou 64–132 (l inspicere non potuit Ioannou) 1 *Βίος – ἐν τῷ Βουνῷ συγγραφεὶς παρὰ τοῦ ὑπάτου τῶν φιλοσόφων καὶ ὑπερτίμου κυροῦ Μιχαὴλ τοῦ Ψελλοῦ· εὐλόγησον πάτερ* c *Βίος – Αὐξεντίου, συγγραφεὶς παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου καὶ ὑπερτίμου κυροῦ Μιχαὴλ τοῦ Ψελλοῦ· εὐλόγησον πάτερ* s [lac.] *ἐν Βουνῷ* [lac.] *παρὰ τοῦ σοφωτάτου Ψελλοῦ* man.[1] n *Βίος – Αὐξεντίου συγγραφεὶς παρὰ τοῦ αὐτοῦ* man.[2] n cum corr. *σοφωτάτου Ψελλοῦ* eadem manu *Βίος – ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Αὐξεντίου τοῦ μεγάλου· εὐλόγησον πάτερ* l *τοῦ αὐτοῦ βίος τοῦ ὁσίου πάτρος ἡμῶν Αὐξεντίου* V

9 *γὰρ* om. l **10** *ἀθλήσεως πρωτότυπον* Vln transp. cs

σταυρὸν ἀναβὰς καὶ τὰς χεῖρας διατρηθείς, εἶτα δὲ καὶ τὴν πλευρὰν τῇ λόγχῃ νυγεὶς καὶ βλύσας ἡμῖν τὰ ζωήρρυτα νάματα· καὶ τοῖς ἀσκηταῖς ὑπόδειγμα μέγα γέγονέ τε καὶ γίνεται, τοῦτο μὲν ἐγκρατείᾳ τὴν σάρκα ἵν' οὕτως
15 *εἴπω δουλαγωγῶν, τοῦτο δὲ εἰς τὸ ὄρος ἀναχωρῶν καὶ κατὰ μόνας προσομιλῶν τῷ πατρί· εἴποιμι δὲ θαρρούντως, ὅτι καὶ τοῖς τὸν πολιτικὸν ἐπανῃρημένοις βίον λαμπρὰς τὰς ὑποθήκας προτίθησι, τὰ μὲν συμβουλεύων περὶ τῶν καθηκόντων, τὰ δὲ τοῖς κακῶς αὐτὸν ἀγορεύουσιν ἀντιδια-*
20 *τιθέμενος, ἔστι δ' ὅτε καὶ ὑποστελλόμενος καὶ τοῖς καιροῖς ἑκάστοις ἀποδιδοὺς τὸ εἰκός· ἐπειδὴ γὰρ διαφόροις ἀγωγῆς τρόποις ἐπαναγόμεθα πρὸς θεόν, πάντων αὐτὸς ἀρχηγὸς καθέστηκε καὶ πρωταίτιος.*

Πάσης μὲν οὖν ἀρετῆς, ὥσπερ εἴρηται, ὑπερφυὲς οὗτος
25 *ἡμῖν ἀπεικόνισμα δέδοται, μαρτυρίου, ἀσκήσεως, τῆς ἐν πολιτείᾳ ζωῆς, τῆς ἄλλης ἁπάσης διαγωγῆς· οὐδὲν δὲ ἧττον καὶ οἱ πρὸς ἐκεῖνον τὴν ἑαυτῶν ζωὴν παρελάσαντες συντονώτατα, ἢ πρὸς τὸν μαρτυρικὸν ἀγῶνα ἀποδυσάμενοι ἢ ἀσκητικαῖς ἀγωγαῖς τὸν χοῦν τῷ πνεύματι ὑποτάξαντες,*
30 *τὰς ὁδοὺς τῆς ἴσης μιμήσεως ὑπεμφαίνουσι καὶ δι' ἑαυτῶν πρὸς τὸν τῶν ὅλων θεὸν ἐπανάγουσι· τίς γὰρ οὐκ ἄν, ἀκούσας ὅτι τοῦ σώματός τινες ἀφειδήσαντες, γενναίως πρὸς τοὺς ἀθλητικοὺς ἀγῶνας ἐχώρησαν, εἶτα δὴ καὶ ὑπαντιάσαντες ἐν τῷ σκάμματι τοῖς ἐχθροῖς, ἔτρωσαν μᾶλλον ἤπερ*

11–13 cf. Io. 19,34 **15–16** cf. Io. 6,15 et Matt. 14,23 **29** cf. Ps. 102,14

11 *τὰς* om. s **13** *μέγα* om. n **18** *ὑποθήκας* cs *ὑποθέσεις* Vln **25** *ἡμῖν* bis V **26** *δὲ* om. Vn **30** *ἑαυτῶν* Vcns *αὐτων* l **31** *οὐκ ἄν* om. Vln **34** *τοῖς ἐχθροῖς* Vcns *τοὺς ἐχθροὺς* l

ἐτρώθησαν, διὰ τῆς τομῆς τῶν οἰκείων μελῶν τὰς ἐκείνων 35
καρδίας σπαράξαντες καὶ ταινιωθέντες τὴν κεφαλὴν τῷ στέμματι τῆς οἰκείας ἀθλήσεως, οὐκ ἂν τὴν ἐκείνων καρτερίαν ἐν τοῖς ὁμοίοις παραζηλώσοι καιροῖς ὑπὸ τῷ αὐτῷ ἀγωνοθέτῃ θεῷ, ἵνα καὶ τῶν ἴσων τύχῃ στεφάνων καὶ τῆς αὐτῆς ἀναρρήσεως; τίς δὲ ταῖς τῶν ὁσίων μνήμαις ἐντυγ- 40
χάνων πυκνότερον, καὶ οἷον θεωρῶν ἐν αὐταῖς διαμιλλωμένους αὐτοὺς καὶ πυκτεύοντας πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, καὶ λαμπρὸν κατ' αὐτῶν ἀναδουμένους τὸν στέφανον, οὐ τὰ πνευματικὰ ὅπλα ἐπενδυσάμενος, κατὰ 45
τῶν πνευμάτων τῆς πονηρίας θαρραλεώτατα στήσεται, καὶ μάλιστα εἴ τις τῷ μετ' ἐπιστήμης τὸν τοιοῦτον διαπολεμήσαντι πόλεμον ἑαυτὸν παραβάλοι, καὶ ὑπ' ἐκείνῳ ἀλείπτῃ πρὸς τὸν ἐχθρὸν ἀποδύσεται;

Ὁποῖος ἡμῖν ὁ μέγας Αὐξέντιος ἀναδέδεικται, μετ' ἐπι- 50
στήμης καὶ σοφῆς κρίσεως τὸν ἀσκητικὸν δρόμον διηνυκὼς καὶ ἐπὶ τὸ μέγα ὄρος τῆς ἀρετῆς ἀναβάς, καὶ οἷον ἐξ ἀπόπτου περιωπῆς ἀμφιδεξίως βάλλων ὅπῃ παρήκοι τοὺς ἀντιδιατιθεμένους αὐτῷ καὶ πρὸς τὸν δρόμον ἐναντιουμένους τὸν τῆς ἀσκήσεως. 55

Περὶ οὗ λέγειν ἐπιβαλλόμενος νῦν, τὰ μὲν ὅσα τέχναι καὶ λόγοι ῥητορικοὶ τοῖς ἐγκωμιάζουσιν ὑποτιθέασι παρα-

42–46 cf. Eph. 6,12

37 *οἰκείας* n om. Vcls **38** *παραζηλώσοι* n *παραζηλώσῃ* Vcls **40** *μνήμαις* Vln *μνείαις* cs **43** *τοῦ σκότους* om. c **44** *ἀναδουμένους* Vln *ἀναδυομένους* cs **46** *χωρήσει καὶ* post *πονηρίας* add. s **48** *ἑαυτὸν* clns *ἑαυτῷ* V *παραβάλοι* cln *παραβάλλοι* s *παραβάλῃ* V **50** *ὁ* om. l **53** *βάλλων* Vcls *μᾶλλον* n *ὅπῃ* cs *ὅπου* Vln

λιπεῖν μοι δοκῶ, καὶ οὔτε ἀπὸ τοῦ γένους τὸν ἄνδρα ἐγκωμιάσομαι, οὔτε εἰ πατρίδα ἔσχεν εὐδαίμονα, οὔτε εἴ τι
60 *τοῖς προγόνοις αὐτοῦ σπουδαιότατον ἔργον κατώρθωτο· ἀρκεῖ γὰρ ἡμῖν αὐτὸς ὑποβεβλημένος τῷ λόγῳ, πολυειδὴς καὶ μεγάλη ὑπόθεσις. εἰ δὲ δεῖ πνευματικώτερον ἐκλαβεῖν τὰς τέχνας, πατὴρ μὲν αὐτῷ ὁ θεός, ᾧ δὴ καὶ τὴν ψυχὴν ἀφωμοίωτο καὶ τὸ κατ' εἰκόνα ἀμείωτον διεφύλαξε· πόλις*
65 *δὲ ἡ ἀρχαία πατρὶς ἡμῶν, ἡ ἄνω Ἱερουσαλήμ, ἐν ᾗ πάλαι καὶ γεννηθέντες καὶ αὐξηθέντες, τὴν ἐνταῦθα διαγωγὴν τῆς ἐκεῖσε πολιτείας ἀντηλλαξάμεθα, παραλογισθέντες διὰ τοῦ ὄφεως καὶ παραβάντες τὴν ἐντολήν, ἣν εἰς γυμνασίαν ἀρετῆς παρειλήφαμεν.*

70 *Ἀλλ' οὐχ ὁ μακάριος οὕτως καὶ θεῖος Αὐξέντιος· ἀλλὰ μικρῷ μέρει τῆς φύσεως οἷον ἴχνους τῆς γῆς ἐφαπτόμενος, ὅλῳ τῷ νῷ πρὸς τὴν ἄνω ζωὴν ἀνεπτέρωτο, καὶ τοῖς ἀγγέλοις συνηρίθμητο, ἔτι μένων μετὰ τοῦ σώματος· δηλώσει δὲ προϊὼν ὁ λόγος· ἐπειδὴ γὰρ τὰς μητρικὰς λύσας ὠδῖνας*
75 *εἰς ἀνθρώπους προῆλθε, μέγα ὄφελος τῷ βίῳ γενόμενος, ἐδείκνυ μὲν ἐκ πρώτης ἡλικίας ὥσπερ τὰ εὐγενῆ τῶν φυτῶν ὁποίους ἄρα τοὺς καρποὺς οἴσει, εἰς ἀνδρὸς φθάσας ἀκμήν.*

Τῆς οἰκουμένης δὲ πάσης τηνικαῦτα ὑπὸ τὰ Ῥωμαίων

59–102 cf. Aux.[1] 1380 A 4–16; Aux.[2] 279 (206 *α–β*); Aux.[3] 3,7–15; Aux.[4] 242,6–15 **64–66** cf. Gal. 4,26–27 **71** cf. Plat. pol. 290 d **79–85** cf. Synax. Cpl. 465,3–4 (ASS propy. Nov., Delehaye)

58 *δοκῶ* Vcns *δοκεῖ* l *τοῦ* om. V **60** *κατώρθωτο* Io. *κατόρθωτο* cs *καθώρθωται* Vln **62** *ἐκλαβεῖν* Vln *ἐκλαμβάνειν* cs **70** *οὕτως* Vcns *οὗτος* l **73** *συνηρίθμητο* s *ἠρίθμητο* Vcln **79** *δὲ* cs *οὖν* Vln

σκῆπτρα τελούσης (Θεοδόσιος γὰρ ὁ νέος τὴν βασίλειον 80
τότε διεῖπεν ἀρχήν, ἀνὴρ γενναιότατος καὶ δραστήριος καὶ
πᾶσι μικροῦ δεῖν ἔθνεσι τὸν τῆς ἀρχῆς ζυγὸν ἐπιθείς) ὁ
ἱερὸς οὗτος Αὐξέντιος, μεγέθει σώματος καὶ στρατιωτικαῖς
εὐτολμίαις πάντας τοὺς καθ' ἑαυτὸν ὑπερβαλλόμενος, ταῖς
ἀρίσταις συνεξητάζετο τάξεσι, καὶ πᾶσαν περιενόστει τὴν 85
οἰκουμένην, τοῦ γένους προπολεμῶν καὶ τοῖς βαρβάροις
ἀναστέλλων τὴν ἔφοδον. ἐθάρρει δὲ οὐ τοσοῦτον ἐν τῇ
αἰχμῇ ὅσον ἐν τῇ εὐχῇ· ἐξ αὐτῆς γὰρ γενέσεως τὴν εὐσέ-
βειαν μυηθεὶς καὶ τὰ θεῖα κάλλιστα παιδευθείς, οὐ ταῖς
ἀσπίσιν, ἀλλὰ ταῖς πρὸς θεὸν ἐλπίσιν ἄτρωτος ἐν τοῖς 90
ἀγῶσι διεφυλάττετο.

Ἐπεὶ δὲ καὶ τὸ λοιπὸν αὐτῷ γένος ἐν τοῖς στρατιωτικοῖς
καταλόγοις διέλαμπε, καὶ μάλιστα ὁ τοῦ πατρὸς αὐτῷ
ἀδελφός, τῷ βασιλεῖ συστρατεύων καὶ τάγματός τινος
ἐξηγούμενος, εὐθὺς εἰς τὸ Βυζάντιον ἐπανῆλθε, τῷ τε βα- 95
σιλεῖ τὴν πολεμικὴν ἐμπειρίαν ἐπιδειξόμενος καὶ συστρα-
τεύσων τῷ θείῳ ἐπὶ τὰ ἀντίπαλα τῶν ἐθνῶν· ἀλλὰ τοῦτον
μὲν οὐχ εὗρεν, ἤδη μεταλλάξαντα τὴν ζωήν, τοῖς δὲ τοῦ
βασιλέως ἁλοὺς ὀφθαλμοῖς, τό τε τοῦ σώματος αὐτοῦ θαυ-
μάσαντος μέγεθος, καὶ τὴν σὺν ἐπιστήμῃ τόλμαν ἐν οἷς 100
ἐπεδείκνυτο, μέρος οὐκ ἐλάχιστον τοῦ πρώτου τάγματος
τῶν ἱππέων ἐγένετο, καὶ πρῶτος μὲν ἐν τοῖς τελευταίοις
ἐφαίνετο, εἶτα καὶ τῶν πρώτων ἐξῄρητο καὶ ἄκρος ἐν ἅπα-
σιν ἦν. ὁρῶν δὲ τοὺς στρατιώτας θώραξί τισι καὶ κνημῖσι
καὶ τοῖς ἄλλοις πολεμικοῖς ὅπλοις τὸ σῶμα διαφυλάττον- 105
τας κἀντεῦθεν θαρροῦντας ὁμόσε τοῖς βαρβάροις ἰέναι,

84 *ταῖς ἀρίσταις* Io. *τοῖς ἀρίστοις* codd. **98** *μὲν* om. s
103 *ἐφαίνετο – ἐξῄρητο* Vcs *ἐφ. κ. τ. πρ. εἶτα ἐξ.* ln **105** *τὸ σῶμα διαφυλάττοντας* cs *τὸ σῶμα δια-* om. V *φυλάττοντας ἑαυτοὺς* ln **106** *ὁμόσε* Vcln *ὁμόσας* s

αὐτὸς τὴν θείαν ἐπεζήτει σκέπην τε καὶ βοήθειαν καὶ μετὰ ταύτης κατὰ τῶν ἀντιμαχούντων ἐτρέπετο.

Ἐξαιρέτως δὲ τοῦτον θεῖός τις ἔρως ἐξ ἔτι παιδὸς ἀνη-
110 *ρέθιζε, πρὸς τοὺς νοητοὺς ἐχθροὺς παρατάξασθαι καὶ τὸν κατ' αὐτῶν ἀναδήσασθαι στέφανον· διὰ ταῦτα τοῖς θείοις ἀλείπταις ἐνεγυμνάζετο καὶ τὰ συνθήματα τῆς πνευματικῆς μάχης ἐλάμβανε καὶ παρ' αὐτῶν πρὸς τοὺς ἐχθροὺς ἐκρατύνετο.*

115 *Ἐκοινώνει δὲ τῆς τοιαύτης αὐτῷ γνώμης Σίττᾳ τέ τινι καὶ Μαρκιανῷ, ὧν ὁ μὲν ἐξ ἀρχῆς τὰ Χριστιανῶν ἐμεμύητο, ὁ δέ γε Μαρκιανὸς τὰ Ναυάτου πάλαι στέρξας νόμιμα, ἐπειδὴ τὴν πλάνην διέγνω, ταχὺ πρὸς τὴν ἀλήθειαν ἐπανῆλθε, τὴν προτέραν δόξαν ἐξομοσάμενος· ᾧ*
120 *τοσοῦτον τὰ τῆς πίστεως ἐνεστήρικτο, ὡς καὶ διδασκάλου τάξιν λαχεῖν καὶ τὸν τῆς Κωνσταντινουπόλεως θρόνον καρπὸν τῆς εὐσεβείας λαβεῖν. μετεῖχε δὲ αὐτοῖς τοῦ σκοποῦ καὶ Ἄνθιμος, πᾶσαν ἀρετὴν ἐν βασιλείοις ἀνθῶν, ὃς διὰ τὴν τοῦ τρόπου σεμνότητά τε καὶ καθαρότητα τὰς*
125 *βασιλικὰς σφραγῖδας πεπίστευτο, φύλαξ τῶν βασιλείων ἐπιστολῶν καὶ ὢν καὶ λεγόμενος.*

Ὁ βραχὺς οὖν οὗτος καὶ μέγας χορὸς τῶν μαθητῶν τοῦ εὐαγγελίου πᾶσαν ἐκύκλου τὴν οἰκουμένην καὶ πάντας ἔνδον ἐποίει τῆς νοητῆς χορείας τοῦ πνεύματος. ἐξῆρχε δὲ
130 *ἄρα τούτοις τοῦ κύκλου ἀνήρ τις, Ἰωάννης ὀνομαζόμενος,*

115–274 cf. Aux.[1] 1380 B 5–1381 D 6; Aux.[2] 279 (207 *β*); Aux.[3] 3,19–4,36; Aux.[4] 242,19–243,22

107 *βοήθειαν* clns *βοηθείας* V **109** *δὲ* om. l **111** *ἀναδήσασθαι* Vlns *ἀναδύσασθαι* c **115** *Σίττᾳ* Vln *Σίτᾳ* cs **118** *ἐπειδὴ* Vcls *ἐπεὶ δὲ* n **124** *τε* om. n **125** *βασιλείων* Vcls *βασιλικῶν* n **130** *τις* om. n

οὐ συγκινούμενος μὲν ἐκείνοις, εἱστήκει γὰρ ἐπί τινος ἀρραγοῦς πέτρας πάντῃ καταπεφραγμένος τὸ σῶμα, καὶ βραχὺ μὲν μέρος τῆς γῆς κατοικῶν, ὅλον δὲ τὸν οὐρανὸν περιθέων, καὶ ἐν τῇ ἑβδοματικῇ ταύτῃ ζωῇ τὸν ἕβδομον οὕτω λεγόμενον τόπον κατειληφώς, πρὸς δὲ τὴν ὀγδόην 135 *ἀποβλέπων διαγωγήν, μᾶλλον δὲ τὴν πρώτην τε καὶ αἰώνιον· ἦν δ' ἄρα οὗτος, ὥσπερ δὴ καὶ φθάσας ὁ λόγος ἐδήλωσε, τῆς εὐαγγελικῆς πολιτείας ἀστὴρ διαυγέστατος, πλέον τι τοῦ ἡλίου ποιῶν· ὁ μὲν γὰρ κινούμενος ἢ συγκινούμενος τοῖς ἐφ' ἃ γίνεται μέρεσι τὰς ἀκτῖνας ἀφίησιν,* 140 *οὗτος δὲ ἐξ ἑῴας ὥσπερ φαύσεως τῶν οἰκείων ἅπαντας ἐντὸς αὐγῶν διελάμβανε.*

Τριῶν δέ, ὡς ὁ λόγος ἐδίδαξε, τῷ Αὐξεντίῳ προσγεγενημένων κοινωνῶν τοῦ βουλήματος, τῷ Μαρκιανῷ οὗτος προσέκειτο μάλιστα καὶ κοινωνὸν εἶχε τῶν ἀπορρήτων, καὶ 145 *ἤστην ἄμφω καὶ τῶν ἀνθρωπικῶν πραγμάτων καὶ τῶν θείων συγκοινωνοῦντες δογμάτων· κοινῇ τε γὰρ τὰς θείας ἐποιοῦντο προόδους καὶ τῆς ἱερᾶς λειτουργίας ἄμφω μετεῖχον, ἄσιτοί τε τὰς πλείους διετέλουν τῶν ἡμερῶν, καὶ*

134–136 commentatores Aristotelis dicunt numerum septem ad homines attinere, octo ad lunam (Alex. Aphr. in met. 38,16–39,2 Hayduck); scriptores Christiani dicunt pravum ad mundum numerum septem, octo ad aeternitatem attinere (cf. Psell. or. 4,181–184 Littlewood; Or. sel. in Ps. 118,164 [PG 12,1624 B 13–C 1]; [Io. Damasc.] = Steph. Sabaita forsitan, in Menaea ed. Ven., 1895, V 5 = ed. Rom., 1896, III 12 B 13–C 2) **141–142** cf. Theon Smyr. 137,20–25 Hiller

132 *πάντῃ* Vcns *πάντοθεν* l **134** *ἐν* om. s *ἑβδο-...ἕβδο-* Vcln *εὐδο-...εὔδο-* s **141** *φαύσεως* Vc ln *φάσεως* s **144** *τῷ* om. l **146** *ἤστην* cs *ἦσαν* Vln *ἀνθρωπικῶν* cs *ἀνθρωπίνων* Vln

150 *τῆς νυκτὸς ὀλίγον τι ὕπνου μεταλαμβάνοντες, τὸ λοιπὸν μέρος χεῖρας ὁσίας πρὸς τὸν θεὸν ἔτεινον, τὸν νενομισμένον τοῦ ὕπνου καιρὸν ἀλύπως εἰς προσευχὴν παραπέμποντες.*

Ἐφ' ὧν καὶ θαυμάσιόν τι γέγονε καὶ οἷον ἄξιον διηγή-
155 *ματος· τῆς γὰρ κατ' ὄρθρον ποτὲ τελουμένης δοξολογίας, εἱστήκεισαν ἄμφω παρὰ μέρος τι τοῦ νεώ, ἦν δὲ οὗτος Εἰρήνης τῆς μάρτυρος, ὃς δὴ καὶ ἐπιθαλάττιός τέ ἐστι καὶ ὀφθαλμοῖς κάλλιστον θέαμα· ἦν δὲ ὁ μέγας Αὐξέντιος ἐκ πολλοῦ συντακὴς τὸ σῶμα γενόμενος, καὶ τὴν φυσικὴν κα-*
160 *ταναλώσας ὑγρότητα, καὶ ξηρότερος τὴν φύσιν τοῦ δέοντος· ἀνελάμβανεν οὖν ἑαυτὸν ἔστιν ὅτε τῷ ἐκ τοῦ ὕδατος πόματι, ὥσπερ δὴ καὶ τότε, ἥττων τοῦ ἀδιαβλήτου τούτου πάθους γενόμενος, ὕδατός τι αὐτῷ ἐκχέαι τὸν ἐπὶ τοῦ νεὼ ᾔτησεν, ὃ δὲ εὐθὺς ἧκε φέρων πλήσας τὴν κύ-*
165 *λικα· καὶ ὃς δεξάμενος καὶ βραχεῖ τινι πόματι τὸ δίψος παραμυθησάμενος, κοινωνὸν τοῦ καλλίστου κρατῆρος καὶ τὸν Μαρκιανὸν ἐποιήσατο, καὶ ὢ τοῦ θαύματος, εἰς οἶνον τὸ ὕδωρ μετεπεποίητο καὶ τὸ πηγαῖον ποτὸν ἀνθοσμίας καθαρὸς ἦν. καὶ ὁ Μαρκιανὸς μήπω τοῦ θαύματος ἐν συ-*
170 *ναισθήσει γενόμενος, ἐλοιδορεῖτο τῷ Αὐξεντίῳ, ὅτι οἶνον αὐτός τε πίοι καὶ τούτῳ κοινωνοίη τοῦ κράματος· ὡς δὲ τὴν μεταβολὴν ἔγνω, ἐθαύμασε μὲν τὸ γεγονός, αἴτιον δέ, ὅπερ ἦν, τὸν Αὐξέντιον ἐποιεῖτο τοῦ θαύματος· ὃς δὴ καὶ τῆς λοιδορίας τὸν Μαρκιανὸν ἀμειβόμενος, 'ὢ κάλλιστε ἀν-*
175 *δρῶν' ἔφησε 'μή σοι τὸ καθ' ἡμᾶς φιλοσόφημα ἀφορμὴ*

151 *πρὸς – ἔτεινον* cs *ἔτ. πρ. τ. θ.* Vln *τὸν*[1] om. sl 152 *τοῦ ὕπνου* om. ln 154 *ὧν* Vcns *ὃν* l 157 *καὶ*[1] cn om. Vls 164 *ἧκε* Vln *ἦλθε* cs 168 *μετεπεποίητο* Vln *μεταπεποίητο* cs

γενέσθω ἀλαζονείας, ἀλλὰ τὸ διδόμενον, ὁποῖον ἂν ᾖ, εὐμενῶς μάλα δεχόμενος, ἐν ἀπορρήτοις ἐργάζου τὴν ἀρετήν· καὶ μή τοι θαύμαζε, εἰ τὰ τῆς φύσεως ἡμῖν μεθίσταται· ὁ γὰρ πάλαι τῷ ἐν Κανᾷ γάμῳ θαυματουργήσας θεὸς καὶ τὸ ὕδωρ εἰς οἶνον ἀμείψας, οὗτος δὴ καὶ πάλιν οἴνου 180 *μεστὸν τὸν τοῦ ὕδατος κρατῆρα πεποίηκεν· οὐ γὰρ ἐπέλιπεν ἡ πηγή, ἀλλ' ἐκεῖθεν οἱ ποταμοὶ ἀένναα βλύζουσι.'*

Τοῦτο μὲν οὖν τοιοῦτον εἶχε τὸ τέλος, καὶ δεῖ μὴ ἀπιστεῖν· καθ' ἑαυτὰς γὰρ αἱ τῶν γεγονότων φύσεις ἑαυτῶν οὐ μεθίστανται, θεοῦ δὲ βουληθέντος, ὑπὲρ λόγον ἅπαντα 185 *πρὸς τὸ ἐκείνου μεταβάλλονται βούλημα.*

Ἐγὼ δὲ τὰ κατὰ τὸν θεῖον ἄνδρα τοῦτον ἱστορῆσαι προῃρημένος, ἀπορῶ τίνων μὲν ὡς προτέρων ἄρξομαι, τίνα δὲ ἐν τοῖς ἐσχάτοις τοῦ ἐγκωμίου θήσομαι μέρεσι, μᾶλλον δὲ τίσι τὸ εἰκὸς ἀποδώσω, ἢ πῶς ἅπαντα ταῖς μνήμαις 190 *ἐρῶ συλλεξάμενος. διὰ ταῦτα, οὐ μακρὸν ἐπὶ πᾶσι λόγον ἀποτενῶ, ἀλλ' οἷον κατ' ἐπιδρομὴν τούτοις ἐπεξελεύσομαι, τῶν ἐφ' ἑαυτοῦ λεγομένων εὐφημιῶν ἕκαστον ἀφελόμενος· τί γὰρ δεῖ λόγου ἐπιποιήτου τοῖς ἀφ' ἑαυτῶν κοσμουμένοις καὶ τῷ φυσικῷ κάλλει λαμπρυνομένοις;* 195

Μαθητὴς ὁ μακάριος οὗτος τοῦ θειοτάτου Παύλου τῷ ὄντι γενόμενος, διατροφαῖς μὲν τοσαύταις ὅσαι τὴν χρείαν πληροῦσιν ἠρκεῖτο τοῦ σώματος, μᾶλλον μὲν οὖν καὶ τού-

194–195 cf. Psell. or. 19,63–64 Littlewood 196–200 sanctus Paulus Thebanus significatur; cf. Hieronym. vita s. Pauli 6 et 10 et 12 (pp. 161; 167,8; 168,5 Oldfather/Corey)

176 *εὐμενῶς μάλα δεχόμενος* cs om. Vln 177 *πιὼν*; supra *ἐν* l 183 *τὸ* om. c 186 *μεταβάλλονται* Vln *μεταβάλλεται* cs 193 *ἑαυτοῦ* cs *ἑαυτῷ* ln *ἑαυτ* V 197 *τοσαύταις* Fr. *ταῖς* codd. *ὅσαι* Vcns *ὅσαις* l

των τοῦ πλείστου μέρους ἀπείχετο· ἐσκέπετο δὲ τὸν
200 *ἅπαντα χρόνον ἱματίῳ ἑνί, καὶ τούτῳ ἐξ ἐρίων ἐξυφα-*
σμένῳ, οὐχ ἁπαλῷ τε καὶ περιρρέοντι, ἀλλὰ σκληρῷ τε
καὶ ἀντιτύπῳ καὶ ζώνης δεομένῳ ἐλάχιστα· ἵνα δὲ μὴ
ῥιγοῖ, ἱερατικὸν ἄνωθεν φελώνην ἠμπίσχετο, ὥς γέ μοι
δοκεῖ, ἀποκρύπτειν βουλόμενος, ὅτι μονοχίτων τε εἴη καὶ
205 *πρὸς τοὺς ἐξαισίους διακαρτεροίη τῶν κρυμῶν.*

Πεῖραν οὖν ἐπ' αὐτὸν τῆς τοιαύτης αὐτῷ φιλοσοφίας ὁ
δαίμων καθίστησι καί τινα τῶν ἐν ὑποκρίσει πενίας τὴν
τῆς ψυχῆς αὐτῶν ἀπληστίαν πληρούντων αὐτῷ ἐπαφίησιν·
ὃς δὴ οἰκτρῷ τῷ σχήματι καὶ ἐλεειναῖς ταῖς φωναῖς τὸν
210 *μέγαν ᾔτει ὅπερ δὴ καὶ μόνον ἐνεδιδύσκετο ἔσθημα. ὁ δὲ*
τὰ πρῶτα μὲν ἀπεκρούετο τοῦτον, μή τοι βουλόμενος ἐξει-
πεῖν ὅτι φιλοσοφεῖν αἱροῖτο καὶ ἱματίῳ ἑνὶ σκέποιτο· ὡς
δὲ τάς τε προόδους αὐτῷ ἐκεῖνος προκατελάμβανε, καὶ
ἐξιόντι μὲν συνεξῄει, οἴκοι δὲ γεγονότι συγκατέλυεν, ἅπαξ
215 *ποτὲ πρὸς τὴν βίαν τοῦ ἀνδρὸς ἐνδοὺς ὁ μακάριος, τὴν*
ὑπὸ τὸν φελώνην ἐσθῆτα ὑπεκδυθείς, δέδωκε τῷ αἰτοῦντι
χαίρειν εἰπὼν καὶ ἀπήλλακτο. καὶ ὁ μὲν λαβὼν ἀπῄει, σὺν
πολλαῖς ἑτέραις καὶ ταύτην κτησάμενος, ὁ δέ γε Αὐξέν-
τιος, ὥσπερ δὴ γυμνῷ τῷ νῷ τῶν ἀπὸ τῆς σαρκὸς παθη-
220 *μάτων τὰς εὐχὰς ἀπεδίδου θεῷ, οὕτω δὴ καὶ τῷ σώματι*
τῶν ἐπιποιήτων καλυμμάτων ἐλεύθερός τε καὶ κοῦφος τὴν

200 *τούτῳ* Vcln *τοῦτο* s **203** *ῥιγοῖ* Vcs *ῥιγῇ* ln *ἱερατικὸν* Vcns *ἱερατικὴν* l **204** *εἴη* Vcns *ἐστι* l **205** *διακαρτεροίη* Fr. *διακαρτερεῖ* codd. *κρυμῶν* cs *κρυμμῶν* Vln **207** *καθίστησι* ls *καθίησι* Vcn **207** *ἐν* om. l **210** *ἔσθημα* cs *ἔνδυμα* Vln **211** *τοι* ln *τι* Vcs **213** *αὐτῷ* om. l **216** *ὑπεκδυθείς* Vln *ἀπεκδυθείς* s *περιδυθείς* c **219** *καὶ* post *δὴ* add. l *τῆς* om. V **220** *τῷ* post *εὐχὰς* add. n

θείαν πορείαν ἐβάδιζεν, ἐντεῦθέν τοι καὶ τὰ πρὸς τὸν θεὸν αὐτῷ κατευθύνετο διαβήματα.

Οὐκ ἔλαθε δὲ ἄρα τὸν ἑταῖρον Μαρκιανὸν τὸ γενόμενον, ἀλλ', ἐπειδὴ τὰ περὶ τὸν τράχηλον γυμνὰ τεθέατο μέρη, 'ὦ 225 *θειότατε Αὐξέντιε' ἔφησε 'διατί σοι ἴσως διαρραγέντος τοῦ ἱματίου μὴ ἕτερον ἐξ ἡμῶν ᾔτησας; ἢ οὐχὶ σύμπλοοί τε καὶ συνέμποροι κοινῇ τὴν τοῦ βίου διαπερῶμεν θάλασσαν, καὶ κοινωνεῖν ἀλλήλοις ὧν ἔχομεν προειλόμεθα; εἶτα, ἐγὼ μὲν ἀρκούντως ἔχω τῶν ἐνδυμάτων, σὺ δὲ περιέρχῃ ἐνδεὴς* 230 *τῆς χρείας φαινόμενος, καὶ ταῦτα, ἡλίου τε ἐφορῶντος καὶ γῆς διαρραγῆναί μοι δυναμένης. ἀλλὰ μὴ οὕτω ποίει, τὸ δὲ μέρος λαβὼν τῆς ἐμῆς ἀμφιάσεως, σκέπε τὸ σῶμα, καὶ συμμεριζέσθω ἡμῖν ἐπ' ἴσης ὁ βίος, ἐπειδὴ καὶ κοινῇ τὴν φιλοσοφίαν ἑαυτοῖς ὑπεθέμεθα.'* 235

Ὁ δὲ ἱλαρῷ τῷ προσώπῳ ἐπιμειδιάσας τοῖς παρὰ τοῦ Μαρκιανοῦ ῥηθεῖσιν, 'οὐ γεγύμνωμαι' ἔφη 'ἀνδρῶν ἄριστε, ἀλλ' ἀπήλλαγμαι τοῦ βαρύνοντος· ἀπεφορτισάμην δὲ καὶ τὸ ἔξωθεν ἄχθος, ὅ μοι ἀεὶ ἐπεγίγνετο, φορτικώτατον ὑπάρχον καὶ δυσαπάλλακτον. ἀλλ' ἢν γε βούλῃ, τοῦτο μὲν 240 *τὸ μέρος ἐῶμεν, ἐπὶ δὲ τὸν καθηγητὴν τῆς ἡμετέρας φιλοσοφίας, τὸν ἐν τῷ Ἑβδόμῳ Ἰωάννην βαδίσωμεν, ἐπεὶ καὶ πλεῖστον ἤδη καιρὸν τοῦ γυμνασιάρχου ἀπολελείμμεθα καὶ οὐκ οἶδα, εἴ γε κατὰ λόγους τῆς νοητῆς ταύτης γυμναστικῆς τὸ τῆς ἀρετῆς ἡμῖν χωροίη γυμνάσιον.'* 245

222–223 cf. Ps. 36,23 **231–232** cf. Hom. Od. 11,109 et Num. 16,31

222 *τὸν* om. ln **232** *μοι* Vcls *μὴ* n **238** *καὶ*[1] om. c **239** *ἐπεγίγνετο* Vcns *ἐπεγίνετο* l **240** *ἢν ... βούλῃ* c *εἰ...βούλῃ* s *ἢν...βούλοιο* Vl *εἰ...βούλοιο* n **241** *καθηγητὴν* Io. *καθηγέτην* codd. **242** *ἑβδόμῳ* Vcln *εὐδόμῳ* s

Εἴρηκε ταῦτα καὶ ἄμφω συντόνως πρὸς τὸν ἄνδρα ἐβαδισάτην· καὶ πρὶν ἢ εἰς ὁμιλίαν ἐλθεῖν τῷ ἀνδρί, ὁρᾷ ὁ θεῖος Αὐξέντιος τὸν εἰληφότα παρ' ἑαυτοῦ τὸ ἱμάτιον πένητα, γυμνὸν ὡς ἀληθῶς καὶ τοῦ ἐπὶ τῷ σώματι χιτωνίου,
250 *καὶ ἀπολοφυρόμενον ἃ πεπόνθει τῆς παρελθούσης νυκτός· ἔλεγε δὲ ὅτι φῶρές τινες ἀωρὶ τῶν νυκτῶν αὐτῷ παραγεγονότες, πάντα ὅσαπερ εἶχεν ἐκπεφωρήκεσαν, πλὴν αὐτοῦ τἄλλα κεκλοφότες. τούτων ἀκούσας ὁ θεῖος Αὐξέντιος, χαρίεν τε καὶ ἡδὺ μειδιάσας, ὥσπερ εἰώθει, εὐφήμῳ*
255 *γλώττῃ τὸν φῶρα ἐξύμνησε, τὸ ἀνάλωτον αὐτῷ ἐπευξάμενος· ὡς καὶ τὸν θεῖον Ἰωάννην, ἐκπλαγέντα ἐφ' οἷς ὁ Αὐξέντιος ἔλεγεν, ἔρεσθαι ὅτου εἵνεκα ταῦτα τἀναντία τῶν πραττομένων λέγει, τοῦ μὲν πεπονθότος καταμωκώμενος, τοῦ δὲ κεκλοφότος ὑπερευχόμενος.*
260 *Ἐφ' οἷς ὁ μακάριος ἀπαλλάξαι τὸν ἠρωτηκότα προῃρημένος τῆς ἐφ' οἷς εἶπεν ἐκπλήξεως, ἠρέμα καὶ πρᾴως τοῦ πεπονθότος διεπυνθάνετο, 'τίνα ἄρα σοι, ὦ ἄνθρωπε, καὶ πόσα ὁ συλήσας ἀφείλετο;' ὁ δὲ ἄλλα τε πλεῖστα κατέλεξε, καὶ ἐσθῆτας ὀκτώ. εἶτα, 'ὦ καταρατότατε' ἔφησεν*
265 *'ἄνθρωπε, διατί πλῆρες ἔχων τὸ κιβώτιον ἱματίων καὶ σώμασι τοσούτοις ἀρκέσαι δυνάμενον, εἶτα δὴ καὶ τὸ ἐμὸν συνεξειλήφεις βιασάμενος καὶ γυμνόν με κατέστησας, ὡς ὁρᾷς,' βραχύ τι τὸν φελώνην διαστείλας καὶ τὸ σῶμα δεί-*

255–256 cf. Matt. 6,36

246 *ἐβαδισάτην* c *ἐβάδισαν* Vlns **248** *ἑαυτοῦ* cs *αὐτοῦ* Vln **249** *τῷ σώματι* Vcls *τοῦ σώματος* n **251** *φῶρες* Vcln *φῶραις* s **254** *τε* Vcls *τι* n **258** *λέγει* Vcln *λέγειοι* s *λέγοι* Io. **263** *πλεῖστα* cs om. Vln **264** *καταρατότατε* V *καταρατώτατε* ln *καταρότατε* s *καταρώτατε* c *ἔφησεν* om. ln **267** *κατέστησας* Vcls *καταστήσας* n

ξας γεγυμνωμένον· 'ἀλλὰ τοὺς μὲν πολλοὺς ἴσως διέλαθες
τοιοῦτος ὤν, ὁ δὲ τῆς δίκης ὀξὺ ἐπὶ σὲ ἰδὼν ὀφθαλμός, δί- 270
κας τῆς ἀπληστίας ἀπήτησε· μὴ οὖν ἄλγει ἐφ' οἷς πάντη
ἀπογεγύμνωσαι, ἀλλ' εὐθύμει, ὅτι τοῖς ἐνταῦθα δικαιωτηρί-
οις παραδούς σε ὁ θεός, τῶν ἐπὶ τοῖς μέλλουσιν αἰῶσιν
ἴσως ἀπήλλαξεν.'

Ἀλλὰ μοναχοῖς μὲν καὶ φιλοσόφοις ἀνδράσιν οὕτως ἐκ 275
τοῦ ὑφειμένου ὁ μέγας οὗτος ὡμίλει ἀνήρ, ἡγεμόσι δὲ καὶ
δυνάσταις ὥσπερ ἀφ' ὕψους διαλεγόμενος ἦν καὶ ἀπὸ τοῦ
κρείττονος τὰς συνουσίας ποιούμενος· κατετόλμα δὲ ἄρα
καὶ βημάτων δικαστικῶν, ἀντέκειτο δὲ καὶ ταῖς ἐκ βασι-
λέως ἀποφάσεσιν, εἴ γε ταύτας παρὰ τὸ δέον γιγνομένας 280
ἑώρα.

Ἀμέλει ποτὲ ἄνδρα τινὰ θεασάμενος στρατιώταις ἐκ-
δεδομένον βασιλικαῖς διαγνώσεσιν, ἐφ' ᾧ δή τινι κατεδεδί-
καστο, καθελκόμενόν τε τούτοις καὶ σπαραττόμενον, θαρ-
ρήσας εἰς μέσους ἐγένετο, καὶ τὰς ὀφρῦς τούτοις 285
ἐπισυναγαγών, εἶτα δή τι καὶ διαπειλήσας, τοὺς μὲν πρὸς
τὸ ἐννομώτερον ἐπανήγαγε, τῷ δὲ ὑπευθύνῳ τὴν ἐλευθε-
ρίαν καθαρῶς ἐμνηστεύσατο. ἴσχυε δέ, τὰ μὲν ἀντιδιατιθέ-

270–271 CPG II 366,8 **276–280** cf. Sozom. hist. eccles. 7,22 (PG 67,1484 C 16–17); Synax. Cpl. 465,10–13 (ASS propy. Nov., Delehaye); Aux.[4] 241,17–19) **282–349** cf. Aux.[1] 1381 D 7–1384 D 2; Aux.[2] 279 (209 β); Aux.[3] 5,1–7; Aux.[4] 243,22–244,8

269 *μὲν πολλοὺς* Vcns *πολλοὺς μὲν* l **276** *ὡμίλει* om. et *διαλέγετο* post *ὑφειμένου* add. l **282** *τινὰ* om. s **283** *κατεδεδίκαστο* Fr. *καταδεδίκαστο* Vcs *κατεδίκαστο* ln **286** *πρὸς* cs *ἐπὶ* Vln

μενος τοῖς ἀδικεῖν ἐθέλουσι καὶ τῷ δικαίῳ τεθαρρηκώς, τὰ
290 *δὲ τῷ μεγέθει τῆς καθ' ἑαυτὸν φήμης καταπειθεῖς ἅπαν-*
τας ἔχων πρὸς ὅ τι καὶ βούλοιτο, τοῖς δ' ἔτι καὶ παρὰ
μέρος θαυματουργῶν, πρὸς τὸ αἰδέσιμον αὐτῷ συνεῖχεν.
Ὠφέλει δὲ ἄρα καὶ βασιλεῖς, τοὺς ἐπὶ τῶν βασιλείων
αὐλῶν, τοὺς ἐπ' ἄλλῳ δή τινι ἡγεμονεύοντας, δικαστάς,
295 *ἄρχοντας, ἰδιώτας, τοὺς καθ' ἕνα, τὰς πόλεις κοινῇ· ὥσπερ*
δή ποτε καὶ τῶν τῆς Βυζαντίδος ἐμπορίων κακῶς ἐχόντων,
καὶ τῶν ἐπὶ τοῖς ἐργαστηρίοις τὴν τοῦ καιροῦ δυσχε-
ραινόντων ἀνωμαλίαν, καὶ ὡς κινδυνεύει τὸ κατ' αὐτοὺς
πρᾶγμα καὶ ἡ τέχνη μικροῦ δεῖν ἐξαπόλωλε, τῶν μὲν ἀέ-
300 *ρων τὰς πλησμονὰς τῶν ὠνίων ἀφελομένων, τῶν δὲ ἀν-*
θρώπων τὰς τῶν τιμημάτων προσθήκας οὐ προσιεμένων, ὁ
μακάριος οὗτος κατ' οὐδὲν τῷ μεγέθει τῆς φιλοσοφίας
ἐναντιούμενος, ἀναβὰς ὥσπερ ὅπερ δὴ δι' ἀρετὴν καταβέ-
βηκε, τῆς βαναύσου ταύτης τέχνης ἑκοντὶ τὴν προστασίαν
305 *ἐδέξατο· καὶ τοῖς ἐμπορίοις ἑαυτὸν δούς, οὕτω δὴ τὰς τῶν*
πολιτῶν γνώμας μετήλλαξεν, ὡς ἅπαντας αἱρεῖσθαι ὠνεῖ-
σθαι τὰ καταλλαττόμενα ὁπόσου καὶ βούλοιτο. ἐντεῦθεν ἡ
πόλις μετεσχημάτιστο καὶ οἱ ἐπὶ τῶν ἐμπορίων ἀνεπεπνεύ-
κεσαν, καὶ τὸ τοῦ ἀνδρὸς φιλοσόφημα ὑπόθεσις ἀρίστης
310 *οἰκονομίας ἐγένετο· καὶ πρὸς ὃ δόγματα βασιλέως οὐκ ἤρ-*
κεσαν, ἡ τοῦ ἀνδρὸς ἀρετὴ ἀντέσχε, καὶ τὸ παρὰ τοῦ
χρόνου ἀνώμαλον καὶ ὑστερῆσαν κατά τινας θείας οἰκονο-
μίας παρὰ τῆς ἐκείνου γνώμης ἀναπεπλήρωτο.

291 *δ'ἔτι* cs *δέ τι* Vln **293** *καὶ* post *ἄρα* add. l et ci. Io. **296** *τῶν*[1] clns *τὴν* V **299** *δεῖν* add. man.[2] mg.l **303** *ὅπερ* om. n *δὴ* om. l **304** *τέχνης* add. man.[2] mg.l **305** *δὴ* om. l **307** *ὁπόσου* cs *ὁπόσον* V *ὁπόσων* ln *βούλοιτο* Vcs *βούλοιντο* ln **308** *ἀνεπεπνεύκεσαν* cs *ἀναπεπνεύκεσαν* Vln **310** *βασιλέως* cs *βασιλέων* Vln

Ἦν δὲ ὁ μέγας οὗτος πατὴρ οὐκ ἀνθρώποις μόνον αἰδέσιμος, ἀλλὰ καὶ δαίμοσι φοβερὸς καὶ ἀπρόσιτος· ἡττῶντο 315 γὰρ τῆς ἀρετῆς αὐτοῦ καὶ πρὸς τοὺς χαρακτῆρας τῆς αὐτοῦ ψυχῆς ἀποβλέποντες, ὥσπερ τινὰ θείαν φύσιν ἐθαύμαζον.

Ἀπιόντι τοιγαροῦν αὐτῷ ποτὲ πρὸς τὸν βασιλέα (παρεγίγνετο γὰρ τῷ κρατοῦντι πυκνότερον, διορθούμενος αὐτοῦ 320 τὴν ψυχὴν καὶ κατευθύνων αὐτὸν πρὸς τὴν ἀρχικὴν ἐπιστήμην) γυνή τις κατὰ μέσην ἀπαντᾷ τὴν ὁδόν, ἔγκυος δ' ἄρα ἦν καὶ πρὸς τῷ βάρει τῆς φύσεως καὶ ἄχθος τι μέγα ἐπεπεφόρτιστο πνεύματος. ἡλᾶτο οὖν ἀνὰ τὴν πόλιν ἐκβεβακχευμένη τὴν γνώμην καὶ τὴν κόμην διεσπαραγμένη καὶ 325 τὴν ἄλλην πᾶσαν ἀσχημοσύνην ἐπιδεικνυμένη· ὡς δὲ τὸν μέγαν ἐθεάσατο, ἡ μὲν δὴ ἐφ' ἑαυτῆς ἐγεγόνει, τὸ δὲ πνεῦμα ἔσωθεν τοιαύτας ἠφίει φωνάς· 'ὢ βία, τί ἐμοὶ καὶ τῷ Αὐξεντίῳ, τίς δὲ τούτῳ τὴν καθ' ἡμᾶς φιλοτιμίαν πεφιλοτίμηται, πῶς δὲ καὶ εἰς τοσοῦτον ἀλαζονείας ὄγκον 330 ἀνέδραμεν, ὡς καὶ τολμᾶν καθ' ἡμῶν καὶ οἷον δύνασθαι ἐξ αὐτῆς θέας ἐξελαύνειν ἡμᾶς ἐν οἷς κατοικεῖν προειλόμεθα; ἰδοὺ γὰρ εἴκοσιν ἔτη τῆς γυναικὸς ταύτης τὴν δυνα-

322–324 cf. [Psell.] de daem. operat. 16 et 19 (PG 122,858 B 5 ff. et 864 B 6–14) **328–329** cf. Mar. 1,24 **331–332** nonnumquam daemones muliebres esse videntur (cf. [Psell.] de daem. operat. 17 et 19 [PG 122,860 A 6–7 et 864 B 6 ff.]) **334–335** cf. Psell. or. 28,68–70 Littlewood

314 *μόνον* Vln *μόνοις* cs **319** *ποτὲ* om. cl **322** *ἔγκυος* Vcls *ἔγγυος* n **323** *πονηροῦ* post *μέγα* add. s **324** *ἐπεπεφόρτιστο* Fr. *ἐπεφόρτιστο* Vln *ἐπιπεφόρτιστο* cs **329** *ἡμᾶς* Vl *ἡμῶν* cns *φιλοτιμίαν* Vln *ἡγεμονίαν* cs **331** *οἷον* Vcln *οἱονεὶ* s **332** *ἐξ-* om. l n et add. man.[2]n

στείαν ἀνείληφα καὶ οἷον ἐξ ἀκροπόλεως τῆς κεφαλῆς αὐ-
335 *τῆς τοῦ λοιποῦ τυραννῶ σώματος· καὶ διείλημμαι μὲν ὥσα-*
περ ἐν σπλάγχνοις αὐτοῖς, συνείλημμαι δὲ ἐν τῷ βάθει τῆς
φύσεως. ἀλλὰ νῦν ὥσπερ ἐκεῖθεν ἀποσπᾶσθαι δοκῶ καὶ
πρὸς ἐξόδους εἰμί· εὐθύς τε γὰρ εἶδον τοῦτον, καὶ διεσπά-
ραγμαι καὶ ἠλάττωταί μοι τὰ τῆς δυνάμεως.' τούτων ἀκού-
340 *σας ὁ μακάριος οὗτος ἀνὴρ καὶ γνοὺς ὡς αὐτίκα τὸ*
πνεῦμα ἐξελαθήσεται, ἀπετράπετο μὲν τὴν πρὸς αὐτὸ φέρ-
ουσαν, ἐφ' ἑτέραν δὲ τὸν ἵππον παρήλασεν (ἔτυχε γὰρ
τότε ἔποχος ὤν) εἰδὼς ὡς γενομένου τοῦ θαύματος, πολύς
τε ἐπ' αὐτὸν ὄχλος συρρεύσει καὶ εὐφήμοις φωναῖς ἐξυ-
345 *μνήσουσιν· ἀλλ' ὁ μὲν διώκων ἔφευγε, τὸ δέ γε πνεῦμα*
φεῦγον ἐδίωκε καὶ κατόπιν ἐβάδιζε, τὰς αὐτὰς πάλιν φω-
νὰς ἀφιέν· ὡς δὲ ἐπιστραφεὶς διηπείλησε, τὸ μὲν εὐθὺς
ἀπελήλατο, ἡ δὲ γυνὴ διεσέσωστο ἀπαλλαγεῖσα τοῦ
δαίμονος.
350 *Ἀλλὰ ταῦτα μὲν ἐπὶ τῆς Βυζαντίδος διατρίβων ἐτέλει τὰ*
θαύματα· ἐπεὶ δὲ κυμανθήσεσθαι τὴν τοῦ Χριστοῦ ἐκκλη-
σίαν διέγνω, καὶ τοὺς πολλοὺς χειμασθήσεσθαι, μᾶλλον δὲ
καλυφθήσεσθαι τῷ τῶν αἱρέσεων κύματι, δεῖν ἔγνω βραχύ
τι τοῦ πελάγους παρεκκλῖναι, πρύμναν κρουσάμενος, καὶ
355 *πρὸς τὸν οὐράνιον κατευθῦναι φρυκτόν, ἐκ πρύμνης ἐν-*

350–455 cf. Aux.[1] 1384 D 7–1385 D 8; Aux.[2] 280 (212 *α* 2–212 *β* 1); Aux.[3] 5,8–31; Aux.[4] 244,10–30

334 *αὐτῆς* Vcls *αὐτοῦ* n **335–336** *μὲν* ... *δὲ* om. et *καὶ* post *αὐτοῖς* add. l *αὐτοῖς* Vc *αὐτῆς* lns **337** *ἐκεῖθεν* om. c **338** *τε γὰρ* om. ln **339** *μοι* Vcs *μου* ln **345** *γε* om. ls **348** *διεσέσωστο* Fr. *διασέσωστο* Vcns *διέσωστο* l **355** *κατευθῦναι* Vcln *κατευθῆναι* s **355** *ἐνθέως* cs *εὐθέως* Vln

θέως ἄνωθεν κυβερνώμενος· ἤδη γὰρ τὰ Νεστορίου καὶ Εὐτυχοῦς ἐτολμᾶτο τοῖς πολλοῖς δόγματα, καὶ τὸ πλεῖστον μέρος τῆς πόλεως τῆς εὐθείας ἀπεπλανᾶτο ὁδοῦ καὶ τῆς ἀρραγοῦς πέτρας ἀπωλίσθαινέ τε καὶ ἀπερρήγνυτο.

Ἤστην δὲ ἄρα τὼ ἄνδρε τούτω τῆς μὲν ἀληθοῦς πί- 360 *στεως ἐπ' ἴσης διημαρτηκότες, ταῖς δόξαις δὲ πρὸς ἀλλήλους ἐκ διαμέτρου ἐναντιούμενοι· ὁ μὲν γὰρ Νεστόριος κατὰ φύσιν μὲν ἔχειν τὸ τοῦ Χριστοῦ διετάττετο σῶμα, ἐπιφαίνεσθαι δὲ ἐν αὐτῷ τὸν θεόν, οὐ κατ' οὐσίαν, ἀλλ' ὥσπερ διατιθέμενον· ὅθεν καὶ τὴν πίστιν ἡμῶν ὑποδυό-* 365 *μενος, δύο τε φύσεις καθωμολόγει καὶ τὴν ἕνωσιν τούτων προσίετο, παρελογίζετο δὲ τοὺς ἀκούοντας τῇ τῆς ἑνώσεως ὁμωνυμίᾳ, ἕνωσιν μὲν γὰρ οὐ τὴν οὐσιώδη, ἀλλὰ τὴν ἐκ διαθέσεως ἔλεγεν, ὥσπερ φαμὲν ἑνοῦσθαι τοὺς γνησίως ἀλλήλοις διακειμένους· διὰ ταῦτα καὶ ἀφῄρει τῆς τοῦ κυ-* 370 *ρίου μητρὸς τὴν 'θεοτόκος' φωνήν, χριστοτόκον ταύτην ἀποκαλῶν. ὁ δέ γε Εὐτυχὴς αὐτὸν δὴ τὸν οὐσιώδη λόγον ὑποδῦναι τὴν τῆς θεοτόκου μήτραν ἀντεδογμάτιζε, φαντάσαι δὲ τοῦ σώματος τὴν περιβολήν. οὕτω δὴ τὸ κακὸν καὶ πρὸς τὸ ἀγαθὸν ἠναντίωται καὶ πρὸς ἑαυτὸ ἀσύμφωνον* 375 *πέφυκε, τῆς ἀρετῆς τοῖς οἰκείοις πρὸς ἑαυτὴν ὁμονοούσης μέρεσι.*

357–358 cf. II Petr. 2,15 **368–372** cf. Leont. Byzant. de sect. 4,4 (PG 86,1221 C 1–9)

360 *ἤστην...τὼ ἄνδρε τούτω* cs *ἦσαν...οἱ ἄνδρες οὗτοι* Vln *ἄρα* cs om. Vln **362** *μὲν* om. l **363** *μὲν* cs *τε* Vln *διετάττετο* Vcln *διέταττε* s **365** *πίστιν* Vcls *φύσιν* n **365** *ὑποδ-* Vcns *ἀποδ-* l **368** *οὐ τὴν* Vln *αὐτὴν* cs **372** *οὐσιώδη* clns *οὐσιούδη* V

Ταύτην δὴ τὴν διττὴν ζάλην ὁ μέγας κυβερνήτης ἐπενηνεγμένην ὁρῶν, πρὸς τοὺς θείους κατῆρε λιμένας· καὶ μι-
380 *κρόν τι τὴν Χαλκηδόνα παραλλάξας (πόλις δὲ αὕτη πάλαι μὲν ἐπιφανὴς καὶ διάσημος, νῦν δὲ ἀγαπῶσα εἰ μὴ τῶν ἐσχάτων ἐλάττων φαίνοιτο) ταύτην δὴ παραμείψας, ἐπὶ τὸ κατ' εὐθὺ ὄρος, κατὰ τὸ πλάγιον τῆς πόλεως μέρος κείμενον, ἄνεισιν· ὅπερ δὴ πάλαι μὲν οὔπω μεγίστου*
385 *ὀνόματος κατηξίωτο, νῦν δὲ παρὰ τὴν τοῦ ἀνδρὸς τοῦδε ἀρετὴν ὕψωταί τε καὶ τεθαύμασται καὶ τὰ Αὐξεντίου πεφήμισται.*

Τοῦτο δὴ τὸ ὄρος ἀνιών, ἐπί τινος πέτρας, Ὀξείας, οὕτω λεγομένης ἴσως ἀπό γε τοῦ σχήματος, τοὺς μὲν πόδας
390 *ἐστήριξε, τὴν δὲ καρδίαν ἀφῆκε θεῷ, πρὸς ὃν δὴ ἐκ πλείονος ἀνίπτατό τε καὶ ἀνεπτέρωτο. καὶ ἦν θέαμα ξένον, ἄνθρωπος πᾶσαν μὲν τὴν ἐν γῇ πραγματείαν ἀπολιπών, πάσης δὲ ἀφέμενος σχέσεως, ὑπεριδὼν πατρίδος, γένους, συγγενῶν, παντὸς ἄλλου ἑτέρου τιμιωτέρου πράγματος καὶ*
395 *ὀνόματος, ἀπολελυμένος καὶ τῆς ὕλης αὐτῆς καὶ τοῦ σώματος καὶ γυμνῷ τῷ νοῒ τῷ θεῷ ἑνωθείς, μηδενὸς αὐτοῖς μεσιτεύοντος, μικροῦ δὲ δεῖν ἐξελάθετο ὅτι καὶ ἄνθρωπος ἦν· τροφῶν τε γὰρ ἠμέλει καὶ ἀμπεχόνης εἶχε τὸ σῶμα*

396–397 cf. infra or. 2,133–138

380 *Χαλκηδόνα* clns *Καλχηδόνα* (corr. s. l. *Χαλκ-*) V **381** *ἀγαπῶσα* Vcln *ἀγαπῶσε* s **382** *ἐλάττων* Vln *ἐλάττω* cs **385** *τοῦδε ἀρετὴν* Vcls *ἀρετὴν τοῦδε* n **386** *τεθαύμασται* Vcns *τεθαυμάστωται* l *τὰ* Vcns *τὸ* l **388** *ἀνιὼν* Vln *ἀνιστὸν* cs **389** *λεγομένης* Vcls *καλουμένης* n *μὲν* om. n **393** *δὲ* om. Vn **394** *ἄλλου ἑτέρου* n *ἑτέρου* om. Vcls (cf. Dem. or. 15,27) *τιμιωτέρου* Vln *τιμιωτάτου* cs *πρ. καὶ ὀν.* Vcns *ὀν. τε καὶ πρ.* l **397** *δεῖν* Vcns *δὴ* l **398** *τε*[1] om. l *ἀμπεχόνης* cs *ἐνδύματος* Vln

γυμνόν, τήν τε κόμην τοῖς ἀνέμοις ἀφῆκε· καὶ ὅλως τὰ μὲν ἔξωθεν οὐδὲν ἀπεῴκει θηρῶν, τὴν δὲ ψυχὴν οὐδὲ 400 *κατὰ βραχὺ τῶν ἀγγέλων ἀπελιμπάνετο. ἐσιτεῖτο δὲ ὁπόσα δὴ τὸ ὄρος αὐτομάτως ἔφυε, πόμα τε αὐτῷ ἦν τὸ ἐκ τῶν τοῦ ὄρους λαγόνων ἀναδιδόμενον· οὐδεὶς ἐκείνῳ τὴν χρείαν ἐπλήρου τοῦ σώματος, ἐπεὶ μηδὲ τοῖς πολλοῖς ἔγνωστο (ἀπέκρυπτε γὰρ ἑαυτὸν πάσης ὄψεως) ἐν τῷ ταμι-* 405 *είῳ τῆς ψυχῆς τὴν ἀρετὴν ὡς ἀληθῶς ἐργαζόμενος.*

Ἐπεὶ δὲ ἔδει ποτὲ μὴ ἐπὶ πολὺ τὸν λύχνον ὑπὸ τῷ μοδίῳ καλύπτεσθαι, ἀλλ' ἀναφανῆναι καὶ καταπυρσεῦσαι τοῖς πολλοῖς τὰς τῆς θεογνωσίας αὐγάς, γίνεταί τι τοι-οῦτον. ἀπώλοντό ποτε τοῖς ὑπὸ τὸ ὄρος ποιμέσι τὰ θρέμ- 410 *ματα· ἐκείνων γὰρ ὑπνωσάντων ἄνω τε ἔδραμον ταῦτα τὸ ὄρος καὶ διεσπάρησαν, ἄλλο κατ' ἄλλο τι μέρος διαιρε-θέντα. ἐπεὶ δὲ διακορεῖς οἱ ποιμένες τοῦ ὕπνου γενόμενοι, ἐπὶ τὰς συνήθεις νομὰς ἐξανέστησαν, οὐδαμοῦ τῶν θρεμ-μάτων φαινομένων, θρῆνόν τε ἐποιοῦντο καὶ διηρευνῶντο* 415 *ταῦτα, πᾶν μὲν νάπος, πᾶσαν δὲ λοφιὰν τοῦ ὄρους δια-δραμόντες, πολλοῖς ὀδυρμοῖς καὶ δάκρυσιν τὴν θείαν ἐπε-καλοῦντο βοήθειαν. ἐπεὶ δὲ οὐδαμοῦ ταῦτα ἐφαίνετο, οὔτε ταῖς ποιμαντικαῖς συνήγοντο σύριγξιν, ἀπεγνώκεισάν τε*

407–409 cf. Matt. 5,15–16 = Mar. 4,21–23 = Luc. 11,33

399 *ὅλως* Vcln *ὅλος* s **400** *θηρῶν* cs *θηρίων* Vln **402** *τε* Vcns *δὲ* l **403** *τὴν χρ. ἐπλ.* Vcns *ἐπλ. τὴν χρ.* l **407** *ἐπεὶ* Vcln *ἐπειδὴ* s **408** *ἀναφανῆναι* Vcns *ἀναφθῆναι* l **409** *τοῖς* om. l *γίγνεται* cs *γίνεται* Vln **411** *ἄνω* cs *ἀνὰ* Vln *τε-καὶ* cs *τὸ ὄρ. ἔδρ. τε ταῦ. καὶ* Vln *τε* om. n **412** *διαιρεθέντα* clns *διαιρεθέντες* V **415** *διηρευνῶντο* Vc ns *διερευνῶντο* l **417** *τὴν-βοήθειαν* l om. Vcns **418** *ἐφαίνετο* cs *ἐφαίνοντο* Vln *περὶ ἁγίου* ad *βοήθειαν* man.[2] mg. l

420 τῆς τούτων εὑρέσεως, καὶ τοῦ ὄρους ἀποτραπόμενοι, ἐπὶ
τὰς συνήθεις ἐχώρουν διατριβάς.

Κατιοῦσι δὲ ἐκ τοῦ παραδόξου ὁ μέγας Αὐξέντιος ἐπι-
φαίνεται· καὶ οἱ μὲν τέρας τε ἰδεῖν ἔδοξαν καὶ τὴν ἑτέ-
ρωθι φέρουσαν ὡς εἶχον ἐτράποντο, ἐκπεπληγμένοι καὶ
425 ἄναυδοι καὶ οἷόν τι φάσμα πεφοβημένοι ἀέριον, ὁ δὲ ἀνε-
καλεῖτο τούτους ἠρεμαίᾳ φωνῇ καὶ πρὸς ἑαυτὸν ἀνθυπέ-
στρεφεν· οἱ δὲ μόγις μέν, ὑπεστράφησαν δ' ὅμως καὶ ἰδόν-
τες αὖθις ἐξεθαμβήθησαν, ἦν γὰρ ὡς ἀληθῶς οὐκ ἀνδρὶ
σιτοφάγῳ ἐοικώς, ἀλλὰ θηρίῳ ὑλήεντι· καθεῖτο γὰρ αὐτῷ
430 ἡ κόμη καὶ τοῦ προσώπου τὸ πλεῖστον μέρος ὡς δι'
ἐσόπτρου ταύτης ἐφαίνετο, τό τε ἄλλο σῶμα κατετετρί-
χωτο καὶ τὸ χρῶμα αὐχμηρὸν ἦν, ὑπὸ τῶν φλογμῶν τοῦ
ἡλίου διακαέν τε καὶ μελανθέν· διὰ ταῦτα φοβερόν τι αὐτ-
οῖς ἔδοξε θέαμα.

435 Ὡς δὲ καὶ λέγοντος ἤκουσαν, διεχύθησάν τε εὐθὺς τὰς
ψυχὰς καὶ μεταβαλόντες τῶν τε ποδῶν ἐκείνου ἥπτοντο
καὶ ὡς θεῷ μικροῦ δεῖν θύσειν κατεπηγγέλλοντο· ὁ δὲ
ἠρώτα ὅτου καὶ δεόμενοι ἐπὶ τὴν ἀπότομον ταύτην πέτραν
ἀναβεβήκεσαν, οἱ δὲ ἀπήγγελλον εὐθὺς συνείροντες, ὡς
440 ἀπώλετο μὲν αὐτοῖς τὰ προβάτια βραχύ τι ἀφυπνώσασιν,

428–429 Hom. Od. 9,190–191 **437** cf. Acta 14,13

422 τοῦ 1 om. Vcns **429** ὑλήεντι Vln ὑλόεντι cs καθεῖτο Vln καθῆτο cs **431** ταύτης Vcln ταύτοις s κατετετρίχωτο Fr. κατατετρίχωτο V κατετρίχωτο clns **432** χρῶμα Vln σῶμα s om. c **433** φοβερόν τι αὐτοῖς Vcns αὐτ. φοβ. τι l **436** τε om. cs **437** δεῖν Vcns δὴ l **438** ἀπότομον Vcs ἄποτον ln ἴσως δύσοδον add. man.²mg.l **439** ἀπήγγελλον clns ἀπήγγελον V **440** μὲν del. Io. προβάτια Vcls πρόβατα n

ὡς πᾶσαν μὲν διηρευνήσαντο τὴν ὑπώρειαν, πᾶσαν δὲ διεληλύθασι σκοπιάν, καὶ ὡς οὐδαμοῦ φαινομένων κατιᾶσιν ἀπαγορεύσαντες.

Τούτων ἐκεῖνος ἀκούσας, 'ἀλλ' εἰς τὴν πλαγίαν' φησὶ 'ταύτην πέτραν ἀπεληλυθότες, αὐτοῦ που τούτοις νεμομένοις ἐντύχοιτε·' οἱ δέ, 'τρίς' ἔφασαν 'τοῦτο τὸ μέρος ἀνακυκλεύσαντες, οὔπω δὴ τεθεάμεθα·' ὁ δὲ πατήρ, 'ἀλλ' ἢν αὖθις' φησίν 'ἐπιδράμητε, πεπλανημένα κατ' αὐτὸ δὴ τὸ μέρος εὑρήσετε.' ἔνθεν τοι καὶ ἀπιόντες καὶ κατὰ τὴν τοῦ πατρὸς φωνὴν ἐκεῖσε διεσπαρμένοις περιτυχόντες, πάλιν πρὸς ἐκεῖνον ἀπῄεσαν, φωνὰς εὐχαριστηρίους ἀποδιδόντες. εἶτα δὴ καὶ ἐπὶ τὰς οἰκείας καταβάντες καταγωγάς, τοῖς τε ἄλλοις ποιμέσι καὶ τοῖς λοιποῖς ἀγρόταις καὶ ἀστυγείτοσι τὸν ἄνδρα ὡς εἶχον γλώττης ἀπεικονίσαντο καὶ τὸ περὶ τῶν θρεμμάτων θαῦμα διεβεβαιώσαντο. 445 450 455

Ἐφ' οἷς τὸ πλῆθος καταπλαγέντες, πρὸς τὸ ὄρος ὡς εἶχον τάχους ἀνέδραμον, καὶ θαυμάσαντες εὐθὺς ἐκ τοῦ θεάματος, εἶτα δὴ καὶ μετ' αἰδοῦς ἀπάσης κατασπασάμενοι, ἠξίωσαν ἐκεῖνο μὲν τὸ μέρος ἀφεῖναι τοῦ ὄρους, ἐπὶ δὲ τὴν καταντικρὺ ἀνιέναι περιωπήν, ἔνθα δήπου καὶ χειροποίητον τούτῳ οἰκίδιον σχεδιάσαντες, ἐκεῖσε ἀφέντες αὖθις κατῄεσαν, τεταγμένας αὐτοῖς ἀνόδους τοῦ πατρὸς ἐπιτάξαντος, ὥστε κατὰ ταύτας ἀνιέναι καὶ τὰ χρέα αὐτῷ 460

441 *διηρευνήσαντο* clns *διηρερευνήσαντο* V **444** *φησὶ ταύτην πέτραν* Vcl *ταύ. φη. πέτ.* n *φη. πέτ. ταύ.* s **445** *ἀπεληλυθότες* cs *ἀπελθόντες* Vln **446** *τοῦτο τὸ* Vcns *τοῦ τὸ* l **448** *ἐπιδράμητε* ln *ἐπιδράμοιτε* Vcs **449** *καὶ*[2] om. l **459** *μὲν* om. n **460** *δήπου* Vcns *τι* l **461** *χειροποίητον* clns *ἀχειροτοίητον* V **462** *κατῄεσαν* Vcln *κατίεσαν* s *τεταγμένας* Vcls *τεταγμένους* n **463** *τὰ χρέα* Fr. *τὴν χρείαν* codd. **464** *μετακομίζειν* Vln *κομίζειν* cs

μετακομίζειν τοῦ σώματος. ὁ μὲν οὖν μακάριος καὶ τῷ
465 *ὄντι ἄνθρωπος τοῦ θεοῦ ἐν τῇ ἀκροτάτῃ τοῦ ὄρους πε-*
ριωπῇ ὥσπερ ἐπὶ τῆς τῶν ἀρετῶν ἀκρότητος καὶ ὑψηλοτά-
της βάσεως ἑστηκώς, ἀμέσοις καὶ ἀπορρήτοις ὁμιλίαις ἐνε-
τύγχανε τῷ θεῷ, βραχύ τι πρὸς τὴν τοῦ σώματος
ἐπιστρεφόμενος ἐπιμέλειαν καὶ ἐκ μακρῶν τῶν διαστημά-
470 *των τὴν τούτου θεραπείαν προσιέμενος· ὁ δὲ ἀγρότης*
λεὼς ἀνῄεσάν τε πρὸς ἐκεῖνον πυκνότερον, ἐπισκεψόμενοί
τε οἷα εἰκός καὶ τῆς τοῦ σώματος τροφῆς, ἣν αὐτῷ με-
τεκόμιζον, τὸν οὐράνιον ἀντελάμβανον ἄρτον. καὶ ὁ μὲν
ἐβούλετο λανθάνειν τοὺς πολλούς, ὅτι τε φιλοσοφεῖν αἱρ-
475 *οῖτο καὶ τὴν παρὰ τῷ θεῷ κεκρυμμένην βιοτεύοι ζωήν,*
ἀλλ' οὐκ ἦν ἄρα, φωστῆρος οὕτω λαμπρῶς αὐγάζοντος ἐπὶ
γῆς, μὴ οὐχὶ τοὺς ἐγγὺς καὶ τοὺς πόρρω ταῖς ἐκεῖθεν
ἀκτῖσι καταπυρσεύεσθαι καὶ τῷ ἔρωτι τοῦ φωτὸς πρὸς
ἐκεῖνον ἕλκεσθαί τε καὶ κατεπείγεσθαι, μάλιστα πηγῆς
480 *αὐτῷ θαυμάτων ἀναβλυζούσης καὶ οἷον ποταμίων ῥευμά-*
των ἐκεῖθεν καταρρεόντων, καὶ πᾶσαν μὲν ἤπειρον, πᾶσαν
δὲ νῆσον, τά τε ἐντὸς τῆς οἰκουμένης καὶ τὰ μακρὰν ταύ-
της ἀπῳκισμένα, ταῖς τῶν τεραστίων καταρδευόντων χάρι-
σιν.

464–465 cf. Deut. 33,1; Iosue 14,6; Iudic. 13,6 etc.
473 cf. Io. 6,32

465 *ἄνθρωπος τοῦ θεοῦ* Vcln *τοῦ θε. ἀνθ.* s **469** *ἐπι-στρεφόμενος ἐπιμέλειαν* Vcns transp. l **471** *λεὼς* cs *λαὸς* Vln *ἀνῄεσάν* Vln *ἀνίεσαν* cs **472** *τε* om. l *ἣν αὐτῷ* om. cs *μετεκόμιζον* Vln *μετακόμιζον* s *μετακομίζοντες* c **474–475** *αἱροῖτο...βιοτεύοι* Vcs *αἱροῖτο...βιοτεύει* l *αἱ-ρεῖτο...βιοτεύει* n **477** *τοὺς...τοὺς* Vln *τοῖς...τοῖς* cs **480** *αὐτῷ* om. n

Ἀμέλει καὶ πρώτη τῶν θαυμάτων ἡ τῶν Νικομηδέων 485
ἀπέλαυσε μεγαλόπολις· ἐπρώτευε γὰρ ἐν αὐτῇ γυνή τις πλούτῳ τε βαθεῖ κατεσκευασμένη καὶ γένους οὖσα τῶν ἐπισήμων, ἀθρόως δὲ ἀχλύος αὐτῇ προσπεσούσης τοῖς ὀφθαλμοῖς, ἀφῄρητο τὸ ὁρᾶν· καὶ τὰ μὲν βλέφαρα ταύτης ἀνέῳκτο καὶ αἱ κόραι τοῦ κατὰ φύσιν οὐκ ἀπηλάθησαν 490
σχήματος, τὴν δὲ ὁρατικὴν οὐκ εἶχεν ἐνέργειαν.

Αὕτη πρῶτα μὲν τέχναις ἑαυτὴν ἰατρῶν ἐδεδώκει, πάντων ὧν εἶχεν ἀνταλλαττομένη τὴν ὅρασιν· ἐπεὶ δὲ οἱ μὲν πάντα ἐποίουν, ἡ δὲ ὁμοίως τὰ ὄμματα τῆς οἰκείας ἐνεργείας ἐστέρητο, ἀπογνοῦσα τῶν ἄλλων ἁπάντων ἐπὶ τὴν 495
θείαν καταφεύγει βοήθειαν, καὶ τῷ τοῦ Αὐξεντίου ὄρει συντονώτατα προσελάσασα, αὐτῷ δὴ τῷ θείῳ προσπίπτει πατρί, τὸ πάθος ἀποδυρομένη, τὴν συμφορὰν ἐλεεινῶς καταλέγουσα· ὁ δὲ (καὶ τίς γὰρ ἐκείνου ἐπὶ τοῖς τοιούτοις πάθεσι συμπαθέστερος;) κατακλᾶται ταύτῃ τοὺς λογι- 500
σμούς, καὶ – ὢ τοῦ θαύματος – ὁμοῦ τε ταῖς χερσὶ τῶν ὀφθαλμῶν αὐτῆς ἥψατο καὶ ἡ τῆς ὁράσεως ταύτῃ ἐπανελήλυθε δύναμις, καὶ τὰ ὄμματα οὐ μάτην αὐτῇ ἀνεῴγασιν, ἀλλὰ μετὰ τῆς ἐνεργοῦς φύσεώς τε καὶ δυνάμεως.

485–614 cf. Aux.[1] 1385 D 9–1392 B 3; Aux.[3] 5,32–6,27; Aux.[4] 244,30–245,31 **501–503** cf. Matt. 9,29

485 *τῶν* om. cs **486** *ἀπέλαυσε* clns *ἀπήλαυσε* V **487** *τε* om. l **488** *αὐτῇ* cs *αὐτῆς* Vln **489** *ἀφῄρητο* Vln *ἀφῄρειτο* cs **492** *αὕτη* om. cs **494** *ἡ – τὰ* Vcs *τῇ δὲ τὰ* ln **497** *προσελάσασα* Vcns *προσπελάσασα* l *αὐτῷ* om. l **497** *τῷ θείῳ προσπίπτει* n *προσ. τῷ θεί.* Vcls **498–499** *καταλέγουσα* Vcns *καταγγέλλουσα* l **500** *πάθεσι* om. l **503** *ἀνεῴγασιν* Vcln *ἀνεώκασι* s **504** *ἐνεργοῦς* Vln *ἐνεργοῦ* cs

505 *Καὶ τοῦτο μὲν τοῦτον ἔσχε τὸν τρόπον· τὴν δὲ κατὰ τῶν πνευμάτων ἰσχύν τε καὶ δύναμιν, καὶ πάλαι μὲν τοῖς ἀποστόλοις, ὥσπερ ἐν τοῖς εὐαγγελίοις ἀκούομεν, ὁ κύριος δαψιλῶς ἐχαρίσατο, ἀμέλει καὶ πρὸς αὐτὸν ὑποστρέφοντες ἀνθωμολογοῦντο ὅτι καὶ τὰ δαιμόνια αὐτοῖς ὑποτάσσεται.*
510 *καὶ γὰρ ἦν ὡς ἀληθῶς μέγα τι καὶ θεῖον ἔργον δαίμονας ἀνθρώποις ὑποτετάχθαι καὶ ταῖς ἐκείνων εὐχαῖς τῆς οἰκουμένης μακρὰν ἀπελαύνεσθαι καὶ τὸ ἡμέτερον γένος τῆς τούτων μανίας ἐλευθεροῦσθαι.*

Πάλαι μέν, ὡς ὁ λόγος ἐδήλωσε, τοῖς θείοις μαθηταῖς ὁ
515 *κύριος καὶ διδάσκαλος ταύτην ἐχαρίσατο τὴν ἰσχύν, οὐδὲν δὲ ἧττον καὶ τῷ μεγάλῳ Αὐθεντίῳ τοῦτο πεφιλοτίμηται· τοσαύτη γὰρ ἦν αὐτῷ κατὰ τῶν ἀκαθάρτων πνευμάτων ἡ δύναμις, ὡς καὶ πόρρωθεν βοᾶν τοὺς ὑπὸ τούτων ἐλαυνομένους, ὅτι τε πολεμοίη τούτοις Αὐξέντιος καὶ τὴν ἧτταν*
520 *ἀνομολογοῦσι καὶ ἄκοντες· εἰ δὲ καὶ τῷ ὄρει προσπελάσειαν οἱ ταῖς τούτων κατοχαῖς τυραννούμενοι, εὐθὺς ὥσπερ δεσμῶται τῶν δεσμῶν ἀπελύοντο καὶ ἦσαν ὁμοῦ τάς τε ψυχὰς ἐλεύθεροι καὶ τὰ σώματα· ἔστι δὲ ἃ τῶν πνευμάτων δυσχεραίνοντα τὴν ἀπόλυσιν, ὥσπερ ὑπὸ μάστιγι ταῖς τοῦ*
525 *μάκαρος εὐχαῖς ἀπηλαύνοντο. οἱ δέ γε ἀνεθέντες ἔτι μᾶλλον ταλαιπωρίας ὑπαισθανόμενοι, ἀναπαύσεώς τε παρὰ τῷ μεγάλῳ ἠξιοῦντο πατρί, καὶ ἐπιμελείας ἀπολαύοντες*

505–508 cf. Luc. 9,1 = Matt. 10,1 = Mar. 6,7 **508–509** cf. Luc. 10,17

508–515 *ἀμέλει – ἰσχύν* cs om. Vln **516** *δὲ* om. s **519** *τούτοις* Vcs *τούτους* ln **520–521** *προσπελάσειαν* Vln *προσελάσειαν* cs **523** *ἐλεύθεροι – σώματα* Vcln *καὶ τὰ σώ. παν. ἐλ.* s *καὶ* post *ἃ* add. s **526** *ὑπαισθανόμενοι* ln *ἐπαισθανόμενοι* Vcs

ὅση δυνατή, ὑγιεῖς πάντῃ καὶ ἐρρωμένοι ἐκεῖθεν κατῄεσαν.

Τούτοις τοῖς θαύμασιν οἱ πλείους μὲν πιστεύοντες ἐξεπλήττοντο, μάρτυρας γὰρ εἶχον τοὺς ὀφθαλμούς, ἐκεῖσε 530 παρατυγχάνοντες καὶ τὴν ἀπέλασιν τῶν πνευμάτων θεώμενοι· ἔνιοι δὲ παρεγίνωσκόν τι τῆς ἀληθείας καὶ ἦσαν κακοὶ τῶν θαυμάτων διαιτηταὶ καὶ τοῦ πατρὸς κατεγίνωσκον, ὡς τέχνην τοῦτο ποιουμένου καὶ τοῖς δῆθεν τυραννουμένοις διαδιδόντος τροφάς, ἵν' εὐπροφάσιστος ἡ πρὸς 535 αὐτὸν ἄνοδος γένοιτο.

Περὶ μὲν οὖν τῶν ἄλλων τί ἂν καὶ λέγοιμι, ἀλλά τις ἀνὴρ τῶν τῆς ἱππικῆς τάξεως ἑτέρῳ δὴ τῶν ἐκ τοῦ αὐτοῦ τάγματος γνησιωτάτῳ φίλῳ ἐκέχρητο· τούτων ἅτερος μὲν ἑαλώκει τῷ θείῳ πατρὶ καὶ ἀπιστεῖν οὐκ εἶχε τοῖς θαυμα- 540 σίοις, ὁ δέ γε λοιπὸς πλατύ τε αὐτοῦ κατεγέλα καὶ ἐθαύμαζεν, ὅτι οὕτως εὐήθως ἔχει τῶν γιγνομένων καὶ πλάνην ἀληθείας διαστεῖλαι μὴ δύναται· σκηνὴν γὰρ ἡγεῖτο τὰ τοῦ πατρὸς θαύματα, καὶ μὴ ἂν ποτε δύνασθαι κατὰ τῶν δαιμονίων τοῦτον δεῖν ᾤετο, ἀνιέναι δὲ τοὺς πολλοὺς ὑπο- 545 κρινομένους τὴν κατοχήν, ἵνα τινὸς κέρδους παρὰ τοῦ πατρὸς τύχοιεν, καὶ τὸ πλῆθος εἰς θαῦμα κινήσαντες, ἕρμαιον πρὸς τὸ πορίζεσθαί τι ἐξ αὐτῶν ἔχοιεν. ἅμιλλα δ' οὖν παρ' ἑκατέροις ἦν, τῷ μὲν ὅπως ἂν πιστώσειε τῷ ἑταίρῳ τὰ τοῦ πατρὸς θαύματα, τῷ δὲ ὅπως ἂν τὸν πα- 550 τέρα ὑποκρινόμενον τὴν ἀρετὴν ἀπελέγξειεν· ἐθάρρει δέ, ὁ μὲν τῇ τῆς γλώττης περιβολῇ καὶ τῇ λεγομένῃ παρὰ τῶν

528 *ὅση δυνατή* Vln *ὅσον δυνατόν* cs 529 *θαύμασιν* cs *θαυμασίοις* Vln 534 *τοῦτο* Vln *τούτου* cs 535 *δια-* om. s 536 *γένοιτο* cs *γίνοιτο* Vln 541 *κατεγέλα* Vcls *κατεγάλα* n 544 *δύνασθαι* Vcln *δύναται* s 545 *δαιμονίων* Vln *δαιμόνων* cs *δεῖν* Vcns *δὴ* l 548 *πρός – τι* cs *τι πρ. τὸ πορ.* Vln 549 *πιστώσειε* Vc ns *πιστώσηται* l 550 *ἑταίρῳ* V *ἑτέρῳ* clns

πολλῶν πιθανότητι, ὁ δὲ τοῖς λεγομένοις καὶ πραττομένοις, ἀπαραλόγιστον ἔχουσι τὸ κριτήριον.

555 *Ἅπαξ γοῦν ποτὲ τὸν ἀπιστοῦντα παραβιασάμενος, ἀνήεσαν ἄμφω πρὸς τὸν Αὐξέντιον· ὁ δὲ ἄρα πρὸ πολλοῦ ᾔδει ἑκατέρων τὸ διάφορον, καὶ ὡς ὁ μὲν ἐπιβούλως ἄνεισιν, ὁ δὲ τὴν πρὸς αὐτὸν ἀνυπόκριτον ἔχει διάθεσιν· ἀμέλει, κἀκεῖνον μὲν εὐθὺς ἰδὼν ἀπεστράφη, τῷ δέ γε πιστῷ ἱλαρὰ*
560 *ἐδίδου τὰ ὄμματα καὶ εὐμενῶς προσωμίλησεν· ἀλλ' ἐκεῖνος, δέον ἐκεῖθεν γνῶναι τὴν πρόγνωσιν τοῦ πατρὸς καὶ ὡς θείας ἠξιωμένος τυγχάνει χάριτος, ὁ δὲ μᾶλλον τὰ τῆς ψυχῆς ἐσκότωτο ὄμματα καὶ τὴν γλῶσσαν πρὸς κατηγορίαν ἑτοιμοτέραν εἶχε καὶ ταῖς σκιαῖς μᾶλλον ὡς οὐσίαις*
565 *ἐπίστευσεν ἄν, ἢ τοῖς παρ' ἐκείνου πραττομένοις ὡς ἀληθέσιν.*

Ἀλλ' ὢ τῆς θείας ὡς ἀληθῶς δίκης – ἀπήντησε γὰρ κατὰ πόδας εὐθὺς τῷ ἀπίστῳ, οὐκ ἀναβαλλομένη τὴν ψῆφον, ὥσπερ δὴ τὰ πολλὰ εἰώθει, ἀλλὰ τότε μόνον τὴν
570 *ὑπερήμερον ἀφεῖσα ψῆφον, δικαιοτάτην κατὰ τοῦ ἀπιστήσαντος ἐξήνεγκε τὴν ἀπόφασιν· κατήεσαν μὲν γὰρ ἄμφω παλινοστοῦντες πρὸς τὰς οἴκοι διατριβάς, οὔπω δὲ γενομένοις κατὰ τὴν ὑπώρειαν θέαμα προσαπαντᾷ φρικωδέστατόν τε ὁμοῦ καὶ ἐλεεινότατον· ὁ γάρ τοι τοῦ ἀπιστή-*
575 *σαντος παῖς, ἄρτι γενειάσκων, ὑγιῶς τε τέως ἔχων τοῦ*

555–556 *ἀνήεσαν* Vcln *ἀνίεσαν* s **558** *πρὸς αὐτὸν ἀνυπόκριτον* Vcls *ἀνυπ. πρ. αὐ.* n **559** *εὐθὺς ἰδὼν* Vcls transp. n **563–564** *πρὸς κατηγορίαν ἑτοιμοτέραν* Vcln *ἑτ. πρ. κατ.* s **568** *ἀναβαλλομένη* Fr. *ἀναβαλλομένης* codd. **569** *μόνον* cs *δὴ* Vln **571** *κατήεσαν* Vcln *κατίεσαν* s **575** *τε τέως* Io. *τε* om. cs *τέως* om. Vn *τε τέως* om. l *καὶ* post *γενειάσκων* add. l

σώματος καὶ τὴν διάνοιαν ἐρρωμένος, ἀθρόον τὰς τῶν
ὀφθαλμῶν παρακινεῖται βολὰς καὶ τὴν γνώμην ἐλαύνεται,
καὶ ἀπογυμνωθεὶς τῆς ἐσθῆτος, ὀπίσω τε τὼ χεῖρε δεσμεῖ
καὶ πρὸς τὸ ὄρος, ἔνθα δὴ ᾤκει ὁ μακάριος μονώτατος τῷ
θεῷ, δρομαῖος ἄνεισιν. ὡς δὲ ὁ πατὴρ τοῦτον ἐγνώκει καὶ 580
τὴν τοῦ καθεστῶτος ἀλλοίωσιν ἐθεάσατο, ἀμήχανος ἦν ὅ
τι καὶ δράσειεν, ἐπειδὴ οὐκ εἶχε τὸν παῖδα ἀναφέρειν
πρὸς τὸ φρονοῦν, πάντα δὴ κάλων, τὸ τοῦ λόγου, κινῶν.
Ἀλλ' οὔπω οὐδὲ τοῦτο γεγονὸς τὴν σκληρὰν ἐκείνην ψυ-
χὴν κατεμάλαξεν, ἀλλὰ πάντα μᾶλλον ᾐτιᾶτο τοῦ πράγ- 585
ματος ἢ τὴν πρὸς τὸν μακάριον αὐτοῦ ἀμφισβήτησιν καὶ
διχόνοιαν, μᾶλλον δὲ ἀπιστίαν καὶ τῆς ἀληθείας ἀναίρεσιν.
ἔμελε δὲ τῇ προνοίᾳ τοῦ ἀνδρός, διὰ ταῦτα ἄλλο ἐπ' ἄλλῳ
προσετίθει, ὥσπερ οἱ ταῖς βαρείαις τῶν ἀκοῶν ἐνηχοῦντες
σφοδρότερον, ἵνα τὸ ἀπειθὲς τῆς ἐκείνου γνώμης καὶ πρὸς 590
τὴν ἀλήθειαν δυσκίνητον ἢ ἀκίνητον πρὸς τὸ εὐπειθὲς με-
τενέγκοι· ἐπὶ γὰρ τῷ υἱῷ ἤδη μανέντι καὶ ἡ θυγάτηρ βακ-
χικώτερον τὰς κόμας σοβήσασα καὶ τὴν φωνὴν ἐπὶ τὸ μα-
νικώτερον παραλλάξασα, ὅμοια ἐπεπόνθει τῷ ἀδελφῷ.
Μηνύεται καὶ τοῦτο τῷ ἀπίστῳ πατρί, καὶ τότε μόγις 595
τὴν γνώμην ἀνήνεγκε καὶ ἐφ' ἑαυτῷ τῶν γιγνομένων τὴν

576–577 cf. Hom. Od. 4,150 **583** hoc significat maxime eniti (CPG II 104,27 et 287,99)

576 *ἐρρωμένην* corr. *ἐρρωμένος* man.[1] l *ἀθρόον* Vc ls *ἀθρόως* n **578** *ἀπογυμ-* clns *ἀπογνυμ-* V **579** *ᾤκει ὁ μακάριος* n *ὁ μακ. ᾤκ.* Vcls **580** *δρομαῖος* cln *δρομαίως* Vs **582** *ἐπειδὴ οὐκ* Fr. *ἐπεὶ δὲ οὐκ* c *ἐπεὶ δὲ* s *ἐπεὶ μὴ* Vln **586** *αὐτοῦ ἀμφισβήτησιν* Vln transp. cs **588** *ἔμελε* c *ἔμελλε* Vlns *ἄλλῳ* Vl *ἄλλο* cns **591** *ἢ ἀκίνητον* om. n **591–592** *μετενέγκοι* Vcs *μετενέγκοι -η* s.l. l *μετενέγκῃ* n **594** *ἐπεπόνθει τῷ ἀδελφῷ* Vln *τῷ ἀδ. ἐπ.* cs

αἰτίαν ἐγίνωσκε. συμβούλῳ τοίνυν τῷ ἀληθεῖ φίλῳ χρησάμενος, ἄμφω τὼ παῖδε δεσμίω λαβόντες, ἀφικνοῦνται πρὸς τὸν μακάριον, γονάτων τε ἐκείνου ἁπτόμενοι καὶ δάκρυσι
600 *τὸ περιφράττον τοῦτον οἰκίδιον καταβρέχοντες, ὅπως ἂν τοῖς παισὶ παρὰ θεῷ ἀπαλλαγὴν εὕροι τῆς συμφορᾶς· ὁ δέ, τὰ μὲν πρῶτα ἐῴκει ἀναβαλλομένῳ, καὶ τῷ ἀπίστῳ πατρὶ τὴν πρὸς αὐτὸν ἀπιστίαν ὠνείδιζεν, αἰνιττόμενος μᾶλλον ἢ ἀποφαινόμενος· 'ἀλλὰ τοῖς παισί σου γὰρ' φησὶν*
605 *'οὐ δώσω τροφάς, ἵνα μή σοι' φησὶν 'ἐντεῦθεν ἀφορμὴ καὶ πάλιν ἀπιστίας προσγένηται.'*

Ἐπεὶ δὲ οὐκ ἦν πρὸς τῆς ἐκείνου ψυχῆς τὴν σωτηρίαν ἐπὶ πολὺ ἀναβάλλεσθαι, αὐτοῦ που προσμεῖναι τοὺς παῖδας κελεύσας, ἑαυτὸν ἐν ἑπτὰ ὅλαις ἡμέραις συντονωτέ-
610 *ραις ἐγκρατείαις ἐπέτεινε, μεθ' ἃς δὴ τὸ σύνθημα παρὰ τοῦ θεοῦ τῆς σωτηρίας λαβών, τοῖς μαστιγουμένοις τὰς ὁσίας χεῖρας ἐπιθέμενος καί τινα τῶν τοῦ σώματος καταψήσας μερῶν, ἔπειτα δὴ καὶ ἐπευξάμενος ὅσα εἰκός, ὑγιεῖς ἄμφω δέδωκε τῷ πατρί.*

615 *Τὸ μὲν οὖν θαυματουργεῖν τὸν πατέρα καὶ πρὸς ἑτέροις προηγμένοις παρὰ θεοῦ δέδοτο, καὶ καινὸν ἴσως οὐδέν· τὸ δὲ πρὸς ἐκείνους διάφορον καὶ ὑπερφέρον τοῦτό ἐστιν, ὅτι καὶ τὰς αἰτίας προῄδει τῶν γινομένων νοσημάτων ἢ ἄλλως*

597 *ἐγίνωσκε* ln *ἐγίγνωσκε* Vcs **598** *δεσ-* bis n **601** *παρὰ – συμφορᾶς* Vcls *ἀπαλ. εὕρ. τῆς συμφ. πα. θε.* n **604** *ἀποφαινόμενος* Vln *ὑποφαινόμενος* cs **609** *ἑαυτὸν – ἡμέραις* cs *ἐν ἑπ. ὅλ. ἡμ. ἑαυ.* l *ἑαυτὸν* om. Vn **610** *ἐπέτεινε* Vln *ἀπέτεινε* cs **612** *τινα* Vcs *τι* ln **613** *ἔπειτα* cs *εἶτα* Vln **614** *ἄμφω* om. ln **615** *καὶ* om. Vcns **616** *προηγμένοις* l *προη*[..]*μένοις* n *προηγημένοις* cs *προηγησαμένοις* V *θεοῦ* l et ci. Io. *θεῷ* Vcns **617** *καὶ ὑπερφέρον* add. mg. man.[2] l

δυστυχημάτων, καὶ προλέγων τῷ αἰτουμένῳ τὴν ἄνεσιν,
εἶτα δὴ καὶ τὴν ὑγείαν αὐτῷ χαριζόμενος, ὁμοῦ τε τὸ 620
σῶμα νοσήματος καὶ τὴν ψυχὴν ἀπήλλαττεν ἁμαρτήματος.
Ἀμέλει δύο ποτέ τινας κατεσχήκει νόσος, τέχναις ἀνεπι-
χείρητος ἰατρῶν· ἱερὰν ταύτην ἐπευφημοῦντες κεκλήκασιν
οἱ πολλοί, παρὰ δέ γε τοῖς Ἀσκληπιάδαις ἐλέφας αὐτῇ τὸ
ὄνομα. 625
Δύο δὲ λόγοις περὶ τῆς κλήσεως ταύτης ἐγὼ ἐντετύ-
χηκα· ὁ μὲν γάρ, διότι μέγα δὴ τὸ πάθος ἐστὶ καὶ ἰατρι-
καῖς χερσὶν ἀνάλωτον, τῷ μεγέθει προσείκασε τοῦ ἐλέ-
φαντος, κἀντεῦθεν αὐτῷ τὴν κλῆσιν ἐπήνεγκεν· ὁ δὲ τὸ
θηρίον οἴεται, τὸν ἐλέφαντα, αἴτιον τοῦ ἐπὶ τῷ πάθει 630
ὀνόματος, τῷ γὰρ νοσήματι τούτῳ ἁλωτὸν εἶναι τὸ θηρίον
λόγοι φασὶ φυσικοί· ἔνθεν τοι καὶ τὸ περὶ τὸν λαιμὸν
πνῖγμα κυνάγχην οἱ πολλοὶ ὠνομάκασιν, ὅτι τοῦ κυνὸς ἰδι-
αίτατον τοῦτο τυγχάνει πάθημα. ὅπως μὲν οὖν τῷ κυνὶ τὸ
πάθος τοῦτο φυσικῶς ἐπιγίγνεται, οὔπω δὴ τοῖς εἰρηκόσι 635
περὶ αὐτοῦ ἐντετύχηκα, τὸ δὲ τοῦ ἐλέφαντος πάθος συμ-

622–787 cf. Aux.[1] 1392 B 4–1396 B 5; Aux.[3] 6,28–7,14 **627–629** cf. Aretaeus 4,13,9 (87,16–18 Hude) **629–632** cf. Aretaeus 4,13,16 (89,5–12 Hude) **632–634** cf. Arist. hist. anim. 604 a 5–12 **636–638** cf. Gal. intr. seu med. 14,756 Kuehn

619–620 *τῷ αἰτουμένῳ ... αὐτῷ* n *τῶν αἰτουμένων ... αὐτῷ* s *τῶν αἰτουμένων ... αὐτοῖς* c *τοῖς αἰτουμένοις ... αὐτοῖς* Vl **620** *τὴν* om. l **622** *ποτέ τινας* Vln transp. cs **622–623** *τέχναις ἀνεπιχείρητος ἰατρῶν* cs om. Vln **624** *τὸ* om. l **627** *δὴ* om. Vln **631** *ὀνόματος* clns *νοσήματος* V **634** *ὅπως* cs *ὅτι* Vln *οὖν* om. n **634–635** *τὸ πάθος τοῦτο* cs *τοῦτ. τὸ πάθ.* Vln **635** *ἐπιγίγνεται* Vcns *ἐπιγίνεται* l

φυές ἐστι τῇ τε φύσει αὐτοῦ καὶ τῷ χρώματι, πλεονάζει γὰρ αὐτῷ μάλιστα τῶν χυμῶν ὁ μέλας· ἔνθεν τοι καὶ παρὰ τὸ γῆρας τὴν φυσικὴν ἀποβάλλων θερμότητα,
640 *χείρονος αἰσθάνεται τοῦ χυμοῦ, μονωθέντος τῆς ἐναντίας τούτῳ ποιότητος· ἐντεῦθεν δὲ σήψεως αὐτῷ προσγενομένης, ἐξανθεῖ τὸ ζῷον τοῖς ἀπὸ τοῦ χυμοῦ τούτου οἰδήμασι καὶ τὴν ἐντεῦθεν καλουμένην πάσχει ἐλεφαντίασιν.*

Ἀλλὰ τοῦτο μὲν ὅσον εἰκὸς ὁ λόγος παραθεωρήσας, ἐπὶ
645 *τὸν ἐξ ἀρχῆς τῆς ὑποθέσεως εἱρμὸν ἄνεισιν· ἑάλωσαν γάρ ποτε τῷ πάθει τούτῳ δύο κατὰ ταὐτόν, συμβεβήκει δὲ αὐτοῖς τοῦτο οὔτε παρὰ τὸ γένος, οὔτε παρὰ τὴν ὧν προσεφέροντο δίαιταν, ἀλλ' ἐπίορκοί τε ἦσαν δεινῶς, καὶ τοῦ θεοῦ νεμεσήσαντος, ὕπουλόν τε αὐτοῖς ἐγεγόνει τὸ*
650 *σῶμα καὶ ταῖς ἀπὸ τοῦ χυμοῦ διειστήκει κακώσεσιν.*

Ἐπεὶ οὖν αὐτοῖς τὰ παρὰ τῶν ἰατρῶν ἀπηγόρευτο καὶ ἡ τέχνη οὐδαμοῦ τούτοις παρανεῴγνυτο, ἐπὶ τὸν πατέρα κατὰ σύνθημα ἄμφω παραγεγόνασι, τὴν συμφορὰν καταλέγοντες, τὸ σῶμα παραδεικνύντες, ἐλεεινῶς τε γὰρ εἶχε
655 *καὶ κατεσπάρακτο· ὁ δέ, 'ἀλλ' εὐόρκοις μὲν' φησὶν 'ἵλεως ἡ δίκη, ἡ γλῶσσα δὲ ὑμῖν αἰτία τοῦ νοσήματος γέγονεν, ὀμνύουσά τε ὁμοῦ καὶ παραβαίνουσα· εἰ τὴν πηγὴν τοίνυν ἐμφράξετε, ὁ τοῦ ῥεύματος ὑμῖν ἀνασταλήσεται ποταμός.'*

655–656 cf. [Arist.] de mirab. ausc. 845 b 35–846 a 1 = Philostr. vit. Ap. 1,6,4 Kayser

638 *τῶν χυμῶν* Vcln *τὸν χυμὸν* s **639** *παρὰ* Vcns *περὶ* l **642** *τοῦ* om. V **647** *οὔτε παρὰ τὸ γένος* om. n **650** *τοῦ* om. V **651** *παρὰ* clns *περὶ* V **652** *παρανεῴγνυτο* Vcns *παρενεῴγνυτο* l **655** *ὁ δὲ* om. n *μὲν* Vcs *γὰρ* ln **655–656** *ἵλεως ἡ δίκη* Vcns *ἡ δι. ἵλ.* add. *οὐδεμῶς* in ras. l **657** *ὁμοῦ* om. l *εἰ* clns *εἰς* V **658** *ἐμφράξετε* Vln *ἐμφράξητε* cs *ὑμῖν* om. l

ὡς δὲ εἶδεν ἐκ καρδίας μέσης μεταγινώσκοντας καὶ ἐξομνυμένους, ὡς οὐδ' ἐπ' ἀληθέσι ποτὲ ἐπομόσονται, ὁμοῦ τε 660 *τὰς χεῖρας τοῖς νενοσηκόσιν ἐπιτίθησι μέλεσι, καὶ τοῦ πάθους αὐτοῖς τὴν ἐλευθερίαν κεχάρισται.*

Οὐδὲ ἡ τῆς Φρυγίας ἐπαρχία ἀνήκοος τῶν τοῦ ἀνδρὸς τεραστίων ἐγένετο, ἀλλὰ καὶ μέχρις αὐτῆς ἡ περὶ αὐτὸν φήμη διεβοήθη καὶ μέρος κἀκείνη τῶν ἐκείνου σωτηρίων 665 *ἐγένετο. δύο γοῦν γυναῖκες κατὰ ταὐτὸν πονηροῖς ἑάλωσαν πνεύμασιν, ἀλλ' ἡ μὲν ἑνὸς ἔργον πνεύματος ἦν, τὴν δὲ λεγεὼν ἐς τὸ μανιωδέστερον ἤλαυνεν.*

Ἔστι δὲ τὸ ὄνομα τάξεώς τινος διηριθμημένων δαιμόνων δηλωτικόν, ὥσπερ παρὰ τοῖς ἡμετέροις στρατεύμασιν 670 *ἡ φάλαγξ καὶ ἡ ἰλαρχία· ἐμπίπτουσι γὰρ τοῖς παραδεδομένοις, οὐ καθ' ἕνα πολλάκις, ἀλλὰ καὶ κατὰ πλείους οἱ δαίμονες, ἔστι γὰρ παρ' αὐτοῖς ἧπέρ τινες μερίδες ὑφ' ἡγεμόσι τεταγμέναι καὶ ἄρχουσι· τῶν μὲν οὖν ὑποτεταγμένων καθ' ἕνα οἱ πλείους τοῖς ἀνθρωπίνοις ἐμπίπτουσι σώ-* 675 *μασιν, ἐπὰν δὲ ὁ προτεταγμένος ἐπὶ τὸν ἄνθρωπον ἐπελάσειεν, εὐθέως ἕπεται τούτῳ καὶ τὸ ὅσον ὑπήκοον καὶ συνεισφθείρεται συμπολιορκοῦν τὴν παραδεξαμένην ψυχήν. καὶ τοῦτό ἐστι τοῦ μάκαρος τὸ θαυμάσιον, ὅτι μὴ καθ' ἕνα μόνον τοῖς πολεμοῦσιν ἡμῖν ἀνθώπλιστο πνεύμασιν,* 680 *ἀλλὰ καὶ κατὰ πλείους ὥσπερ ὑπαντιάζων, φυγάδας ὁμοῦ καὶ σποράδας τούτους ἐποιεῖτο.*

667–668 cf. Mar. 5,9 = Luc. 8,30

660 *ἐπ'* cs *ἐν* Vln **664** *αὐτὸν* Vcs *αὐτοῦ* ln **665** *τῶν* bis V **666** *γοῦν* Vcns *οὖν* l **668** *ἐς* Vcls *εἰς* n **669–670** *δαιμόνων* cs *δαιμονίων* Vln **671** *φάλαγξ* Vcln *φάλαξ* s *γὰρ* om. l **672** *καθ'* om. s *καὶ* om. c **674** *οὖν* om. cs **676–677** *ἐπελάσειεν* Vcns *ἐμπελάσειεν* l

Αἱ τοίνυν γυναῖκες ὥσπερ ὑπό τινος ἐλαθεῖσαι δυνάμεως, οἶμαι δὲ κρείττονος, τῷ ὄρει προσεληλύθασιν· οὔπω
685 *δὲ τῇ ὑπωρείᾳ προσήγγισαν, καὶ ὁ λεγεὼν ὥσπερ ὑπό τινος πρηστῆρος ἀφανῶς τὴν φύσιν καταφλεγόμενος, τοιαύτας διὰ τοῦ ἐνεργουμένου στόματος ἠφίει φωνάς· 'τί ἡμῖν καὶ σοί, Αὐξέντιε, τί δὲ οὕτω τὸν καιρὸν προλαμβάνεις τῆς καθ' ἡμῶν τιμωρίας καὶ πολλαῖς βασανίζεις ταῖς*
690 *μάστιξιν; εἶτα οὐκ οἴει ὅτι λεγεών εἰμι, καὶ πλεῖστα ἐμαυτῷ ὑποβέβλημαι πνεύματα καὶ τὴν ὁρμὴν ἀνυπόστατος πέφυκα καὶ σὲ προσβαλοῦντα χειρώσομαι; ἀλλ' εἰ μὲν πρὸς σέ μου μόνον ὁ πόλεμος ἦν, οὐκ ἂν τὴν ἐμὴν ὑπέστης ὁρμήν· νῦν δὲ πλῆθός σε ἀγγέλων περικυκλώσαν-*
695 *τες, ὑπὲρ σοῦ πρὸς ἡμᾶς παρατάσσονται, καὶ διὰ τοῦτο φρίσσω τε μακρόθεν καὶ πεφόβημαι καὶ προσβαλεῖν οὐκ ἔχω, τὴν προπολεμοῦσάν σου τάξιν ὑποπτήσσων δεινῶς, ἥτις μέση σοῦ τε καὶ τοῦ θεοῦ τυγχάνουσα, τὰ μὲν ἐκεῖθεν ἥκει κομίζουσά σοι, ταῦτα δέ εἰσι δωρήματα τέλεια*
700 *καὶ τὸ πρὸς ἡμᾶς ἄτρεστον καὶ ἀπτόητον, τὰ δὲ παρὰ σοῦ ἀναγγέλλει θεῷ, τὴν ὑπὲρ ἄνθρωπον ἄσκησιν, τὴν ὑπὲρ φύσιν σκληραγωγίαν, τὸ πρὸς τὰς εὐχὰς σύντονον, δι' ὧν ὥσπερ ὑπὸ κεραυνῶν ἐλαυνόμεθά τε καὶ δραπετεύομεν.'*

685–686 cf. Procl in Plat. Tim. 2,11,8–13 Diehl; [Psell.] or. de daemon. 8 (Bidez, Cat. mss. alc. gr. 6,120,23–24) **687–690** cf. Matt. 8,29 = Mar. 1,24 **694–697** cf. [Psell.] de daem. operat. 21 (PG 122,868 C 1–869 A 1) **698–700** cf. Iac. 1,17

683–684 *ἐλαθεῖσαι δυνάμεως* Vln transp. cs **688–689** *προλαμβάνεις* Vcns *προλαμβάνῃ* l **689** *ἡμῶν* cs *ἡμᾶς* Vln **692** *προσβαλοῦντα* Vl *προσβαλόντα* cns **698** *τε* om. l **700** *ἄτρεστον* Vn *ἄτρεπτον* cls *παρὰ* corr. *περὶ* man.[2] mg. n

Ταῦτα ὁμοῦ τε ἐφώνει καὶ τοῦ πρὸς τὸν πατέρα δρόμου συντονώτατα εἴχετο· ἐπεὶ δὲ καὶ πεπλησίακεν, ἀθρόως τὸ 705 *πνεῦμα τὴν γυναῖκα σπαράξαν βιαίως ὤθησε κατὰ γῆς· ὁ δὲ πατὴρ κατοικτείρας ταύτην τῆς συμφορᾶς, ταύτῃ μὲν τέως τὴν ἄνεσιν ἀνεβάλλετο, ἐπύθετο δὲ τῆς ἑτέρας, ἥτις οὐ πάντῃ τὸ φρόνημα καταβέβλητο, δι' ὅ τι πρὸς αὐτὸν ἀφίκοιτο καὶ εἴ τις αὐτῇ ὅτι θαύματα ποιεῖ ἀπαγγέλειεν·* 710 *ἡ δὲ ἀποκάλυψίν τινα ᾐτιᾶτο τοῦ πράγματος καὶ θείαν ἐμφάνειαν. αἰσθόμενος οὖν ὁ πατήρ, ὡς οὐκ ἀθεεὶ τὰ γύναια τούτῳ προσεληλύθασι, καὶ τῆς ἑτέρας αὖθις ἐπύθετο, ἡ δὲ μὴ εἰδέναι ὅπως τε παραγένοιτο καὶ ὅπου εἴη διισχυρίζετο. χεῖρας οὖν πρὸς θεὸν ἄρας καὶ δάκρυα τῶν ὀφθαλ-* 715 *μῶν κατασπείσας, καί τισι φωναῖς ἀσημάντοις τὸ θεῖον πρὸς οἶκτον ἐπισπασάμενος, χεῖρά τε ταῖς πεπονθυίαις ἐπώρεξε καὶ τῶν κατεχόντων πνευμάτων ἐλευθέρας εὐθὺς ἀπέδειξε. αἱ δέ, ὡς λίαν ἐκεῖναι εὐγνώμονες καὶ χάριν εἰδυῖαι ἀποδοῦναι τῷ εὐεργετήσαντι, αὐτοῦ που πρὸς τῷ* 720 *ὄρει καλύβας πηξάμεναι καὶ τῷ θεῷ τὴν ζωὴν καθομολογήσασαι, ἐκεῖσε τὸν τῆς ἀσκήσεως δρόμον ἠνύκασι.*

Ἦν οὖν ὁρᾶν τὸ ὄρος πληθούσῃ ἀγορᾷ ἐοικός· οἱ μὲν γὰρ ἀνῄεσαν, οἱ δ' ἐκεῖσέ που καταμένοντες καὶ τῷ ὁσίῳ πρὸς τὴν τῆς ἀρετῆς γυμνασίαν παιδοτριβούμενοι· οὐδεὶς 725 *δὲ τῶν ἀνιόντων, ἢ τὸν ὀφθαλμὸν ἐκκεκομμένος, ἢ τὴν χεῖρα κατεαγώς, ἢ κατοχαῖς δαιμονίαις οἰστρηλατούμενος,*

725–727 cf. Dem. or. 18,67

708 *ἀνεβάλλετο* Vcls *ἀνεβάλετο* n **715** *τὸν* post *πρὸς* add. l **720** *τῷ*² bis l **721** *καλύβας* n *καλύβην* Vcls **724** *ἀνῄεσαν* Vlns *ἀνίεσαν* c **725** *γυμνασίαν* Vcs *ἐργασίαν καὶ γυμνασίαν* l *ἐργασίαν* n **726** *τὸν ὀφθαλμὸν* Vcls *τῶν ὀφθαλμῶν* n **727** *δαιμονίαις* Vcn *δαιμονίοις* l *δαιμόνων* s

ἢ ἄλλο τι τῶν δεινῶν ὑφιστάμενος, μετὰ τοῦ πάθους αὖθις κατῄει, ἀλλ' ὁμοῦ τε τὸν μακάριον ἐθεῶντο Αὐξέντιον, καὶ
730 *τῶν παθῶν εὐθὺς ἀπηλλάττοντο.*

Οὗτος καὶ παραλύτῳ ποτὲ τὰς χεῖρας ἐπιτέθηκε (φοράδην δὲ πρὸς αὐτὸν ἐφ' ἁμάξης ἀποκεκόμιστο) καὶ τὸ σῶμα συναγαγὼν καὶ συμπήξας, διηρθρωμένον καὶ πρὸς τὰς ἐνεργείας ἐρρωμενέστατον ἀπετέλεσε.

735 *Μέλλων δὲ περί τινος ἐρεῖν θαύματος γεγενημένου παρὰ τοῦ μάκαρος, τοσοῦτον προοιμιάσομαι, ὅτι ἔστι τι γένος δαιμόνιον, πάντῃ περὶ γῆν καλινδούμενον· οὐ γὰρ ὁμοία ἡ πτῶσις τοῖς ἀπορριφεῖσι πνεύμασι γέγονεν, ὅθεν, ὅσον τοῦ πτώματος κάτω βέβηκεν, οἵδε παχεῖς τε ἄγαν εἰσί, φιλ-*
740 *όϋλοί τε καὶ φιλοσώματοι· προσποιοῦνται οὖν καὶ γυναικείου κάλλους ἐρᾶν, τῶν τε πλοκαμίδων αὐταῖς ἀπρὶξ ἔχονται καὶ τοῖς στήθεσι παρεμπίπτουσι, οὐχ, ὡς οἶμαι, φυσικὴν τούτων ἐπιθυμίαν ἔχοντες, ἀλλ' ὅτι τῶν γυναικῶν αἱ φιλόκοσμοι καθ' ἑαυτῶν πάροδον τοῖς πονηροῖς διδόασι*
745 *πνεύμασι.*

Τοσοῦτον δὴ προειρηκώς, ἐπ' αὐτὸ τὸ θαῦμα προβήσομαι. ἠλαύνετό τις κατ' ἐκεῖνο τοῦ χρόνου γυνὴ δαίμονί τινι τῶν φιλοσωμάτων, ὁ δὲ καὶ μετεπλάττετο πολλάκις

738–740 cf. [Psell.] de daem. operat. 9 (PG 122,841 A 13–15)
748–749 cf. [Psell.] de daem. operat. 18 (PG 122,861 A 12–17)

731 *ἐπιτέθηκε* c *ἐπιτέθεικε* Vln *ἐπέθηκε* s **732** *δὲ* Vln *τε* cs **734** *ἐρρωμενέστατον* Vcln *ἐρρωμενέστερον* s **736** *τι* om. l **737** *δαιμόνιον* Vlns *δαιμόνειον* c *οὐ* post *δαιμόνιον* add. Vln **737–738** *ὁμοία – γέγονεν* Vcls *ὁμ. τοῖς ἀπ. πν., ἡ πτ. αὐτοῖς γέγ.* n **738–739** *ὅσον τοῦ πτώματος* codd. *ὅσων τὸ τοῦ πτώματος* ci. Io. **740** *οὖν* cs *δὲ* l om. Vn **741** *ἐρᾶν* clns *ὁρᾶν* V

καὶ ὄφεως ὑπεδύετο θέαν καὶ τῷ σώματι τῆς παραφόρου περιεπλέκετο· ἡ δὲ ταραττομένη τῷ πράγματι, εὐθὺς ἀνε- 750
σοβεῖτό τε καὶ ἀνεβακχεύετο καὶ λαλῆσαί τι προθυμουμένη, ὑλακὴν μόνην ἠφίει κυνός· ἐκ διαστημάτων δὲ ἄρα τῷ πάθει τούτῳ κατείχετο. ἅπαξ γοῦν ποτε διαστάντος ταύτῃ τοῦ διαλείμματος, πρὸς τὸ ὄρος ἀφίκετο καὶ εἰς θέαν τοῦ μακαρίου ἐγένετο, ὁ δὲ οἴκτιστά τε ἐπ' αὐτῇ 755
ὠλοφύρατο καὶ τῷ δαίμονι ἐπηράσατο· ἔγνω γὰρ ὡς οὐ τοσοῦτον αὕτη τῆς συμφορᾶς προηγήσατο, ὅσον ἐκεῖνος διὰ μισανθρωπίαν αὐτῇ ἐπεισέφρησεν. ἡμέρας οὖν τινας τὴν σωτηρίαν ταύτης ἀναβαλλόμενος, ἐδεῖτο τοῦ θεοῦ ἐλευθερίαν αὐτῇ τοῦ πονηροῦ χαρίσασθαι πνεύματος, πη- 760
γάς τε δακρύων ἠφίει καὶ τὰ γόνατα τῇ γῇ προσερείσας, εὐμενὲς ἐντεῦθεν ἐποίει τῇ πεπονθυίᾳ τὸ θεῖον.

Τούτων δὲ οὕτω γεγενημένων, ὁ δαίμων οἷα δή τινος πρηστῆρος αἰσθόμενος, δρακοντῶδές τε ἐσύριττε καὶ βλασφήμους φωνὰς κατὰ τοῦ μάκαρος ἀπερρήγνυεν, αὐτῷ τε 765
καὶ τῇ μητρὶ καταρώμενος, τῇ μὲν ὡς ἀποτεκούσῃ τοιοῦτον τοῖς δαίμοσι κεραυνόν, τῷ δὲ ὡς μὴ τὴν ἐκείνης μήτραν διασπαράξαντί τε καὶ ἀποκτείναντι· προσετίθει δὲ τοῖς τοιούτοις, ὡς τόξῳ μὲν εἴκασται ἡ τοῦ γέροντος

755–756 cf. Hom. Od. 10,409 **763–764** cf. supra 685–686

749 *ὑπεδύετο* Vcns *ὑπεκρίνετο* l **750–751** *ἀνεσοβεῖτό* Vcns *ἀνασοβᾶτο* l **753** *γοῦν* Vcns *οὖν* l *διαστάντος* Vc ln *διαναστάντος* s **754** *ὄρος* om. V **756** *ὠλοφύρατο* Vcns *ὠλοφύρετο* l **758** *οὖν* om. Vn **759** *τὴν σωτηρίαν* cs *τῆς σωτηρίας* n, in ras. l *τῇ σωτηρίᾳ* V corr. l *ταύτης* Vln *ταύτῃ* cs **761–762** *τῇ – θεῖον* Vln *τὸ θεῖ. τῇ πεπ.* cs **765** *τε* om. l **767** *τοῖς δαίμοσι* om. ln **768** *δὲ* om. Vcns **768–769** *προσετίθει δὲ τοῖς τοιούτοις* l *τ. πρ.* Vcns **769** *τοῖς τοιούτοις* l *τοιούτοις* V *τούτοις* cns

770 *προσευχή, βολίδι δὲ ἃ καταφέρει τῶν ὀφθαλμῶν δάκρυα, καὶ ὡς ἀποτοξεύει ταύτην καθ' ἑαυτοῦ καὶ ὡς ὀδυνᾶται βαλλόμενος, καὶ ὡς οὐκ ἂν ἑκὼν εἶναι ἀποσταίη τῆς γυναικός, ἐρῶν τε τοῦ κάλλους αὐτῆς καὶ ταῖς τῶν πλοκάμων ἕλιξιν ἐφηδόμενος.*

775 *Ὡς δὲ ὁ μακάριος ταῖς φωναῖς ταύτης ἀντηγωνίζετο καὶ προσετίθει τοῖς δάκρυσι δάκρυα καὶ τοῖς στεναγμοῖς στεναγμούς, ἀποσπᾶται καὶ ἄκων ὁ δαίμων τῆς γυναικὸς καὶ ὁ ἀὴρ τὴν ἀπέλασιν τούτου ἐπισημαίνεται, ἀστραπαῖς τε γὰρ εὐθὺς κατελάμπετο καὶ βρονταῖς ἐμυκᾶτο καὶ θυέλλῃ*
780 *διατετάρακτο. ἡ δὲ ἔρριπτο κατὰ γῆς, ἄναυδός τε καὶ οἷον εἰπεῖν ἄψυχος· ταύτην ἰδὼν ὁ μακάριος, χεῖρά τε ὤρεξε καὶ πρὸς ἑαυτὴν ἐπανήγαγεν, εἶτα δὴ καὶ ἀναστήσας καὶ σὺν τῷ παρατυχόντι λαῷ ἀνθομολογησάμενος τῷ κυρίῳ, ἐλαίου τε δοὺς πιεῖν, παντελῆ τὴν σωτηρίαν μνηστεύεται.*
785 *ἡ δέ, οὐδὲ γὰρ ἦν ἀγνώμων ἐφ' οἷς εὖ ἐπεπόνθει, ἐν μέρει τοῦ ὄρους καταβιώσασα, ἀσκητικοῖς πόνοις καὶ δρόμοις, πρὸς θεὸν ἐξεδήμησεν.*

778–780 cf. Ar. nub. 292 **782–783** cf. Luc. 2,38 **785–787** cf. II Cor. 5,8

770 *προσ-* om. n **772** *εἶναι* om. Vln **773** *ταῖς* Vcls *τοῖς* n **775** *ταύτης* cls *ταύταις* Vn **778** *καὶ* post *τε* add. l **779** *εὐθὺς κατ-* om. ln *βρονταῖς* n *βροντὰς* Vcls **785** *εὖ* om. V *ἐπεπόνθει* l *πεπόνθει* Vcns

B

Ἄγει δὲ ἡμᾶς ὁ λόγος καὶ πρὸς ἕτερα τοῦ μακαρίου τούτου πατρὸς πνευματικὰ κατορθώματα καὶ ἀνδραγαθήματα, περὶ ὧν λέγειν βουλόμενος, τοσοῦτον φθάσας ἐρῶ.

Τὰ Νεστορίου καὶ Εὐτυχοῦς ἑτερόδοξα σπέρματα ἐφυτεύθησαν μὲν καθ' οὓς χρόνους Θεοδόσιος τὰ σκῆπτρα Ῥωμαίοις ἴθυνεν, ἀνεφύησαν δὲ ὁπηνίκα Μαρκιανὸς τὸ κράτος διαδεξάμενος τὰ τῆς εὐσεβείας ἐκράτυνε δόγματα· εἴωθε γὰρ τῷ μὲν στάχυι ἀνατέλλοντι τὰ νόθα συναναφύεσθαι σπέρματα, τῷ δὲ τῆς ἀληθείας λόγῳ κατ' εὐθὺ φερομένῳ καὶ τὴν πλάνην ἐκ διαμέτρου συμπαραφέρεσθαι. ἐξὸν δὲ τῷ βασιλεῖ εὐθὺς ἐκ μέσου τὸν λῆρον ποιῆσαι Νεστόριον, οὐκ ᾤετο δεῖν βασιλικῶς μᾶλλον τούτῳ ἢ δικαίως προσφέρεσθαι· διὰ ταῦτα τοὺς ἁπανταχόθεν ἐλλογίμους ἐπὶ τὸ αὐτὸ συγκαλεῖ, ὅσοι τε ἀρχιερατικοῖς ἤδη βαθμοῖς ἐκληρώθησαν καὶ ὅσοι τῷ λόγῳ μάλιστα τῶν ἄλλων διέλαμπον· ἔμελλον δὲ πάντες ἐν τῇ πόλει Χαλκηδόνος συναθροισθήσεσθαι, ἐκεῖσε γὰρ τὴν δίαιταν ἐπεποίητο.

Καὶ δὴ τῆς λογάδος ἁπάσης συνειλεγμένης, ἐδόκει ὥσπερ τι σῶμα τὸ συλλεγὲν τοῦ κρείττονος μέρους ἐστερημένον, τῆς κεφαλῆς· τούτῳ γὰρ τῷ μέρει τὸν Αὐξέντιον ὡς ἐξαίρετον οἱ πάντες ἀπείκαζον, τοῦ τε βασιλέως σὺν πολ-

2–91 cf. Aux.[1] 1396 B 6–1397 D 10; Aux.[2] 280 (223 α 1–227 β 2); Aux.[3] 7,15–32; Aux.[4] 246,6–35

2 *ὁ* bis V **3** *τούτου* om. l **7** *ῥωμαίοις* cs *ῥωμαίων* Vln **7–8** *τὸ κράτος* om. V **9** *γὰρ* Vcls *δὲ* n **12** *δὲ* clns *δεῖ* V **12–13** *Νεστόριον* clns *Νεστορίου* V **13** *μᾶλλον τούτῳ* cs transp. Vln **17** *Χαλκηδόνος* ln *Καλχηδόνος* Vcs **17–18** *συναθροισθήσεσθαι* Vcs *συναθροισθῆναι* ln

λοῖς δάκρυσι κατεδέοντο καὶ τοῦτον ἐκ τοῦ ὄρους μετακαλέσασθαι, ὡς ἂν αὐτὸς τὴν κατὰ τῆς πλάνης ἐξενέγκῃ
25 ἀπόφασιν. δεῖται τοίνυν διὰ γραμμάτων τοῦ μάκαρος ὁ βασιλεὺς καὶ συνελθεῖν τῇ συνόδῳ προτρέπεται· ὁ δέ – ὢ τοῦ μετρίου ἐκείνου φρονήματος – ἀρχιερέων εἶναι ἀντέφησε τὸ διακρῖναι τὰς περὶ θεὸν δόξας· τούτοις γὰρ ἀνεῖται τὸ περὶ τῶν τοιούτων ψηφίζεσθαι, ἑαυτῷ δὲ διδάσκε-
30 σθαι μᾶλλον, ἀλλ' οὐ διδάσκειν προσήκει· ταῦτα δὴ τοῖς ἀξιοῦσιν εἰπών, αὖθις ἑαυτὸν συστείλας, κατὰ μόνας ὡμίλει θεῷ.

Ἐπεὶ δὲ τοῦ πείθειν ἀπέγνω ὁ βασιλεύς, ἐπὶ τὴν ἀνάγκην ἐτράπετο καὶ ἄκοντα τοῦτον κατεληλυθέναι τοῦ
35 ὄρους παρεκελεύσατο, κατὰ χρείαν ἀλλ' οὐ κατ' ἀτιμίαν τοῦτο ποιῶν· οὐ γὰρ ἦν ἄλλως κατελθεῖν τὸν Αὐξέντιον, εἰ μή τις βίαν ἐπήνεγκεν. ὡς δὲ καὶ αὖθις διισχυρίζετο καὶ πρὸς τὴν ἀνάγκην ἀντεβιάζοντο, κακῶς παρὰ τῶν πολλῶν ἤκουε καὶ προδοσίαν τινὲς αὐτῷ ἐνεκάλουν τῆς πίστεως,
40 ὅτι δέον τῷ ὀρθῷ λόγῳ κινδυνεύοντι βοηθῆσαι, ὁ δὲ τῷ καθ' ἑαυτὸν μέρει προδίδωσι τὴν εὐσέβειαν καὶ τοῖς ἐπὶ τῇ βεβαιώσει τῆς πίστεως συλλεγεῖσιν οὐ συναθροίζεται. ταῦτα λέγοντες, διαλύειν τε ἐπειρῶντο τὸ ἐν ᾧ καθεῖρκτο οἰκίδιον καὶ τὸν μακάριον ἐκεῖθεν ἀποβιάζεσθαι, ὀργάνων
45 τε ἐπὶ τοῦτο ἥπτοντο καὶ τὸν σωρὸν τῶν λίθων ἀνώρυττον καὶ διασπᾶν ἐπεβάλλοντο τὴν συνέχειαν· ἀλλ' οὔπω ἐνδιδόντος ἑαυτὸν τοῦ μάκαρος τοῖς κελεύουσιν, εἰς οὐδὲν ἀπετελεύτα τὰ παρ' ἐκείνων γινόμενα, ἕως αὐτὸς ὁ θεῖος

28 θεὸν Vcs θεοῦ ln **30** δὴ Vcns δὲ l **35** οὐ κατ' ἀτ. Vln οὐκ ἀτ. cs **38** ἀνάγκην Vcns βίαν l ἀντεβιάζοντο V ἀντεβιάζετο clns **45** τοῦτο Vcls τούτῳ n λίθων Vlns λίθον c **48** γιγνόμενα c γινόμενα Vls γενόμενα n

ἀνὴρ ἐνέδωκέ τε τοῖς βιαζομένοις καὶ πρὸς τὴν ἀπαγωγὴν οὐκ ἀντέσχεν. οὕτω τοιγαροῦν εὐχερῆ πάντα τοῖς ἐπιτεταγ- 50 *μένοις τὴν κάθοδον τοῦ μάκαρος ἦν, αὐτομάτως γὰρ ἡ σκηνὴ διελύετο καὶ τἆλλα κατὰ πρόθεσιν ἐτελεῖτο.*

Οἱ μὲν οὖν ᾤοντο εὐθὺς τὸν Αὐξέντιον ἐξεληλυθέναι ἵππου τε ἐπιβῆναι καὶ εὐχερῶς κατιέναι· ὁ δὲ πάντῃ παρεῖτο τοῦ σώματος, οὐ τῷ γήρει μᾶλλον διαλυθείς, ἀλλὰ 55 *ταῖς συντόνοις ἀσκήσεσιν, ἐκέκαμπτό τε αὐτῷ τὰ γόνατα καὶ ἡ σύμπασα τῶν μελῶν ἁρμονία παρακεκίνητο· ἀλλὰ τοῦτο μὲν ἧττον δεινόν, ὁ δὲ ἄρα καὶ πληγαῖς τὰ μέλη κατεδεδαπάνητο, καὶ αἱ πληγαί – φεῦ τοῦ θεάματος, φεῦ τοῦ ἀκούσματος – σκωλήκων πλήρεις, ἐμπεφυκότων τοῖς* 60 *διαβρωθεῖσι μέρεσι καὶ ταῖς τῶν ὀστῶν ὥσπερ ἐμφωλευόντων κοιλότησι· καὶ ὥσπερ τὰ διεσπαραγμένα τῶν σωμάτων, ἀκίνητα δὲ τέως καὶ κατὰ χώραν μένοντα, ἐπειδάν τις μετακινήσειε, διαλύεταί τε καὶ διασπαράττεται, οὕτω δὴ καὶ τὸ τοῦ μάκαρος τὸν ἐν ᾧ κατῴκει τόπον* 65 *ἀμειβομένου, τὰ μέλη πάντα τοῦ σώματος τῆς συμφυοῦς ἁρμονίας διαλυόμενα διεσπᾶτό τε καὶ κατὰ γῆς ἐρριπτεῖτο, οἵ τε τῶν ποδῶν ὄνυχες τῆς συμφυΐας ἀπολυθέντες, ἄλλος ἀλλαχοῦ διεσκίδνατο, ἀγομένου τοῦ μάκαρος.*

Θεόφιλος δέ τις καὶ τολμηρότερόν τι ἐπεποιήκει, ἕνα 70 *γὰρ τῶν ὀνύχων, ἔτι τῷ οἰκείῳ μέρει ἐμπεφυκότα, λαθὼν τοὺς ἄλλους φιλοθέως μᾶλλον ἢ ἀποτόμως ἀφείλετο· ἐφ' ᾧ*

49 *τε* om. l 52 *πάντα* post *τἆλλα* add. l 53 *ἐξ-* om. l 56 *ἐκεκάμπτο* Vcns *ἐκάμπετο* l 57 *αὐτῷ* post *σύμπασα* add. l *αὐτῷ* post *μελῶν* add. n 59 *κατεδεδαπάνητο* Fr. *κατεδαπάνητο* n *καταδεδαπάνητο* Vcls 59–60 *θεάματος ... ἀκούσματος* Vcns *ἀκούσματος ... θεάματος* l 61–62 *ὥσπερ – καὶ* om. l 63 *δὲ* Vcns *δὴ* l *καὶ* om. ln 70 *τολμηρότερόν* Vs *τολμηρόν* cln 72 *φιλοθέως* codd. *φιλοθέους* Io.

τὸν Αὐξέντιον ὑπεραλγήσαντα ἐπιπλῆξαι τῷ τοῦτο τολμήσαντι, προσθέντα ὡς 'οὔπω, ἀδελφέ, τοῦ σώματος
75 *ἀπολέλυμαι, οὐδὲ ἀνεπαισθήτως ἔχω, διασπωμένων μοι τῶν μελῶν, ἀλλ' οὐδ' ἐκ δρυὸς ἢ ἀδάμαντος συμπέπηγμαι, ἀλλ' ὀστέοις καὶ νεύροις διήρτισμαι ὡς καὶ σύ· ἐμοὶ δέ τι καὶ πλέον πρόσεστι, καταδεδαπάνημαι γάρ, ὡς ὁρᾷς, καὶ μᾶλλόν μοι τῶν ἄλλων ἐμπέφυκε τὸ ἀλγεῖν.'*
80 *Ἐπεὶ τοίνυν οἱ ἀπάγοντες τὸν μακάριον ἀπεγνώκεισαν ἵππῳ τε τοῦτον ἐποχῆσαι καὶ τὴν κάθοδον αὐτῷ ποιήσασθαι ἄλυπον, ἁμάξῃ βόας ὑποζυγώσαντες, ἐπ' αὐτῆς ἔθεσαν τὸν Αὐξέντιον, ἵν' οὕτως εὐμαρῆ τούτοις τὰ τῆς ἀπαγωγῆς γένοιτο· οἱ δὲ βόες ἐπεζεύχθησαν μὲν ἔμενον δὲ*
85 *ὥσπερ ἀνδριάντες ἀκίνητοι, μήτε μαστίγων, μήτε κέντρων ἐπιστρεφόμενοι πρὸς τὴν ἐντεῦθεν αἴσθησιν, κατ' οὐδὲν ἧττον ἀναισθήτων διακείμενοι· ἐπεῖχε γάρ τις αὐτοὺς ἑτέρα δύναμις καὶ τὸ σύνθημα τῆς κινήσεως οὐκ ἐδίδου, ἕως αὐτὸς ὁ μακάριος ἐκεῖθεν ἐγκελευσθείς, ἐπιτάττει τε*
90 *τοῖς βουσὶ καὶ αὐτίκα ἑαυτῶν τε ἐγένοντο καὶ τοῦ πρόσω εἴχοντο.*

Ἀλλὰ μήπω τὰ πρὸς βασιλέα μηδὲ τὰ περὶ τοῦ δόγμα-

76 cf. Hom. Od. 19,163 et CPG II 158,40 **77** cf. Iob 10,11 **92–235** cf. Aux.[1] 1397 D 11–1401 C 12; Aux.[2] 280 (227 *β* 2–229 *α* 1); Aux.[3] 7,33–8,29; Aux.[4] 246,36–247,14

75 *ἀνεπαισθήτως* c *ἀναισθήτως* Vlns *μοι* Vln *μου* cs **76** *οὐδ'* cls *οὐκ* Vn *ἐκ* post *ἢ* add. cs *ἀδάμαντος* n mg. l *πέτρας* Vcls *συμπέπηγμαι* Vcs *ἀποπέπηγμαι* ln **79** *μοι* om. l **80** *τοίνυν – ἀπεγνώκεισαν* Vcls *τοίνυν ἀπεγ. οἱ ἀπάγ. μακ.* n **82** *βόας* om. n *ὑποζυγώσαντες* clns *ἐπιζυγώσαντες* V **84** *ἐπεζεύχθησαν* Vn *ὑπεζεύχθησαν* cls **87** *ἧττον* om. cs **92** *τὸν* post *πρὸς* add. c *βασιλέα* Vcls *βασιλέως* n

*τος καὶ τῆς θείας ψήφου καὶ κρίσεως, ὁ δὲ λόγος ἐμφι-
λοχωρησάτω τοῖς μεταξὺ καὶ τῶν θαυμασίων ἐχέσθω τοῦ
μάκαρος· οὐ γὰρ μάτην αὐτῷ ἤνυστο ἡ πρὸς βασιλέα* 95
*ὁδός, ἀλλ' ἀπολελαύκασι τούτου οὐκ ἄνθρωποι μόνον,
ἀλλὰ καὶ ἄλογα ζῷα, γῆ τε καὶ ἀὴρ πνευμάτων ἀπολελυ-
μένα, οἷς τὸ πρῶτον κατεμολύνοντο· δαίμοσι γὰρ οὐ κατ'
ἀνθρώπων μόνον ὁ φθόνος ἐντέτηκεν, ἐνάλλονται δὲ καὶ
θηρσὶ καὶ ἵπποις καὶ ἡμιόνοις, ἐπιπηδῶσι καὶ χοίροις, ὥς* 100
*πού τὰ ἱερὰ διδάσκει ἡμᾶς εὐαγγέλια· ἄλογος γὰρ αὐτοῖς
ὁ θυμὸς καὶ ἀδιάκριτος ἡ ὁρμή, ὅθεν ὅπῃ τύχῃ καὶ καθ'
ὧν ἂν ἕλοιντο τὸ τῆς μανίας δεικνύουσιν ἀπαραίτητον· ὁ
δὲ λόγος δώσει τὸν ἔλεγχον.*

Οὔπω γὰρ τὸ ὄρος ὁ μέγας καταβεβήκει πατὴρ καὶ 105
*γεωργοῖς ἐντυγχάνει ἀποδυρομένοις, οὐχ ὅτι τὰ τῶν ὡρῶν
αὐτοῖς ἄτακτα ἐγεγόνει, οὐδ' ὅτι τὰ σπέρματα ἄκαρπα καὶ
ἀτελεσφόρητα καθειστήκει, ἀλλ' ὅτι οἵ τε βόες καὶ αἱ φορ-
βάδες καὶ τὰ θρέμματα, οἱ μὲν τὴν ἅμαξαν ἀπαναίνονται,
αἱ δὲ τὸν ἐποχηθησόμενον οὐ προσίενται, τὰ δὲ τῶν συν-* 110
*ήθων ἀποπλανῶνται νομῶν· βαδίζουσι δὲ οὐ κατὰ φύσιν,
οὐδ' ὥσπερ βουσὶ καὶ φορβάσι καὶ θρέμμασιν ἔθος, ἀλλὰ*

98 cf. vita s. Hypatii, abb. in Rufinianis 51 (ASS Jun. IV,270 E) **100–101** cf. Matt. 8,30–32 = Mar. 5,11–13 = Luc. 8,32–34 **108–124** cf. vita s. Demetriani Cypriani 14 (ASS Nov. III, 307 D–F)

95 *ἤνυστο* clns *ἤνοιστο* V **98** *κατεμολύνοντο* Vcs *ἀπεμολύνοντο* ln **99** *ὁ* om. Vln **101** *διδάσκει* cs *διδάσκουσιν* Vln **102** *τύχῃ* Vcns *τύχοι* l corr. n **103** *ἕλοιντο* Vcns *ἄλλοιντο* l **104** *δώσει* Vcl *δηλώσει* ns **106** *ὡρῶν* Vcls *ἀρουρῶν* n **107** *ἄτακτα* Vcls *ἄτεκνα* n **110** *οὐ προσίενται* om. Vln

διαστρέφουσί τε τὰ σκέλη καὶ τοὺς ὀφθαλμοὺς ὑφαίμους παραδεικνύουσιν· 'ἐφ' οἷς ταῦτά τε κινδυνεύει ἀπολωλέναι
115 *καὶ ἡμᾶς διεφθάρθαι λιμῷ.' ἐπὶ τούτοις τάς τε τρίχας ἐσπάρασσον καὶ τὰ στήθη ἔπαιον καὶ δεινῶς ὠλόλυζον καὶ ἀπωλοφύροντο. ἀλλ' ὅ γε Αὐξέντιος τῇ χειρὶ τούτους κατασιγάσας, εὐχῇ μιᾷ τὰ μεμηνότα τῶν ζῴων πρὸς τὸ καθεστηκὸς ἐπανήγαγε καὶ κατὰ ταὐτόν, τὸ μὲν ἐριοφοροῦν*
120 *τῷ μέλει τῆς σύριγγος κατεθέλγετο, ἡ δὲ βοῦς ὑπετίθει τῇ ζεύγλῃ τὸν τράχηλον καὶ ἡ φορβὰς τὸν ἀναβάτην οὐκ ἐδυσχέραινεν, αἱ δ' ἐπαύλεις καὶ αἱ τῶν βοτήρων καταγωγαὶ εὐθυμίας πάντα μεστὰ καὶ τὸν θρῆνον μεταβαλόντες ἐχόρευον.*

125 *Πάρεργον αὐτῷ τῆς ὁδοῦ καὶ μεμηνός τι παιδίον, ἔτι γὰρ ἐτιθηνεῖτο καὶ ἡ μήτηρ ἀγκαλισαμένη προσήγαγε τῷ μάκαρι· τὸ δὲ ἄρα μετήλλακτο πάντῃ, αἵ τε γὰρ κόραι αὐτῷ ὕφαιμοι καὶ τὸ πρόσωπον κατὰ νώτου μεταλλαγὲν ἐτετύπωτο, ταῖς τε χερσὶν ἀκρατὲς τῆς μητρὸς καὶ πάντῃ*
130 *ἐπιλελησμένον τοῦ γάλακτος. τούτῳ τὸν ὀφθαλμὸν ἐπὶ πολὺ προσχὼν ὁ Αὐξέντιος, 'οὐ τῷ βρέφει ἀναθετέον, ὦ παρόντες' ἔφη 'τὴν αἰτίαν τοῦ πράγματος, ἀλλ' ἐνίοις*

125–141 cf. vita s. Mariae junioris 15 (ASS Nov. IV, 698 D) et vita s. Athanasiae in Aegina 17 (ASS Aug. III, 174 E)

113 *τὰ σκέλη* Vcs *τὴν σκέλην* n *τὴν σκέλλην* l *καὶ* om. s **114** *ἀπολωλέναι* Vcln *ἀπολωλεκέναι* s **119** *ταὐτὸν* cs *ταὐτὸ* Vln *τὸ ... ἐριοφοροῦν* cs *τὰ ... θρέμματα* Vln **120** *τῆς* Vcns *τοῦ* l *ἡ ... βοῦς ὑπετίθει* cs *οἱ ... βόες ὑπετίθουν* Vln **121–122** *ἡ φορβὰς ... ἐδυσχέραινεν* cs *αἱ φορβάδες ... ἐδυσχέραινον* Vln **122** *βοτήρων* Vln *βοτείρων* c *βουτείρων* s **126** *προσήγαγε* n *προσῆγε* Vcls **129** *ταῖς τε χερσὶν ἀκρατὲς* Vln *αἵ τε χεῖρες ἀκρατεῖς* cs **130** *ὀφθαλμὸν* Vcln *ὀφθαλμῶν* s **132** *ἔφη* om. ns add. post *αἰτίαν* mg. l

ὑμῶν· τῶν γὰρ τελείων πολλάκις ἁμαρτανόντων, εἶτα δὴ τούτων φειδόμενος ὁ θεός, τοῖς ἀτελέσιν ἐπάγει τὴν τιμωρίαν, ὥσπερ δὴ καὶ τὰ στοιχεῖα μαστίζειν εἴωθεν, ἵνα 135 *ἡμᾶς σωφρονίσῃ ταῖς κατὰ τῶν ἀψύχων πληγαῖς. ἀλλὰ τοῦτο μὲν ἰάσεται ὁ τοῖς πνεύμασιν ἐπιτάττων θεός, ὑμεῖς δὲ ὁρᾶτε, μὴ ὁδῷ τὸ κακὸν προβαῖνον, ἀπὸ τῶν ἀτελῶν ἐπὶ τοὺς τελείους, ὑμᾶς, ἀφίκηται.' οὗτος ὁ λόγος καὶ τῷ παιδὶ τὴν ἐλευθερίαν ἐχαρίσατο τοῦ πάθους καὶ τὸ πλῆθος* 140 *σωφρονεστέρους ἀπειργάσατο.*

Μηδὲ ἡ Δωροθέου θυγάτηρ ἀπέστω τοῦ λόγου, ἐπεὶ μηδὲ ὁ πατὴρ παρῆκεν αὐτὴν κινδυνεύουσαν· ταύτην γὰρ δαίμων τις τῶν πονηροτάτων τέσσαρα ἐπὶ τοῖς δέκα ἔτη ἐξήλασε τῆς καθεστώσης φρενός· ἦν μὲν οὖν καὶ τὸν 145 *ἅπαντα χρόνον τοῦτον παράφορός τε καὶ παρακεκινημένη καὶ οἷον ὑπόβακχος, ἐν ᾧ δὲ μᾶλλον τὸ πνεῦμα περιοδικῶς αὐτὴν ἐπεκύμαινεν, ἡ δὲ τήν τε καλύπτραν ἀφῄρει τῆς κεφαλῆς καὶ τοὺς βοστρύχους κατέξαινε καὶ γυμνὴ διὰ μέσης τῆς πόλεως ἔθεεν. αὕτη κατιόντα θεασαμένη τὸν* 150 *μάκαρα, τοιάσδε ἠφίει φωνάς· 'ἔμελλες ἄρα, Αὐξέντιε, ἐπ' ὀλέθρῳ τῆς ἡμετέρας φύσεως ἐπὶ τοῦτον τὸν βίον ἐλθεῖν; ἔοικας γὰρ ἡμῖν κεραυνίοις βολαῖς, καταπιμπρᾷς γὰρ ἢ ἐκ τοῦ σύνεγγυς ἢ πόρρωθεν ἀποτοξεύων τὸ πῦρ· ἵνα τί δὲ*

133–135 cf. Exod. 20,5 et 34,7; Num. 14,18; Deut. 5,9
135 cf. Agg. 2,6

136 *ἡμᾶς* Vlns *ὑμᾶς* c **137** *πνεύμασιν* clns *πατράσιν* V **140** *ἐχαρ. τ. παθ.* n *τ. παθ. ἐχαρ.* Vcls **141** *σωφρονεστέρους* cs *σωφρονέστερον* Vln *ἀπειργάσατο* Vln *εἰργάσατο* cs **142** *Δωροθέου* cs *Θεοδώρου* Vln (cf. Aux.[1] 1400 B 7 et Aux.[3] 8,5) **143** *παρῆκεν* cls *ἀφῆκεν* Vn **146** *χρ. τοῦ.* cs *τοῦ. χρ.* Vln **148** *ἐπεκύμαινεν* Vcns *ὑπεκύμαινεν* l *τε* om. l **151** *ὦ* post *ἄρα* add. Vln **154** *ἀποτοξεύων* Vc ns *κατατοξεύων* l

155 *ἐκ κοιλίας ἐξῆλθες, ἢ ἐξελθὼν μὴ εὐθὺς ἀπωλώλης, ἀλλ' ἐπὶ κακῷ τῆς ἐμῆς ἄρα κεφαλῆς γεγέννησαι; ἰδοὺ γὰρ τῆς γυναικὸς ταύτης ἀφίσταμαι καὶ πρὸς ἑτέραν μεταχωρῶ γῆν, ὥσπερ ἐκέλευσας.' ἔλεγε ταῦτα δῆθεν τὸ γύναιον καὶ μᾶλλον ἐτετάρακτό τε καὶ κατεσπάρακτο, ἀπολυόμενα γὰρ*
160 *τῶν σωμάτων τὰ πνεύματα, τῷ βαρεῖ καὶ γεώδει τῆς φύσεως διαλύουσί τε ταῦτα καὶ κατατρίβουσιν· ἀλλ' ὁ Αὐξέντιος ἔτι μᾶλλον ἐπιτιμήσας τῷ δαίμονι, τὸν μὲν εὐθὺς ἐφυγάδευσε, τὴν δὲ γυναῖκα πρὸς ἑαυτὴν ἐπανήγαγε.*

Ταῦτα μὲν οὖν κατιόντι τοῦ ὄρους τῷ μακαρίῳ τεθαυ-
165 *ματούργητο· ἐπεὶ δὲ κατεληλύθει, μειράκιόν τι, ᾧ Γεώργιος τοὔνομα, τὸν βίον ἀγροῖκος, ἀθρόον τὰς ποιμενικὰς ἐπαύλεις ἀφεὶς καὶ τὰς συνήθεις καταγωγάς, μεμηνὸς ὁρῶν καὶ παράφορον, τῷ μακαρίῳ προσυπαντᾷ· ὁ δὲ δαίμων ὁμοῦ τε εἶδε καὶ μεθεὶς τὸ μειράκιον κατὰ τὴν*
170 *πλαγίαν ἀφανῶς ἐτράπη ὁδόν, θάμνῳ τινὶ ἀκανθώδει ὑποστειλάμενος ἑαυτόν, ὡς ἐμπεσούμενος αὖθις τῷ ἐφήβῳ, παρεληλυθότος τοῦ μάκαρος· τοῦτο γνοὺς ὁ Αὐξέντιος, 'μηκέτι' τῷ μειρακίῳ φησὶ 'τὴν ὁδὸν τήνδε ἀντιπαρέλθοις,' δείξας τῷ δακτύλῳ τὴν ἄκανθαν, 'ἀλλὰ τὴν ἑτέραν τραπό-*
175 *μενος, πρὸς τοὺς συνήθεις τεθαρρηκὼς ἄπιθι.'*

Καὶ Ἰσίδωρος δέ τις, τὴν ἡλικίαν νεώτερος, πονηρῷ τυραννούμενος πνεύματι ἀπηλλάγη τῆς τυραννίδος, ἐπιθέντος αὐτῷ τὰς χεῖρας τοῦ Αὐξεντίου. καὶ τί ἂν ἅπαντα λέγοιμι,

155 *ἀπωλώλης* Fr. *ἀπωλώλεις* Vcln *ἀπωλόλεις* s 158 *ἐκέλευσας* Vln *ἐκκέλευστος* cs 159 *κατεσπάρακτο* Vc ln *διεσπάρακτο* s 160 *γεώδει* Vcln *γαιώδει* s 162 *τὸν* Vcls *τῷ* n 164 *τῷ μακαρίῳ* om. n 166 *δὲ* post *τὸν* add. s *ἀγροῖκος* Vln *ἀγροῖκον* cs 170 *ὁδόν* cs om. Vln 173 *ἀντιπαρέλθοις* cs *ἀντιπαρέλθῃς* Vln 174 *ἄκανθαν* Vln *ἄκανθα* cs 175 *ἄπιθι* Vlns *ἄπηθι* c 177 *πνεύματι* l *δαίμονι* Vcns 178 *ἂν* cs om. Vln *ἅπαντα* Vlns *πάντα* c

ὅσα κατὰ τὴν ὁδὸν ὁ πατὴρ ἐπεδείξατο θαύματα; θᾶττον γὰρ ἄν τις τοὺς κατ' οὐρανὸν ἀστέρας διαριθμήσαιτο ἢ 180
κοίλαις χερσὶ τὴν θάλασσαν ἐξαντλήσειεν ἢ τὰ παρ' ἐκείνου τερατουργηθέντα ἐξαριθμήσειεν.

Ἀλλὰ πῶς ἄν τις παρέλθοι σιωπῇ, πῶς δ' ἂν ἀξίως ἀφηγήσαιτο ὁπόσα ὁ ἐκ τοῦ ὄρους ἑπόμενος ὄχλος κατέσπεισαν δάκρυα, τοῦ μάκαρος ἤδη τῇ καταγωγῇ πλησιάσ- 185
αντος, ἣ δὴ παρὰ τοῦ βασιλέως αὐτῷ ἀπετέτακτο (ἦν δὲ αὕτη ὁ τοῦ Προδρόμου νεώς, οὐ μακρὰν τοῦ ὄρους ἀφιδρυμένος)· πρὸς οὓς ἐπιστραφεὶς ὁ Αὐξέντιος ἔφησε 'μὴ οὕτω, τεκνία ἐμά, μὴ οὕτω δακρύετε· εἰ γὰρ οἱ φυσικοὶ πατέρες, ὅπου δ' ἂν εἶεν, μέμνηνται τῶν υἱέων, καὶ βραχὺ 190
τούτων ἀπορραγέντες, οὕτω περιστάντων αὐτοῖς τῶν πραγμάτων, αὖθις ἐπαναστρέφουσι, πῶς ἂν αὐτὸς θείῳ πνεύματι συλλαβὼν ὑμᾶς καὶ ἀρρήτοις ὠδῖσιν ἀποτεκών, ἀμνήμων ἔσομαι τῆς πνευματικῆς ταύτης φύσεως; μὴ οὕτω γενοίμην ἀπόστοργος, ἀλλ' ἐπιλαθοίμην ἂν ἐμαυτοῦ 195
καὶ τῆς ἐμῆς ζωῆς τε καὶ διεξαγωγῆς, εἰ τῶν φιλτάτων παίδων, ὑμῶν, ἐπιλήσομαι. πείθεσθε δὲ ὡς πατρὶ νουθετοῦντι, καὶ γενέσθω ὑμῖν τὰ ἐμὰ παραγγέλματα, ἃ πολλάκις πρὸς ὑμᾶς ἐξεθέμην, ἐγκεχαραγμένα γράμματα ταῖς

179–180 cf. CPG II 4,15 **181** cf. CPG I 174,48 (app. cr.) et 446,58

179 *ὁ πατὴρ* om. ln **180** *διαριθμήσαιτο* cs *ἀπαριθμήσαιτο* Vln **181** *ἐξαντλήσειεν* Vcs *ἀπαντλήσειεν* ln *παρ'* om. l **183** *παρέλθοι* cls *παρέλθῃ* V *παρέλθ*[.] n **184** *ἀφηγήσαιτο* Vcns *διηγήσαιτο* l **185** *τῇ* om. Vn **186** *ἀπετέτακτο* cs *ἐπετέτακτο* Vn *ἐπιτέτακτο* l **189** *τεκνία* Vlns *τέκνα* c **195** *ἀπόστοργος* Vlns *ἄστοργος* c **196** *διεξαγωγῆς* Vcns *διαγωγῆς* l **197** *δὲ* om. n

200 *ὑμετέραις ψυχαῖς, ἃ δὴ καὶ ἐν βραχεῖ κεφαλαιώσας ὑμᾶς ἀναμνήσομαι.*

Ἡγείσθω ἡ πρὸς θεὸν πίστις παντὸς ὑμῶν πράγματος καὶ βουλεύματος· συνεπέσθω τῇ πίστει ὁ πρὸς αὐτὸν πόθος· σώφρονι ζωῇ τὸν βίον ὑμῶν διεξάγοιτε· ἡ πρὸς
205 *θεὸν ἐλπὶς ζήτω ἀεὶ ἐν ὑμῖν· ἴδετε τὸν ἐμὸν βίον, ἔμψυχον ὑμῖν ἐπὶ τοῦ ὄρους εἱστήκειν παράδειγμα, μιμηταί μου γίνεσθε, ἵνα τολμήσας καὶ αὐτὸς εἴπω τὴν τοῦ ἀποστόλου φωνήν, καθὼς ἐγὼ τοῦ Χριστοῦ. ἂν οὕτω διάγητε, ἔλθοι ἐφ' ὑμᾶς ἡ χάρις τοῦ θείου πνεύματος καὶ ἐπισκοπεύσοι*
210 *ὑμᾶς ἐπισκοπῇ ἄνωθεν ὁ θεός. κἀγὼ δὲ ταχὺ τοῖς ποθοῦσιν ἐπανελεύσομαι, νῦν γὰρ ἄπειμι τῷ λόγῳ βοηθήσων τῆς πίστεως.' ἐπὶ τούτοις αὐτοὺς ἀσπασάμενος καὶ πᾶσιν ὁμοῦ ἐπευξάμενος, τὴν τοῦ Βαπτιστοῦ εἰσῄει μονήν.*

Ἄρτι δὲ τῆς ἁμάξης ἀποβαίνοντι μειράκιόν τι (πνεύματι
215 *δὲ ἄρα ἠλαύνετο πονηρῷ) βλασφήμους κατ' αὐτοῦ ἠφίει φωνάς, θεομάχον ἀποκαλοῦν καὶ τοῖς θείοις ἀποταττόμενον δόγμασιν· εἶτα δὴ μεταβαλλόμενον (πρόδηλον ἦν οὐκ ἐκεῖνο φθεγγόμενον, ἀλλὰ τὸ χρώμενον ὡς ὀργάνῳ τῇ ἐκείνου φωνῇ, ἐῴκει δὲ ἐξαπατᾶν τὸν μακάριον) 'σοὶ γὰρ'*
220 *φησὶν 'ἀμυνόμενος καὶ τοῖς σοῖς δόγμασι, δίκας ἀπὸ*

206–208 I Cor. 11,1

200 *δὴ* om. n **202** *μῶν* post *θεὸν* add. n **204** *διεξάγοιτε* Vlns *διεξάγετε* c **205** *ἀεὶ* om. c *ἴδετε* cs *εἴδετε* Vln **206–207** *γίνεσθε* Vls *γίνεσθαι* c *γίνεσθ*[lac.] n **208** *τοῦ* om. Vln *διάγητε* cn *διάγοιτε* Vls *ἔλθοι* Vcs *ἔλθῃ* ln **209** *θείου* Vcs *ἁγίου* ln *ἐπισκοπεύσοι* Vcs *εἰσκοπεύσει* ln **212** *αὐτοὺς* clns *αὐτὸς* V **213** *τὴν … μονήν* l *τὸν … νεών* Vcns **214** *ἀποβαίνοντι* Vcln *καταβαίνοντι* s **217–220** *εἶτα – δόγμασι* om. ln **217** *μεταβαλλόμενον* Vs *μεταβάλλομεν* c

τουτωνὶ τῶν ἀνδρῶν λαμβάνω, ὅσοι τῶν σῶν καταφρονοῦσιν ὑποθηκῶν· σὺ δὲ ἄρα ὥσπερ ἐπιλελησμένος, τούτοις μὲν ἀμύνεις, ἐμὲ δὲ ἀπελαύνεις.' ἀλλ' ὅ γε μακάριος ἐλαίῳ ἁμαρτωλῶν λιπαίνεσθαι μὴ βουλόμενος, σιωπὴν τούτῳ ἐγκελευσάμενος, 'πόρρω' φησὶ 'τῆς τοῦ θεοῦ εἰκόνος γενοῦ· 225
σὺ μὲν γὰρ ἅπαξ τὴν τάξιν, ἐφ' ᾗ κατ' ἀρχὰς τέταξαι, λελοιπώς, οὐκέτι ἐπανελήλυθας, ἄγγελος καὶ ταῦτα τυγχάνων καὶ τὴν φύσιν ἀφειμένην ἔχων τοῦ σώματος· ὁ δέ γε ἄνθρωπος, καὶ ταῖς τοῦ σώματος φυσικαῖς τυραννούμενος ἀνάγκαις καὶ ταῖς ἐκ τῶν πραγμάτων βίαις πρὸς τὴν χείρονα 230
ζωὴν ἀνθελκόμενος, οὔπω πάντῃ τὰ τοῦ ἀγαθοῦ ἀπεβάλλετο σπέρματα, ἀλλ' ἣν ὁ λόγος αὐτὸν πρὸς τὸ μὴ δέον μετακινήσῃ, πρὸς τὸν θεὸν αὖθις ἐπάνεισι καὶ τοῦ πλάστου οὐκ ἐπιλέλησται.' τούτοις ὁ δαίμων ἐπεστόμιστό τε ἅμα καὶ ἀπελήλατο. 235

Ὧδε μὲν οὖν τὰ μέχρι τοῦ νῦν συμπεπλήρωται καὶ ὁ λόγος τὰ πλείω παρῆκε, τὰ δὲ ἐντεῦθεν ὁποῖα; κρείττω τῶν εἰρημένων καὶ τελεώτερα. ἐδραπέτευον ἐξ ἀκοῆς καὶ μόνης τοῦ μάκαρος δαίμονες, πάθη τοῦ σώματος ἐπικλήσεσι μόναις ταῖς πρὸς θεὸν ἀπεξέοντο, σπίλοι 240

223–224 cf. Ps. 140,5 225 cf. Gen. 1,27 et 5,1 226–228 cf. Ioann. Damasc. de fide orth. 2,4 (PG 94,873 C 2–877 C 4)

222 *ἐπιλελησμένος* l *ὑπολελησμένος* Vcns 223 *μὲν* om. ln 228 *ἀφειμένην* Vln *ἀφεμένην* cs 229–230 *φυσ. τυρ. ἀν.* Vcs *τυρ. ἀν. φυσ.* ln 231–232 *ἀπεβάλλετο* Vl *ἀπεβάλετο* cns 232 *ὁ* V om. clns *μὴ* l om. Vcns 233 *-εισι* supra *-άγει* l 234–235 *τούτοις – ἀπελήλατο* cs om. Vln 234 *ἐπεστόμιστο* s *ἀπεστόμιστο* c 238–239 *ἐδραπέτευον – δαίμονες* cs *ἐξ ἀκ. κ. μον. τ. μακ. δαι. ἐδρ.* Vln

ψυχῶν ἐξ ἀπροσεξίας ἐπιγινόμενοι ὑποθήκαις ἐκείνου καὶ ἐντολαῖς ἀπεπλύνοντο. τί μὲν μὴ παρῆν τῶν καλῶν, τί δὲ μὴ ἀπῆν τῶν κακῶν;

Ἀλλ' ἐπειδὴ τὸ ὄρος καταλελοίπει καὶ μετήλλαξε τὰς
245 συνήθεις διατριβάς, μή ποτε ἄρα καὶ τὸν κανόνα τῆς ἐγκρατείας μετήμειψεν, ἢ τράπεζαν ἑαυτῷ παραθέμενος ἢ ἰχθύων ἁψάμενος, ἐπειδὴ ἀνδράσιν ἀστικοῖς προσωμίλησε; πολλοῦ γε καὶ δεῖ. μᾶλλον μὲν οὖν ὡς ἐν μέσοις θορύβοις γενόμενος, προσεκτικώτερον ἔζη καὶ συντονωτέρας
250 ἀσκήσεως ἥπτετο· ἀπείχετο γὰρ καὶ λαχάνων καὶ τῶν αὐτοφυῶν βοτανῶν τό τε τοῦ ὕδατος μέτρον ἠλάττωσε καὶ τἄλλα ἑαυτῷ παρὰ τὴν φύσιν ἐστένωσε. δέον οὖν θαυμάζειν τοὺς πολλοὺς καὶ ὡς θεῷ τούτῳ προσκεκυφέναι, οἳ δὲ ἄρα καὶ ἐσχετλίαζον καὶ τὴν αἰτίαν αὐτῷ προσωνείδιζον,
255 καί ποτε συλλεγέντες, πεῖράν τε αὐτοῦ ἐποιοῦντο καὶ οὑτωσί πως ἐπυνθάνοντο· 'τίνος χάριν, Αὐξέντιε, τῶν πατέρων ἡμῖν ἄνωθεν τὸν τῆς ἀσκήσεως κανόνα διορισάντων καὶ τὴν μέσην ἀγαπησάντων ζωήν, αὐτὸς ὥσπέρ τι πλέον τῶν ἄλλων φρονῶν, ἄρτου μὲν ἀπέχῃ, οἶνον δὲ ἀποστρέφῃ,
260 τοῦ δὲ ὕδατος τοσοῦτον ἀρύῃ, ὁπόσον ἂν μὴ κατενεχθείη τῷ φάρυγγι, ἀλλ' ἄκραν καταψύξαι τὴν γλῶτταν; εἰ γὰρ

244–335 cf. Aux.[1] 1403 C 4–1405 D 4; Aux.[2] 280 (230 *a* 2); Aux.[3] 9,4–27 **256–263** cf. Bas. reg. brev. tract. 93 (PG 31,1148 A 10–B 4), 128 (1168 C 9–D 8), 129–130 (1169 A 1–B 12), 138 (1173 A 11–C 15), 139 (1176 A 1–13); reg. fus. tract. 18–19 (PG 31, 965 A 10–969 B 14); apophthegm. patr. 1 (PG 65,236 B 3–6)

241 *ἐπιγινόμενοι* Vcs *ἐπιγενόμενοι* ln *ἐκείνου* om. l **242** *μὲν* l om. Vcns **245–246** *τῆς ἐγκρατείας* om. ln **259** *οἶνον* Vcls *οἴνου* n **260** *ἀρύῃ* Du. *ἐρύῃ* l *αἱρῇ* Vcs *ἀπογεύῃ* n *κατενε⟨γ⟩χθείη* n

ἦν τοῦτο καλόν τε καὶ νόμιμον, ἦν ἂν συνηριθμημένον ταῖς τῶν πατέρων ἡμῶν διατάξεσιν.'

Ἀπεκρίνατο πρὸς ταῦτα ὁ πατὴρ ὁ μέγας 'ὦ τέκνα, ἐμαυτῷ μὲν οὖν ἐγὼ οὐδὲν σύνοιδα τοιοῦτον διαπεπραχότι, 265 *ὅπερ ὑπερβαίνει τὸ σύνηθες τῆς ἀσκήσεως· ὡς ὑπὲρ ἑτέρου δὲ οὕτω βιοῦντος ἀπολογοῦμαι, ὡς οἱ θεῖοι πατέρες θεσπίσαντες ἡμῖν τὰ περὶ τοῦ ἀσκητικοῦ βίου, τῶν πολλῶν μᾶλλον ἢ τῶν ὀλίγων ἐφρόντισαν· διὰ ταῦτα συμμεμετρήκασι ταῖς τούτων γνώμαις οἷά τε καὶ ὅσα βρωτέον τε* 270 *καὶ ποτέον αὐτοῖς. οὐ μήν, τοῦτο δεδωκότες, ἐκεῖνο ἀνῃρήκασιν, εἴ γέ τις ἐπέκεινα τῆς φύσεως βούλοιτο ζῆν· ὁ γὰρ ἄνθρωπος ἐξ ἀλόγου καὶ λογικῆς συγκείμενος φύσεως, ἔχει τι καὶ θεῖον ἐν ἑαυτῷ· εἰ μὲν οὖν τὴν σωματικὴν αἱροῖτο ζωήν, θηρίον ἐστὶν ἀτεχνῶς· εἰ δέ γε τὴν μέσην καὶ* 275 *ἐπιστατικήν, ζῷον λογικὸν καὶ θνητόν· εἰ δὲ τὴν κρείττονα καὶ νοεράν, θεὸς ἄντικρυς· ἐφ' ὃ δὴ μέρος, ὃ ἔδωκε θεός, ἐπαναβεβηκώς, κἂν ἐς τὸ παντελὲς διατελέσειεν ἄσιτος· ζῇ γὰρ οὐχ ἑαυτῷ, ἀλλὰ τῷ θεῷ.'*

Ταῦτα ὁ μὲν ἔλεγεν, οἱ δὲ κατεφρόνουν ὡς ψευδομένου 280 *καὶ ἔλεγχον ἐποιοῦντο τῶν λεγομένων· ὁ δὲ ἔλεγχος, λάχανά τε καὶ τραγήματα, φακούς τε καὶ φοίνικας καὶ ζυμίτας ἄρτους ἀφανῶς πρὸς τῇ τῆς κέλλης αὐτοῦ εἰσόδῳ κατατεθεικότες, ἐκ πλαγίου τε τῆς θύρας παιδάριόν τι τῶν*

278–279 cf. Rom. 14,7–8

264 *ὁ πατὴρ ὁ μέγας* ln *ὁ μέγας πατὴρ* Vcs **265** *ἐμαυτῷ – ἐγὼ* l *ἐγὼ μὲν αὐτῷ* Vcns **267** *δὲ* ln *οὖν* Vcs **270–271** *βρωτέον – αὐτοῖς* Vcln *βρωτέον αὐτοῖς καὶ ποτέον* s **271** *δεδωκότες* Vcns *δεδοικότες* l **278** *ἐπαναβεβηκώς* Vln *ἀναβεβηκώς* cs **281** *καὶ* om. ln *οὖν* post *ἔλεγχον* add. l **282** *τραγήματα* Vln *τρωγήματα* cs **283** *πρὸς* Vcns *πρὸ* l et ci. Io. **284** *τε* om. Vcs *τῆς* om. n

285 *εὐφυεστάτων ὑποστειλάμενοι, ἐνετείλαντο ἐπισκοπεῖν ἅπαντα, ὁπόσα πράττει ὁ μοναχός, ἀπαγγέλλειν τε εἴτε ἀπέχοιτο τῶν βρωμάτων, εἴτε ἅπτοιτο. οἱ μὲν οὖν ταῦτα εἰρηκότες ἀπῄεσαν, τὸ δέ γε παιδάριον ἐκεῖνα δὴ τεθέατο, ὅσα τις ἀνθρωπίνη γλῶσσα ὡς εἶχε τὰ δρώμενα ἀπαγγεῖ-*
290 *λαι μὴ δύναιτο· ἀπήγγειλε γὰρ ἐπανιοῦσι τοῖς ἐργολάβοις, ὡς τὰ μὲν παρατεθειμένα οὐδὲ θεάσοιτο ὁ μακάριος, ἀλλὰ σὺν πολλοῖς ἄλλοις λευχειμονοῦσι καὶ τὴν ὄψιν ὑπεραστράπτουσι τὰς εὐχὰς ποιοῖτο· ὁπηνίκα δὲ ἀρκούντως ἔχοι τῶν δεήσεων, περιστερά τις ἀφανῶς κατιοῦσα, ἠρέμα ὑπὸ*
295 *χρυσαῖς πτέρυξι τῷ στόματί τε αὐτῷ πλησιάζοι καὶ πληροίη θείας τροφῆς· οἱ δέ γε ταῖς πληγαῖς τούτου ζωογονούμενοι σκώληκες ἐκπίπτουσι μὲν πάντες εἰς προσευχὴν κινουμένου, ὁ δὲ ταῖς χερσὶν αὖθις ἀναλαμβάνων ἐμβάλλει τοῖς πεπονθόσι τοῦ σώματος μέρεσι. ταῦτα ὡς ἤκουσαν οἱ*
300 *πειράζοντες, θαμβηθέντες ἀπηλλάγησαν, οὐκέτι συνθέμενοι δευτέραν πεῖραν προσάγειν τῷ μάκαρι.*

Μετὰ δὲ ταῦτα βραχύν τινα ἐκεῖσε χρόνον ἐγκαρτερήσας, ἐπὶ τὸ ἔγγιστα μετελήλυθε μοναστήριον, ὃ δὴ οὐ πόρρω μὲν τοῦ ὄρους ἐφίδρυται, τῇ θαλάσσῃ δὲ προσνέν-

292–293 cf. Matt. 28,3 **296–299** cf. vita s. Lazari Galesiotis 171–172 (Ass. Nov. III,560 C–D)

286 *πράττει* clns *πράττοι* V **287** *ἀπέχοιτο* Vln *ἐῶν* cs **288** *εἰρηκότες* Vcns *εἰπόντες* l **292** *ἄλλοις* om. l **293** *ποιοῖτο* Vcs *ποιεῖτο* n *ἐποιεῖτο* l *ἔχοι* Vcls *ἔχει* n **294** *ἀφάνως* om. ln **295** *αὐτῷ* cs *αὐτοῦ* Vln *πλησιάζοι* cls *πλησιάζει* V *πλησιάσησα* n *καὶ* om. n **296** *πληροίη* Vln *πληροῖ* cs **297** *πάντες* l *πάντως* n *στάντος* Vcs **298** *κινουμένου* l om. Vcns *ἐμβάλλει* Vln *ἐμβάλλοι* cs **299** *τοῦ–μέρεσι* Vcls *μέρ. το. σω.* n **303** *μετελήλυθε* Vcns *κατελήλυθε* l **304** *ἐφίδρυται* cs *καθίδρυται* Vln

ευκε, καὶ τοῖς τοῦ μάρτυρος Ὑπατίου καταλάμπεται θαύ- 305
μασιν, ἀφ' οὗ δὴ καὶ τὴν ἐπωνυμίαν ἔσχηκεν. ἐκεῖσε οὖν
γενόμενος ὁ μακάριος, θειοτέραν τινὰ πεπονθέναι ἀλλοίω-
σιν ἔδοξε, τῶν συκοφαντούντων αὐτὸν καὶ πειραζόντων ἐκ-
ποδὼν γενομένων καὶ πλείονος αὐτῷ ἐπιχυθείσης ἄνωθεν
χάριτος· οἵ τε τὴν ἄσκησιν ἐκεῖσε πεποιημένοι, θεῖοί τινες 310
ἄνδρες τῷ ὄντι τυγχάνοντες, ὡς θεῷ προσεῖχον αὐτῷ καὶ
τὰς ἀκοὰς ὑπετίθουν τοῖς παρ' ἐκείνου λεγομένοις, καὶ τὴν
ζωὴν ἐπὶ τὸ κάλλιον μεταμείψαντες, κατὰ τὰς ἐκείνου
ὑποθήκας ἐπολιτεύοντο.

Ἀνέῳκτο δὲ καὶ ἡ τοῦ μοναστηρίου ἅπασιν εἴσοδος καὶ 315
πάντες ἐκεῖσε συνέρρεον, οὐ τῶν ἀγχοῦ μόνον, ἀλλὰ καὶ
τῶν πόρρωθεν, οἱ μὲν ἵνα τινὸς ἀπαλλαγεῖεν προστετηκό-
τος αὐτοῖς κακοῦ ἢ νοσήματος ἢ πονηροῦ πνεύματος, οἱ
δὲ ἵνα τὴν ψυχὴν διορθωθεῖεν ἐπὶ τὸ βέλτιον, ἕτεροι κανό-
νας ἀσκητικοῦ βίου ληψόμενοι, οἱ δὲ ἵνα καὶ μόνον θεά- 320
σοιντο ἢ πλησίον ἐκείνου γένοιντο· ἑκάστῳ γὰρ ἕκαστον
τῶν ἀπηριθμημένων μέγα τι ἐδόκει καὶ τῷ ὄντι ὑπερφυὲς
ὄφελος. ὁ δὲ πᾶσι καταλλήλως ἑαυτὸν ἐδίδου καὶ ἕκαστος
κατὰ τὸ μέτρον τῆς ἑαυτοῦ δυνάμεως τῶν ἐκείνου λόγων
ἀπολελαύκει. 325

305–306 cf. vita s. Hypatii, abb. in Rufinianis 9 (ASS Jun. IV, 251 F), 29–30 (260 A–B), 50–51 (270 A–B)

308 *συκοφαντούντων αὐτὸν* Vcln *συκοφαντῶν αὐτῷ* s *τῶν* post *καὶ* add. Vln **310** *πεποιημένοι* Vcns *ποιούμενοι* l **315** *ἅπασιν* Vcls *πᾶσιν* n **316** *ἐκεῖσε* Vl *ἐκεῖ* cns **319** *διορθωθεῖεν* Vcls *διορθοῖεν* n **321–322** *ἕκαστον τῶν ἀπηριθμημένων* Vcns *τ. ἀπ. ἕκ.* l **322** *τῷ ὄντι* Vcns *ὄντως* l **323** *ἕκαστος* Vcls *ἑκάστῳ* n **324–328** *τῶν – δυνάμεως* om. ln *τὰς ὑποθήκας ἐδέχετο* mg. l

Πολλῶν δὲ παρὰ θεοῦ χαρισμάτων αὐτῷ καταπεφοιτηκότων, ἓν τοῦτο μάλιστα ἐξαίρετον ἦν, τὸ κατὰ τῶν πονηρῶν πνευμάτων καὶ τῆς ἐκείνων δυνάμεως· καὶ τό γε θαυμασιώτερον, ὡς ἐδεδοίκεσαν μὲν τοῦτον οἱ δαίμονες
330 *ὅσα καὶ ἀστραπήν, οἱ τὸ θειῶδες αὐτῆς καὶ ἀνυπόστατον ἐπιστάμενοι, οὐκ ἐδραπέτευον δέ, ἀλλ' ὑπὸ κρείττονός τῆς δυνάμεως ἀφανῶς πρὸς ἐκείνου ἠλαύνοντο, εἶτα ὑπὸ τῷ πυρὶ τῶν ἐκείνου λόγων καταπιμπράμενοι, αὐτὸ δὴ τοῦτο ἀνωμολογήκεσαν, ὅτι φλέγοιντο καὶ πρὸς τοιοῦτον πῦρ*
335 *οὐκ ἔστιν αὐτοῖς ἀντίστασις ἐκ τῆς φύσεως.*

Τούτων οὕτως ἐχόντων, ἡ ἐν Χαλκηδόνι, ὡς προλέλεκται, συνείλεκτο σύνοδος καὶ τὰ Νεστορίου εὐθύνεσθαι ἤρξαντο· καὶ δικαστὴς μὲν τοῖς ἀντιδιατιθεμένοις ὁ εὐσεβέστατος ἅμα καὶ δικαιότατος προὐκάθητο βασιλεύς, εἴσο-
340 *δος δὲ τοῖς ἀντιδικάζουσιν ἐξεδόθη καὶ τὰ παρ' ἑκατέρων συνεκρούοντο δόγματα.*

Διισχυρίζοντο δὲ οἱ τὰ Νεστορίου τετιμηκότες μὴ ἑτεροδοξεῖν πρὸς τὴν καθολικὴν ἐκκλησίαν, μηδ' ἄλλο τι παρὰ ταύτην πρεσβεύειν, ἀλλὰ τὴν οἰκονομίαν πᾶσαν ὁμολογεῖν
345 *καὶ μηδὲ πρὸς ἓν μέρος διαμφιβάλλειν, μὴ πρὸς τὴν τοῦ*

336–459 cf. Aux.[1] 1405 D 6–1411 D 8; Aux.[2] 280–281 (230 β 2–231 β 1); Aux.[3] 9,28–10,18; Aux.[4] 247,14–29

326 *παρὰ – χαρισμάτων* c *χαρ. π. θε.* s **329** *μὲν τοῦτον* Vcs *τοῦτον μὲν* ln **330** *αὐτῆς* Vcls *αὐτοῦ* n **331** *ἐδραπέτευον* cs *ἐδραπετεύοντο* Vln *τῆς* Vln *τινος* cs **332** *ἐκείνου* ln *ἐκεῖνον* Vcs **333** *καταπιμπράμενοι* Vcns *καταπιμπρώμενοι* l *δὴ* om. l **334** *ἀνωμολογήκεσαν* Vcns *ἀνωμολόγουν* l **336** *Χαλκηδόνι* Vlns *Καλχηδόνι* c **337** *συνείλεκτο* Vcs *συνείληκται* ln **338** *ἤρξαντο* l *ἤρξατο* Vcns **340** *ἀντιδικάζουσιν* cs *ἀντιδοξάζουσιν* Vln *ἐξεδόθη* l *ἐδόθη* Vcns **345** *δὲ* post *μὴ* add. Vln

λόγου σάρκωσιν, μὴ πρὸς τὴν τῶν δύο φύσεων σύνοδον, μὴ πρὸς τὴν ἀσύγχυτον ἕνωσιν, μὴ πρὸς ἄλλο τι τῶν ὧν οἱ πατέρες παρέδοσαν καὶ ὁ τῆς ἀληθείας ἐβεβαίωσε λόγος· πρὸς αὐτῶν δὲ μάλιστα ταῦτα κηρύττεσθαι κἂν τοῖς διὰ γλώσσης, κἂν τοῖς συγγράμμασιν· ἠξίουν δὲ καὶ τὰ 350 *Νεστορίῳ ἐκτεθειμένα ἀναγινώσκεσθαι δόγματα.*

Ἔνθα δήπου καὶ διεφάνη τὸ πρὸς ἡμᾶς αὐτῶν ἑτερόδοξον· ὁ γὰρ ἀνὴρ οὗτος ἐβούλετο μὲν ἐκ παντὸς τρόπου τὴν ἐναντίαν ἡμῖν τῆς κατὰ τὴν οἰκονομίαν πίστεως τραπέσθαι ὁδόν, οὐκ ᾤετο δὲ ἄλλως αὐτῷ τοῦτο κατορθωθῆ- 355 *ναι τὸ βούλημα, εἰ μὴ πρότερον ὁμοφρονεῖν τοῖς ἐξάρχοις τῶν εὐσεβῶν δογμάτων ὑποκριθείη· ἐγκατατετριμμένος δὲ ὢν ταῖς τοῦ Ἀριστοτέλους σοφιστικαῖς, ὡς ἐκεῖνός φησί που, ὀχλήσεσι καὶ τῶν περὶ τὰς ἔριδας διατριβόντων τὰ πρῶτα τυγχάνων, ἐκεῖθέν τι πρὸς ὃ ἐβούλετο ὤνατο· τὰς* 360 *γὰρ ἀμφιβόλους καὶ πολυσήμους τῶν λέξεων, ὥσπέρ τινας εἰκόνας ἐπ' ἄμφω ὁρώσας, τοῖς δόγμασιν αὐτοῦ ἐγκατέμιξεν, ὡς καὶ ταὐτὸν ἡμῖν δύνασθαι καὶ τὴν ἐκείνου δηλοῦν κακεντρέχειαν.*

Ἀμέλει, ἡμῶν δύο φύσεις οὐσιώδεις ὁμολογούντων, ἐκεῖ- 365 *νος τὸν ἀριθμὸν τεθείς, λανθανόντως ἀφῄρει τὸ 'οὐσιώδεις·' οὐ γὰρ ἐβούλετο τὸν λόγον αὐτὸν σεσαρκῶσθαι ἢ τὴν παρθενικὴν ὑποδῦναι μήτραν τῆς θεομήτορος, ἀλλ'*

357–360 cf. Arist. de int. 17 a 36

349 *αὐτῶν* Vcln *αὐτὸν* s **349–350** *τοῖς διὰ γλώσσης* V *λόγοις* post *γλώσσης* add. cs *ταῖς διαλόγοις γλώσσαις* n *τοῖς διαλόγοις* l **351** *Νεστορίῳ* Vln *Νεστορίου* cs **357** *δὲ* cs *γὰρ* l om. Vn **364** *κακεντρέχειαν* Vcls *κακαντρέχειαν* n **366–367** *οὐσιώδεις* Vcs *οὐσιῶδες* ln **367** *αὐτὸν* Vln *αὐτῷ* cs

ὅτι, φησί, τῷ γεγεννημένῳ υἱῷ τῆς Μαρίας ψιλῷ μὲν ἀν-
370 *θρώπῳ ὄντι, ἀγαθῷ δὲ διὰ τὴν γνώμην, ἐκ πρώτης γενέ-*
σεως συνῆπτο θεός, ὥσπερ δήπου οὐ τῆς οὐσίας αὐτῷ
συμπαρούσης, ἀλλὰ μόνης τῆς διαθέσεως. ἡμῶν τοίνυν τὴν
ἕνωσιν ἐπὶ τῶν οὐσιῶν δοξαζόντων, αὐτὸς δὴ τὴν ἑτέραν
μὲν ἐτίθει τῶν οὐσιῶν, φημὶ δὴ τὴν ἄνθρωπος, ἀνῄρει δὲ
375 *τὴν ἑτέραν καὶ φαντασίαν τὴν φύσιν ἐδόξαζε. τἄλλα τε*
οὕτως αὐτῷ εἶχεν ἰσοσθενῆ καὶ ἰσόρροπα, καὶ ἡ λέξις περὶ
τὸ διττὸν τῶν σημαινομένων τὰς Εὐρίπου μεταβολὰς ἀπει-
κόνιζεν· ὅθεν καὶ τοῖς πολλοῖς τῶν τὴν εὐσέβειαν ὀρθοτο-
μούντων οὐκ ἠθετεῖτο τὰ δόγματα, ἀλλὰ παρὰ τὴν ὁμοι-
380 *ότητα τῆς φωνῆς τοῖς ἡμετέροις ἐγκατεμίγνυτο. ἀλλ' ὁ τῆς*
Ἀλεξανδρείας φωστήρ, Κύριλλος, τὸ μέγα τῆς φιλοσοφίας
ἀξίωμα, πρῶτος αἰσθόμενος τοῦ κακοῦ καὶ τὸ τῶν λέξεων
διασείσας ἀμφίβολον, εὗρεν ὅπῃ σαθρόν ἐστι, καὶ τὸ μέ-
ρος ἀφελόμενος, τῆς ὑγιαινούσης ἀπέκρινε πίστεως.
385 *Τούτων τοίνυν οὕτω προηγησαμένων, ἀνεγινώσκετο μὲν*
τότε τὰ Νεστορίου νοθογενῆ καὶ κίβδηλα δόγματα, ἀντα-
νεγινώσκετο δὲ τὰ τοῦ θείου Κυρίλλου συγγράμματα, καὶ
ὁ ἔλεγχος ἐκεῖθεν ἐδείκνυτο καὶ τὸ ἀμφίβολον ἀνεκαλύπ-
τετο τοῦ δελεάσματος. ἐντεῦθεν ἐξῆρτο βοή, τῶν μὲν τὰ
390 *Νεστορίου φρονούντων εἰς τὴν ἐναντίαν μοῖραν ἀποκριθ-*

376–378 cf. CPG II 100,76

369 *γεγεννημένῳ* Vls *γεγενημένῳ* cn *θεομήτορος* post *τῆς* add. l **370** *διὰ* l om. Vcns **375** *φύσιν* Vcls *φυσικὴν* n **376** *οὕτως αὐτῷ* Vcls transp. n *περὶ* ln *παρὰ* Vcs **379** *ἠθετεῖτο* Vcs *ἠθέτει* ln **381** *Κύριλλος* Vlns *Κύριλλος* c **382** *αἰσθόμενος* Vcns *αἰσθανόμενος* l **383** *διασείσας* Vcls *διαλύσας* n **383–384** *εὗρεν – ἀφελόμενος* cs om. Vln **384** *πίστεως* clns *φύσεως* V **389** *δελεάσματος* cls *δελεάματος* Vn *βοή* clns *βοαί* V

έντων καὶ τοῦ ἐκκλησιαστικοῦ ἀπορραγέντων φρονήματος, τῶν δὲ τὴν εὐαγγελικὴν δογματιζόντων ἀκρίβειαν τὸ κράτος κατ' αὐτῶν εἰληφότων καὶ μέντοι γε τὸ νόθον τοῦ γνησίου διαστειλαμένων.

Ἐπὶ τούτοις καὶ ὁ μακάριος ἐφειστήκει, τοῦ βασιλέως 395 *πρὸς τοῦτο τὸν ἄνδρα παρακαλέσαντος, ὡς ὁ λόγος ἄνωθε διεσάφησεν, ἐπιστὰς δὲ ἀμφίστομος ὡς ἀληθῶς τῇ συνόδῳ διεδείκνυτο μάχαιρα, τὰ μὲν τέμνουσα, τὰ δὲ ἀπευθύνουσα τῶν κινηθέντων δογμάτων· καὶ ἡ γλῶσσα αὐτῷ κατ' οὐδὲν ἐλάττων τῶν πυρίνων ἐκείνων γλωσσῶν κατεφαίνετο, ἃς δὴ* 400 *πάλαι τοῖς ἀποστόλοις τὸ πνεῦμα ἐμέριζε, μᾶλλον δὲ αὐτὸ τοῦτο ἐν τῷ τῶν φαινομένων εἴδει κατεμερίζετο· καὶ τοῖς μὲν ἄλλοις ἐῴκει ἀκροατὴς ἔσεσθαι τῶν δοξῶν, μὴ μέντοι γε καὶ τὴν δικαστικὴν δυνηθῆναι δίαιταν, ἅτε παρειμένως ἔχων τοῦ σώματος καὶ ταῖς συντόνοις κατειργασμένος* 405 *ἀσκήσεσιν· ὁ δὲ ἄρα καὶ θαμὰ πρὸς τὰ λεγόμενα διανίστατο καὶ τῷ τῆς γλώττης κρότῳ τὸν τῆς σάλπιγγος ἦχον ὑπερεβάλλετο. ὁ μὲν οὖν ἐδίκαζε καὶ δικάσας λαμπρῶς ἀπεφήνατο, ἡ δὲ σύνοδος ὑπεγραμμάτευε καὶ τὸ κῦρος τῆς πίστεως ἐν γράμμασι διεδείκνυτο· τὰ δὲ ἦν τῶν Γρηγορίου* 410 *καὶ Βασιλείου δογμάτων ἐχόμενα, μεθ' ἃ δὴ καὶ τὰ Κυρίλλου συνήνωτό τε καὶ συγκεκρότητο.*

399–402 cf. Acta 2,3

396 *θεῖον* post *τὸν* add. l *-κα-* bis n *ἄνωθε* Fr. *ἄνωθι* cs *ἄνωθεν* Vln **400** *ἐλάττων* Vln *ἐλάττω* cs *κατ-* om. cs **401** *τὸ* om. n **403** *ἐῴκει* cs *ἐδόκει* Vln **404** *δικαστικὴν* Vln *διαστικὴν* cs *ἅτε παρειμένως* Vcs *τότε παρειμένως* n *τάς τε δυνάμεις παρειμένας* l **406** *θαμὰ* cs *πυκνὰ* Vln **407** *ἦχον* Vcns *κρότον* l **408** *ὑπερεβάλλετο* Vln *ὑπερεβάλετο* cs

Γέγονε ταῦτα, καὶ ὁ βασιλεὺς τοῖς γεγραμμένοις προσέσχε, καὶ τεθαύμακε μὲν τῶν δογματισάντων τὸ ἀκριβές,
415 *τό τε καθαρὸν ὑπερηγαπήκει τῆς πίστεως, καὶ τὸ τῆς φράσεως ἁπλοῦν ὑψηλότερον μᾶλλον τῆς παρὰ τοῖς ἄλλοις δεινότητος ᾤετο· τέχναι γὰρ καὶ μέθοδοι καὶ λόγων στροφαὶ παρὰ μὲν τοῖς τὸ δίκαιον κλέπτουσι καὶ μάλιστα δύνανται, ἀπελέγχονται δὲ παρὰ ταῖς τῶν δογμάτων ἁπλότη-*
420 *σιν· καὶ ὁ τοῦ καθ' ἡμᾶς δὲ δόγματος λόγος οὐ δι' ὑπεροχὴν σοφίας τὸ κῦρος εἴληφεν, ἵνα μὴ κενωθείη τὸ εὐαγγέλιον, τεχνικαῖς πιθανότησι κρατυνόμενον, ἀλλὰ τοὺς ἁλιεῖς προεστήσατο καὶ τὴν ἁπλουστέραν μέν, εὐθυτέραν δὲ γλῶσσαν, καὶ παρὰ ταύτην πάσης ἐκράτησε τεχνικῆς*
425 *ἰσχύος τε καὶ δεινότητος.*

Ἠγαλλιᾶτο μὲν οὖν ὁ βασιλεὺς ἐντυγχάνων τῇ ἐκθέσει τῆς πίστεως, ἐδεῖτο δὲ καὶ θειοτέρας ἀκοῆς, ἵν' ἐκεῖθεν αὐτῷ ἐπισφραγισθείη τὰ δόξαντα· καὶ πολλῶν ὄντων τῶν τότε συνειλεγμένων, ὧν ἕκαστος ἐπὶ σοφίᾳ λόγου ἐξῄρητο,
430 *πάντων ὑπεριδών, τοῦ Αὐξεντίου καὶ μόνου εἴχετο καὶ τοῦτον ἐκάλει τῆς ἀναγνώσεως αὐτῷ κοινωνήσοντα καὶ ἐπισφραγίσοντα ἃ παρὰ τῶν ἄλλων ἐκτεθείη καὶ κυρωθείη· καὶ ὃς παρῆν μηδὲν ἀναβαλλόμενος, οὐ γὰρ βασιλέως*

420–422 cf. I Cor. 1,17 et I Cor. 2,1 **422–424** cf. Matt. 4,18–19 = Mar. 1,16–17

413 *γεγραμμένοις* clns *γράμμασι* V **414** *τε* post *τῶν* add. n **415** *ὑπερηγαπήκει* Vcls *ὑπεραγαπήκει* n **416** *φράσεως* clns *φράσως* V **417** *καὶ* post *τέχναι* add. n **419** *ἀπελέγχονται* Vln *ἐλέγχονται* cs **419–420** *ἐλέγχονται – ἁπλότησιν* cs *παρ. δ. ταῖς τῶν δογ. ἁπλ. ἀπελ.* Vln **420** *καθ'* l *δι'* Vcs mg. l *δ'* n **421** *κενωθείη* Vcls *κενωθῇ* n **421–422** *τὸ εὐαγγέλιον* om. l **422** *κρατυνόμενον* Vcns *κρατυνόμενος* l **428** *αὐτῷ* cls *ἑαυτῷ* V om. n *ἐπισφραγισθείη* Vln *ἐπισφραγισθῇ* cs **429** *λόγου* om. l

αὐτῷ ἔμελεν, οὐδὲ τῆς ἐν βασιλείοις φιλοτιμίας, ἀλλὰ τοῦ λόγου τῆς ἀληθείας καὶ τῆς ἀκριβείας τοῦ δόγματος. 435

Ἐπὶ χεῖρας οὖν κἀκεῖνος τὸν τόμον λαβὼν καὶ προσχὼν ὅσα εἰκὸς τοῖς ἐκτεθεῖσι, κριτήριά τε τούτοις ἀντιπαραθέμενος ὅσα πάλαι παρὰ τοῖς πατράσι δεδογμάτιστο, ἐπεὶ πρὸς πάντα εἶδεν ἀπευθυνόμενον καὶ πρὸς οὐδὲν ἑτεροδοξοῦντα τῶν προηγησαμένων, 'θάρσει' φησὶν 'ὦ βασιλεῦ· οὐ 440 *μόνον γὰρ τῶν ἀντιδοξούντων κεκρατήκαμεν, ἀλλὰ καὶ ἡμῖν ἑαυτοῖς ὁμονοοῦντα φθεγγόμεθα· κρατείτω τὰ δόξαντα· ἐσφραγίσθω τὰ κεκυρωμένα. ἐκόσμησας τῇ εὐσεβείᾳ τὴν βασιλείαν, τὸ κράτος ἐπηύξησας· πάλαι μὲν γὰρ ἀντιστατούντων τῶν ἐθνῶν ἡγεμόνευες, νῦν δὲ τῆς ἐναν-* 445 *τίας τῶν δαιμόνων μερίδος κατακεκράτηκας. σοὶ μὲν οὖν τὸ κράτος κατευθυνέσθω καὶ τὰ τῆς πίστεως ἐπηυξήσθω, ἐμοὶ δὲ καιρὸς αὖθις ἐπανιέναι ὅθεν αὐτὸς ὡς οἶσθα ἄκοντα κατεβίβασας.'*

Τούτων ὁ βασιλεὺς ἀκούσας εὐφραίνετό τε ἅμα καὶ ἐσ- 450 *κυθρώπαζε καὶ παντοῖος ἦν, δυσὶ πάθεσι μεριζόμενος· εὐφραίνετο, ὅτιπερ αὐτῷ ἡ εὐσέβεια πανταχοῦ τῆς οἰκουμένης ἐφήπλωτο, ἐσκυθρώπαζεν, ὅτι μικρὸν αὐτῷ συναστράψας ὁ τῆς ἀσκήσεως λύχνος Αὐξέντιος, ὅσον τῷ πρὸς ἐκεῖνον μέρει μικροῦ δεῖν καὶ ἀπέσβεστο· ἀλλ'* 455 *ἐπειδὴ βιάζεσθαι οὐκ ἐξῆν τὸν πᾶσαν βίαν νενικηκότα, οὐδέ τισι τέχναις ἁλίσκειν τὸν ἄσχετον πρὸς πᾶσαν γλυκυθυμίαν καὶ τῷ ὄντι ἀνάλωτον, ἀφῆκε, μὴ ἀφεὶς τὸ μέν, ὅ φασιν, ἑκών, τὸ δὲ τυραννούμενος.*

434 *ἔμελεν* Vc *ἔμελλεν* lns *τῆς* Vcls *τοῖς* n **436** *κἀκεῖνος* Vcs *ἐκεῖνος* ln **439** *ἀπευθυνόμενον* Vln *ἀπευθυνόμενα* cs **443** *ἐσφραγίσθω* Vcls *ἐπισφραγείσθω* n **445** *τῶν* l om. Vcns **446** *κατακεκράτηκας* l *κεκράτηκας* Vcns **447** *καὶ – ἐπηυξήσθω* om. l *ἐπηυξήσθω* cs *ἐπαυξέσθω* Vn **450** *ὁ βασιλεὺς ἀκούσας* l *ἀκούσας ὁ βασιλεὺς* Vcns *τε* om. ln **455** *δεῖν* Vcns *δὴ* l

Γ

Παλινδρομήσας δὲ πρὸς τὸ ὄρος, τὸ μέγα τῆς ἀρετῆς αὐτῷ ἐνδιαίτημα, ὁ μακάριος, οὐχ ὥσπερ οἱ πολλοὶ τῶν αὐλούντων ποιεῖν εἰώθασι, πρὸς τῷ τέλει τοῦ δρόμου ἐνδι-
5 *δόντες τοῦ τόνου καὶ ἀνέσεις αὐτοῖς μνηστευόμενοι, τοῦτο δὴ καὶ αὐτὸς δεῖν ᾠήθη ποιεῖν, ἀλλ' ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενος καὶ μηδέποτε λήγων τῆς πρὸς θεὸν φερούσης ὁδοῦ, συντονώτερον τοῦ κατόπιν ἐποιεῖτο τὸ ἐφεξῆς καὶ τὸν δρόμον μᾶλλον ἐπέτεινεν, εἰδὼς ὡς ὁπόσον*
10 *ἂν μὴ δράμῃ ὑπεκφεύγει τὸ ἐραστόν, καὶ δεῖ πόνων τε πολλῶν καὶ ἱδρώτων τοῖς ἐκεῖνο διώκουσιν.*

Ἀμέλει, ἠξίου τοὺς ἑπομένους αὐτῷ πρὸς τῷ τοῦ Σκοποῦ ὄρει τὴν σκηνὴν τούτῳ συμπήξασθαι, ὃ δὴ ταπεινοτέραν μὲν τοῦ προτέρου τὴν θέσιν εἰλήφει, τραχυτέραν δὲ
15 *τὴν φύσιν παρὰ πολύ· βραχὺ δέ τι μέρος τοῦ εἱργμοῦ ἀνεῴξας (οὕτω γὰρ δεῖ καλεῖν ἐν ᾧ κατεκέκλειστο), καὶ τοῦτο οὐχ ἵνα τῶν ἡλιακῶν ἀπολαύῃ αὐγῶν, οὐδ' ἵνα τὴν παρὰ τοῦ ἀέρος λαμβάνῃ παραμυθίαν, ἀλλὰ διὰ τὴν τῶν παραβαλλόντων ἐπίσκεψιν καὶ παράκλησιν, ἐκ μακρῶν τῶν*
20 *διαστημάτων ἐκεῖθεν τοῖς συνιοῦσιν ἐφαίνετο.*

2–131 cf. Aux.[1] 1411 D7–1414 D2; Aux.[2] 281 (233 a 1–2); Aux.[3] 10,19–27; Aux.[4] 247,29–248,10

4 *αὐλούντων* Io. *αὐχούντων* codd. *τέλει* Vcls *τελείῳ* n **5–6** *τοῦτο – ᾠήθη* cs *οὕτω δεῖν κ. αὐ. ᾠή.* Vn *οὕτω δὴ κ. αὐ. ᾠή.* l **7** *δια-* om. s **9** *μᾶλλον* Vcls *πάλιν* n **10** *μὴ* om. cs *δράμῃ* ln *δράμοι* Vcs *ὑπεκφεύγει* Vcns *ὑπεκφύγῃ* (*-οι* s. l.) l **13** *ὃ* Vcls *ᾗ* n **14** *τραχυτέραν* cls *ταχυτέραν* Vn **15** *φύσιν* Vcls *κτίσιν* n **16** *ἀνεῴξας* Vc ls *ἀνοίξας* n *κατεκ-* n *κατακ-* Vcls **17** *ἀπολαύῃ* ln *ἀπολαύοι* Vcs

Οἷς δὴ καὶ πρῶτον τοῦτον θεμέλιον τοῦ λόγου ἔθετο, εἰδέναι ὅτι μὴ αὐτομάτως τὰ ὄντα γεγένητο, ἀλλὰ θεοῦ βουληθέντος, γένεσιν, μὴ ὄντα πρότερον, εἴληφεν· ὃν καὶ πρεσβεύειν χρεὼν οὐχ ἑνὶ προσώπῳ, ἀλλὰ τρισίν, ἴσοις τε καὶ ἀπαραλλάκτοις, πατρί τε καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, 25 *εἰς μίαν συνιοῦσι θεότητα· οὐ γὰρ δὴ μετὰ τὸν πατέρα ὁ υἱός, οὐδὲ μετὰ τὸν υἱὸν τὸ πνεῦμα, ὡς οἱ κακοὶ διαιτηταί φασι τῆς θεότητος, ἵνα μὴ μεσιτεύσῃ τοῖς ἀμεσιτεύτοις αἰών, μηδὲ παρεμπέσῃ χρόνος τοῖς ὑπὲρ χρόνον καὶ φύσιν, μηδὲ συναριθμηθῇ τοῖς κτίσμασιν, ὧν ἐκεῖνα δημιουργά·* 30 *ἀλλ' οὐδ', ὃ χεῖρον εἰπεῖν, πατὴρ μὲν ἐξ οὐκ ὄντων, υἱὸς δ' ἐκεῖθεν τὴν οὐσίωσιν εἴληφε, μὴ πρότερον ὤν, εἶτα γεγεννημένος, οὗτος δὲ τῷ πνεύματι τὴν γένεσιν δέδωκεν, ἵν' ὁ μὲν πατὴρ ἄκτιστος ᾖ, υἱὸς δὲ καὶ πνεῦμα, ὁ μὲν παρὰ τοῦ πατρός, τὸ δὲ παρὰ τοῦ υἱοῦ κτιζόμενά τε καὶ οὐσιού-* 35 *μενα· οὐ γὰρ ἦν ὅτε υἱοῦ πατὴρ ἐστέρητο ἢ τὸ πνεῦμα ἀμφοῖν ἀπολέλειπτο, ἀλλὰ πρῶτος Ἄρειος, ὁ τῆς μανίας ὄντως ἐπώνυμος, διαιτᾶν τοῖς ἀνεφίκτοις ἐπιβαλών, τὰς τοιαύτας ἐκαινοτόμησεν ἀνισότητας· μεθ' ὃν Μακεδόνιος ἐπὶ τὸ χεῖρον ἐξειληφὼς τὰς ἐκείνου φωνάς, τοῦ θείου* 40 *παντάπασι κατεφρυάξατο πνεύματος, κτίσμα τοῦτο καὶ δοῦλον ποιῶν, ἀλλ' οὐ συναΐδιον πατρὶ καὶ υἱῷ.*

Καὶ αὕτη μὲν σὺν πολλοῖς ἄλλοις ἀποκεκριμένη τῆς ἐκκλησίας μερὶς κατὰ τῆς τριαδικῆς φύσεως ἐλύττησε καὶ

39–42 cf. Psell. vers. de dogm. (PG 122,816 C 5–7)

26 *δὴ* om. cs *ὁ* V om. clns 29 *παρεμπέσῃ* ln *παρεμπέσοι* Vcs *χρ. κ. φύσ.* Vcns *φύσ. κ. χρ.* l 31 *μὲν* om. l 32 *πρότερον* cl *πρότερος* Vns 32–33 *γεγεννημένος* l *γεγενημένος* Vcns 33 *γένεσιν* Vcns *γέννησιν* l 35 *τοῦ*[1] om. cs 36 *υἱοῦ πατὴρ* Vcls *πατὴρ υἱοῦ* n

45 *θεότητος· Νεστόριος δὲ καὶ Εὐτυχὴς κατὰ τῆς οἰκονομίας τὸν ἰὸν τῆς βλασφημίας ἐκχέαντες, ὁ μὲν τοῦ σώματος, ὁ δὲ τοῦ σαρκωθέντος θεοῦ κατεψεύσαντο, κατὰ ταὐτὸν ἀσεβήσαντες καὶ ἐκ διαμέτρου ἀλλήλοις ἀντιδοξάσαντες. ἀλλ' ἡμεῖς ὁμολογῶμεν ὡς ἐπ' ἐσχάτων τῶν αἰώνων κατὰ*
50 *τὴν τοῦ ἀποστόλου φωνὴν ὁ κύριος καὶ θεὸς διὰ τῆς ἁγνῆς παρθένου καὶ θεομήτορος τὴν ἡμετέραν φύσιν ἀνειληφώς, τέλειος ὤν, τελείαν καὶ ἀσύγχυτον τὴν ἕνωσιν ἀπειργάσατο, οὔτε τῆς αὐτοῦ θεότητος εἰς σάρκα μεταπεσούσης, οὔτε τῆς τοῦ σώματος φύσεως εἰς τὴν κρείττονα*
55 *φύσιν ἀναλυθείσης, ἀλλὰ μεινάντων ἑκάστου τῶν συνεληλυθότων καθ' ἑαυτὸ μετὰ τὴν ἄρρητον ἐκείνην σύνοδον· καὶ γέγονεν ἀμφοῖν ἡ μὲν κρᾶσις ἔχουσά τι καὶ μίξεως, ἡ δὲ μῖξις οὐ πάντῃ παραιτησαμένη τὴν κρᾶσιν· δι' ὅλου γὰρ συναφθέντα τὰ μέρη, ἀσύγχυτα τὴν φύσιν διαμε-*
60 *μένηκεν.*

Οὐκ ἐφάντασεν οὖν τὴν οἰκονομίαν ὁ κύριος, οὔτε τὸ σῶμα κατὰ τὸν λῆρον ὑποκρινάμενος Εὐτυχῆ, οὔτε μὴν εἴδωλον τῆς ἑαυτοῦ ὑποστάσεως, τὴν λεγομένην παρ' ἐκείνου διάθεσιν, τῷ σώματι παρασχόμενος· εἰ μὲν γὰρ οὗτοι
65 *βούλοιντο ἰδίαν οἰκονομίαν ἀναπλάττειν τοῦ λόγου, τετάχθωσαν τοῖς τῶν Ἑλλήνων σοφοῖς καὶ ἀναπλαττέτωσαν ὁπόσα καὶ βούλοιντο, καὶ μηδὲν αὐτοῖς ἔστω πρὸς τὴν ἐκκλησίαν κοινόν· εἰ δὲ τὰς τοῦ εὐαγγελίου μὴ ἀθετοῦσι*

49–52 cf. I Petr. 1,20 et Gal. 4,4

49 *ὁμολογῶμεν* Vcls *ὁμολογοῦμεν* n **50** *καὶ* post *θεὸς* add. V **52** *καὶ* om. Vn **54** *τὴν* clns *τὸν* V **55–56** *ἑκάστου τῶν συνεληλυθότων* ln *τῶν συν. ἑκ.* Vcs **62** *ὑποκρινάμενος* Vcns *ὑποκρινόμενος* l **65** *ἰδίαν* om. ln **67** *καὶ*[1] om. ln **67–68** *πρὸς – κοινόν* Vcns *κοινὸν πρ. τ. ἐκ.* l **68** *μὴ* om. l

φωνάς, τί τὸ καθαρὸν τῆς πίστεως καπηλεύουσι δόγμα καὶ κήρυγμα, παραμιγνύντες τῷ ποτίμῳ λόγῳ τὸ ἁλμυρὸν 70 *ῥεῦμα καὶ ἄποτον;*

Ἀλλ' ἡμεῖς, ὦ παῖδες ἐμοὶ γεννηθέντες διὰ τῆς πίστεως, μὴ ταῖς αὔραις τούτων παραφερώμεθα, ἀλλὰ τῆς πέτρας ἐχώμεθα, ἥτις ἐστὶν ὁ Χριστός, καὶ τῷ ποιμένι ἑπώμεθα καὶ ὑπὸ τῇ ποιμαντικῇ τούτου ἀναπαυώμεθα σύριγγι· 75 *φύγωμεν τὴν νοσερὰν πόαν, δρεψώμεθα τοὺς τῆς εὐσεβείας καρπούς· ἔπειτα καὶ τὰ ἤθη ῥυθμίσωμεν καὶ μέτρα ταῖς ἐπιθυμίαις ὁρίσωμεν καὶ τὴν σώφρονα ἑλώμεθα ζωήν, μὴ πάντα τῇ σαρκὶ νέμοντες, ἀλλὰ καὶ τῆς ψυχῆς ἐν μέρει ἐπιμελόμενοι· μᾶλλον δέ, ταύτην μὲν ὡς δεσπότιν προϊ-* 80 *στάντες, ἐκεῖνο δὲ δουλαγωγοῦντες αὐτῇ, οὕτω γὰρ ἂν δόξαιμεν δικαίως δικάζειν τῷ κράματι. ἂν οὕτως ἔχωμεν καὶ οὕτως ἀγώμεθα, ἐλεύσεται ἐφ' ἡμᾶς ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος καὶ τὰ τῆς καρδίας ἡμῶν κατευθυνεῖ διαβήματα.*

Ἃ μὲν οὖν ὁ πατὴρ τοῖς συνειλεγμένοις ὑπετίθει ταῦτά 85 *τε καὶ τὰ τούτοις ὅμοια, ὡς ἐν τύπῳ εἰπεῖν· ἃ δὲ αὐτὸς παρὰ τῶν δαιμόνων ὑφίστατο, τίς ἂν διηγήσαιτο λόγος, ἢ*

69–71 cf. II Cor. 2,17 **70–71** cf. CPG II 267,14 = Plat. Phdr. 243 d 4–5 et Psell. ep. ad Xiphil. (Sathas V 444,26–445,3); theol. I 3,23–4 (Gautier); phil. min. I 42,140; 46,12; 47,10–12 (Duffy) **72** cf. I Cor. 4,15 **73** cf. Eph. 4,14 **73–74** cf. I Cor. 10,4 **83–84** cf. Tit. 2,11 **84** cf. II Thess. 3,5 et Ps. 36,23

69 *δόγμα καὶ* om. cs **72** *ἡμεῖς* n *ὑμεῖς* Vcls **73** *παραφερώμεθα* Vcln *παραφερόμεθα* s **75** *ἀναπαυώμεθα* Vc ln *ἀναπαυόμεθα* s **80** *μὲν* om. ln **82–83** *ἔχωμεν … ἀγώμεθα* n *ἔχοιμεν … ἀγοίμεθα* Vcls **83–84** *ἡμᾶς … ἡμῶν* Vcn *ὑμᾶς … ὑμῶν* ls **85** *ἃ* Vcns *ὁ* l *οὖν* om. n *ὁ* om. l **86** *ἐν τύπῳ* om. n **86–87** *αὐτὸς – δαιμόνων* Vc ls *παρ. τ. δαι. αὐτὸς* n

πόσαι γλῶσσαι τοῖς παρ' ἐκείνων γενομένοις ἀρκέσαιεν; ὡς
γὰρ πρὸς ἀνταγωνιστὴν ἰσχυρότατον οὐ καθ' ἕνα πολλάκις,
90 ἀλλὰ κατὰ πλείονας εἰσέρρεον τούτῳ καὶ συναντέπιπτον ἐν
διαφόροις ἰδέαις καὶ σχήμασιν· ὁ μὲν γάρ τις αὐτῶν
πρηστῆρι ἀπείκαστο καὶ καταφλέγειν ἐῴκει, ὁ δὲ ποταμὸς
ἦν ἄρτι τῆς γῆς ἀναδύς, καὶ ἄλλος θάλασσα λαίλαπι ἐλαυ-
νομένη καὶ καταιγίδι, ὁ δὲ ὡς ὄρος ἀνίστατο καὶ δένδροις
95 ἐκόμα, καὶ ἄλλος κατὰ λέοντας ἐβρυχᾶτο, εἶτ' αὖθις ἐσύ-
ριττε κατὰ δράκοντας· καὶ ὁ μέν τις τούτων ἐτόξευεν, ὁ
δὲ πελέκει διέκοπτεν, ὁ δὲ διῄρει πρίονι, καὶ ἄλλος διεπε-
ρόνα, καὶ αὖθις ἕτερος διέσπα κρεουργηδόν, καὶ ἄλλος
ἄλλο τι τῶν δεινῶν ὑπεκρίνετό τε καὶ ἔπραττε.
100 Τῷ δὲ ἀκλόνητος ἦν ἡ ψυχή, ἅπαξ ἐπερεισθεῖσα θεῷ,
καὶ πρὸς οὐδὲν τῶν λεγομένων ἢ πραττομένων ὑπεκλίνετό
τε καὶ ὑπεστρέφετο· διὰ ταῦτα χιλιάδες ἐξ εὐωνύμων καὶ
μυριάδες ἐκ δεξιῶν ἔπιπτον καὶ τοῖς ὀφθαλμοῖς αὐτοῦ κα-
τενόει τὴν τῶν συρραγέντων ἧτταν καὶ τὴν παρὰ τοῦ θεοῦ
105 κατ' αὐτῶν ἀνταπόδοσιν. οἷα δὲ ἐν τοῖς τοιούτοις πολέμοις
ἐξεταζόμενος, τῆς μὲν τοῦ σώματος θεραπείας ἐπελανθά-
νετο, τροφῶν τε ἠμέλει καὶ πρὸς ὕπνον ἦν ἀκλινής· διὰ
ταῦτα συντακὴς παντάπασι γεγονώς, ἐδόκει τοῖς πολλοῖς
ὡς ἄρα νοσοίη, κἀκεῖθεν αὐτῷ προσεγεγόνει ἡ σύντηξις· ὁ
110 δέ, ψεύδεσθαι μὴ εἰδώς, τὴν ἀληθῆ τούτοις αἰτίαν

93 cf. Athanas. vita s. Antonii 22 (PG 26,876 A 3–10) **95–96** cf. Athanas. vita s. Antonii 9 et 28 (PG 26,857 A 5–13 et 884 A 2–7) **98** cf. Hdt. 3,13,2 **102–105** cf. Ps. 90,7–8

90 *συν-* om. l **91** *τις* om. l **92** *πρηστῆρι* Vcls *πρηστήριος* n **93** *ἀναδύς* Vcns *ἀναδύων* l *θάλασσα* cs *θαλάσσῃ* Vln **95–96** *ἐσύριττε* Vcns *ἐσύρετο* l **100** *τῷ* pro *θεῷ* add. s **101–102** *ὑπεκλίνετό ... ὑπεστρέφετο* ln *ἐπεκλίνετο ... ἐπεστρέφετο* Vcs **104** *τὴν*[2] om. ln *τὴν* post *θεοῦ* add. l **105** *τοῖς* om. cls **107** *ἦν ἀκλινής* Vln *ἀκλινὴς ἦν* cs

ἀπήγγειλε καὶ τὴν πρὸς τοὺς δαίμονας αὐτοῦ διεσάφει ἀντίστασιν.

Ὁ δὲ μικροῦ με διέλαθεν – ἀλλ' ὄλοιτό σοι, ἀρχέκακε δαῖμον, τὰ πονηρὰ σκέμματα καὶ βουλεύματα· τί γάρ σοὶ καὶ τῷ φωτί, ζόφῳ γενομένῳ διὰ τὴν ἐκ τοῦ τῆς δικαιο- 115 *σύνης ἡλίου ἀπόστασιν; ἀλλ' ὅμως σκότος ὤν, ἅπαξ ποτὲ ὡς φωτὸς ἄγγελος ὤφθη τῷ μάκαρι καὶ φανεὶς τοῦτον κατήστραψεν· ἀλλ' ἀπαραλόγιστον εἶχε τῆς ψυχῆς τὸ κριτήριον ὁ ἀσκητικὸς οὗτος δικαστής, ἐθορυβεῖτο γὰρ καὶ μᾶλλον τῇ αἴγλῃ καταλαμπόμενος. κρίνουσι δὲ ἀλήθειαν* 120 *καὶ ὑπόκρισιν οἱ τὰς διατάξεις τῆς ἀσκητικῆς ἀναγνόντες διαγωγῆς τῇ καταστάσει τῆς ἑαυτῶν ψυχῆς, καὶ δυοῖν φανέντων αὐτοῖς παρὰ μέρος ἀγγέλων φωτός, παρ' ᾧ μὲν ἂν θορυβηθείη τὰ τῆς ψυχῆς αὐτῶν αἰσθητήρια, τοῦτον ὑποκριτήν τε τοῦ φαινομένου φασὶ καὶ τὸν νοῦν οὐκέτι προ-* 125 *σέχουσιν, εἰ δὲ γαλήνη τις αὐτοῖς διαχυθείη καὶ ἠρεμαία κατάστασις, ἀληθείας τε αὐτὸν ἄγγελον οἴονται καὶ φῶς ἀνυπόκριτον. τούτῳ τοίνυν βασανιστηρίῳ τῶν φαντασθ-*

113–118 cf. Psell. or. contra Cerular. (Kurtz/Drexl I 260,5–8) **114–116** cf. Malach. 3,20 et Apolytikon ad 25 Dec. in Menaea ed. Rom., 1888, II 660 = apolytikon in Horologion, Athen., 1977, 312 **116–118** cf. II Cor. 11,14 **120–128** cf. Athanas. vita s. Antonii 35 (PG 26,894 C 4–896 A 6) et Psell. or. contra Cerular. (Kurtz/Drexl I 260,20–29)

111 *τοὺς* om. l **113** *μικροῦ με* Vl *με μικροῦ* cs *με* om. n *ὄλοιτο* Vcn *ὀλόλοιτο* s *ὄλλοιντο* l **115–116** *διὰ – ἡλίου* Vl *διὰ τὴν ἐκ. τ. δικ. τοῦ ἡλ.* n *διὰ τοῦ τὴν ἐκ. τ. δικ. ἡλ.* cs **120** *τοῦτον* post *αἴγλῃ* add. l **122** *δυοῖν* Vcns *δυεῖν* l **128–129** *φαντασθέντων* Vln *φανθέντων* cs

έντων χρώμενος ὁ μακάριος, τὴν ἀπάτην τοῦ δαίμονος
130 *ἤλεγχε καὶ σκότος βαθύτατον τὸ φαινόμενον αὐτῷ φῶς*
κατωνόμαζεν.

Ἐπήνθουν τῷ μακαρίῳ καὶ φυσικαί τινες χάριτες, οἷον
ῥώμη σώματος, μέγεθος ἡλικίας, κάλλος μορφῆς, φωνῆς
τόνος, ἐμμελὴς ἦχος πρὸς πᾶσαν ψαλμῳδίαν θεόπνευστον
135 *ἀκριβῶς μουσουργούμενος. καὶ ἦν ἀτεχνῶς Δαυὶδ ἄλλος τῷ*
καθ' ἑαυτὸν βίῳ, πλὴν ὅσον οὐκ αἰσθητὸν μεταχειριζόμε-
νος τύμπανον, οὐδὲ τὰς ἐν τῷ ψαλτηρίῳ πλήττων χορδάς,
ἀλλ' ἑαυτῷ ὀργάνῳ πρὸς εὐφωνίαν χρώμενος· ἵνα γὰρ μὴ
δυσχεραίνῃ τὸ πλῆθος τῆς ψαλμῳδίας τὸ σύντονον,
140 *στιχήρη οἷον ποιούμενος ᾄσματα καὶ μέλεσι ταῦτα ῥυθμί-*
σας τερπνοῖς, ἐκ διαδοχῆς ἐδίδου τοῖς συνειλεγμένοις ἀν-
τᾴδειν.

Οὐδὲν δὲ οἷον καὶ αὐτὰς παραθεῖναι ψιλὰς τὰς ᾠδάς,
'Πτωχὸς καὶ πένης ὑμνοῦμέν σε, κύριε·' εἶτα δὴ ὁ κοινὸς
145 *ἐπῳδός, 'Δόξα τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύ-*
ματι·' τούτῳ ἔτι κινουμένῳ τῷ μέλει ὁ ἕτερος ἀντῇδε χο-
ρός, 'Στρατιαὶ ἐν οὐρανοῖς ὕμνον σοι ἀναπέμπουσι, καὶ
ἡμεῖς οἱ ἐπὶ γῆς τὴν δοξολογίαν·' εἶτα τὸ ἐπὶ πᾶσιν,

132–232 cf. Aux.[1] 1416 A 10–1420 D 10; Aux.[2] 283 (235 *β* 2); Aux.[3] 10,28–11,4; Aux.[4] 248,15–29 **135–138** cf. Ps. 150,3–4 **144–152** haec carmina proferuntur in J. B. Pitra, Analecta sacra spicilegio solesmensi parata (Paris 1876) I p. XXIII **145** Liturg. Chrysost. (PG 63,906 B 28; 908 B 66 etc.)

129 *χρώμενος* Vln *χράμενος* cs *τοῦ δαίμονος* Vcls *τῶν δαιμόνων* n **130** *αὐτῷ* Vcls *αὐτὸ* n **132** *χάριτες* Vc ln *χάριταις* s **140** *ποιούμενος* Vln *ποιησάμενος* cs **146** *ἔτι κιν-* cs *ἐπικιν-* Vln **147** *σοι* l om. Vcns **148** *οἱ ἐπὶ γῆς* om. n

'Ἅγιος, ἅγιος, ἅγιος, κύριος σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου·' καὶ αὖθις ἐκ διαδοχῆς ὁ κατάρ- 150
ξας χορός, 'Δημιουργὲ πάντων, εἶπας καὶ ἐγενήθημεν, ἐνετείλω καὶ ἐκτίσθημεν. σῶτερ, εὐχαριστοῦμεν σοι.'

Οὕτω τοιγαροῦν ἀντᾴδοντες πρὸς ἀλλήλους ἐκ διαστήματος οἱ χοροὶ καὶ μέλεσί τισι καταποικίλλοντες τὰ ᾀδόμενα, ἀκμῆτες ἦσαν καὶ νεαροί, πρὸς τὴν ἠχὼ τοῦ μέλους 155
ἀντεγειρόμενοι καὶ τῷ διαφόρῳ τῆς μουσουργίας συντονώτατα διανιστάμενοι πρὸς τὴν ἀντήχησιν τῶν μελῶν. συνήχει δὲ τούτοις καὶ ὁ μακάριος, ἐμμελέστατα τὴν φωνὴν κάμπτων καὶ πρὸς τὸ μέλος ἐπιτείνων ἢ ἀνιείς, καὶ τὴν ἁρμονίαν συντιθεὶς εὐφωνότατα. ἀναβαλλομένοις δὲ 160
τοῖς ψάλλουσι τὴν τῶν τριῶν παίδων ᾠδὴν τηνικαῦτα κορυφαῖος αὐτοῖς ἐγίνετο τοῦ χοροῦ, καὶ ὕψοῦ τὴν φωνὴν αἴρων, εὔηχόν τι ἐφθέγγετο καὶ τορόν, εὐμελῶς ῥυθμίζων τὸ 'Εὐλογεῖτε τὰ ἔργα κυρίου τὸν κύριον·' πρὸς ὃ δὴ μέλος ἀντεπεφθέγγετο ὁ χορός, 'Ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐ- 165
τὸν εἰς τοὺς αἰῶνας.'

Τούτοις δὴ τοῖς μέλεσιν ἡδέως καὶ αὐτὸς ἐντυγχάνω· εἰμὶ μὲν γὰρ φιλομουσότατος, αἱρεῖ δέ με οὐ συνθήκη τοσοῦτον τῶν ᾀδομένων φωνῶν, ὅσον ἐπιτερπῶς τὸ μέλος

149–150 Liturg. Chrysost. (PG 63,915 A 45–46) **160–161** cf. Dan. 3,51–91 **163–166** Dan. 3,57 ff.

149 *σαβαώθ* ln om. Vcs **151** *εἶπας* l *εἶπες* Vcns **152** *σῶτερ* Vln *πάτερ* cs **154** *τισι* om. l **158** *συνήχει* Vcls corr. n *συνεῖχε* n *ἐμμελέστατα* om. n **159** *τὴν φωνὴν* post *ἀνιεὶς* add. l **160** *εὐφωνίαν τε καὶ* post *τὴν* add. s **163–165** *εὐμελῶς – χορός* om. l **163** *εὐμελῶς* cs *ἐμμελῶς* Vn **165** *ἀντεπεφθέγγετο* Vcs *ἀντεφθέγγετο* n **168** *γὰρ* om. l *με* post *αἱρεῖ* add. n **168–169** *συνθήκη τοσοῦτον* Vcs *τοσ. συνθ.* ln

170 *τοῖς ᾄσμασιν ἁρμοζόμενον καὶ εὔηχον ποιούμενον τὴν ᾠδήν. εἰ μὲν οὖν καὶ τὰ κατὰ τὸν οὐρανὸν κινούμενα καὶ ἀντικινούμενα μέλους τινὸς εἶεν ἐργαστικά, ἄλλοι λεγέτωσαν· ἐγὼ δὲ παρὰ τῆς γραφῆς οἶδα καὶ τὰ πρῶτα περὶ θεὸν τάγματα ἁρμονιωτάτην τῷ δημιουργῷ φωνὴν*
175 *ἀναπέμποντα· καὶ ἡμῖν δὲ ὅσα τῶν ᾀδομένων ἐν ἐκκλησίαις μετὰ χάριτος εὐμελοῦς σύγκειται, ἐνδύεται μάλιστα τῇ ψυχῇ· καὶ κἂν ἐμοῦ ἕνεκα μηδὲν εἴη ψιλὸν λεγόμενον τῷ θεῷ, ἀλλὰ μετὰ ῥυθμοῦ τε καὶ τέρψεως.*

Ἀλλὰ ταῦτα μὲν ἐς τοσοῦτον παρατεθεωρήσθω ἡμῖν· ὁ
180 *δέ γε μακάριος μετὰ τὰς χάριτας ταύτας ἐμβριθεστέρας αὐτοῖς φιλοσοφίας κατήρχετο, τοιαῦτα τοῖς συνειλεγμένοις ὑποτιθέμενος, ὅτι μήτε σῶμα μόνον εἶεν ἀλόγοις δυνάμεσι διοικούμενον, ἵνα τὰς σωματικὰς ἥδοιντο ἡδονάς, μήτε ψυχὴ ἀσώματος καὶ ἀκήρατος, ἵνα συνεχῶς καὶ ἀδιακόπως*
185 *τὰς διδομένας ἐργάζοιντο ἐντολάς· ἐξ ἀμφοτέρων δὲ συντεθειμένοι τῶν φύσεων, ὀφείλουσι τὸ μέν τι ταῖς σωματικαῖς χρείαις διδόναι, τὸ δὲ πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν μεταστρέφεσθαι, καὶ τεταγμένας ἔχειν πρὸς τὸ θεῖον προόδους καὶ μηδεμίαν ἀπολιμπάνειν, εἰ μή τι ἢ νόσος ἢ ἄλλη*
190 *τις βιωτικὴ περιπέτεια ἀποστρόφους αὐτοὺς τῶν συγκειμένων ἐργάζοιτο. ἢ τίς ἂν ἀπολογία αὐτοῖς ἔσται, τέχνας*

171–173 e.g. Theon Smyrnaeus scripsit de sphaerarum caelestium concentu (p. 139,11–142,6 ed. Hiller) **173–175** cf. Apoc. 14,3

171 *καὶ* Vcns *ἢ* l **172** *τινὸς* om. Vln **174** *ἁρμονιωτάτην* Vcs *ἁρμοδιωτάτην* ln **175** *ὅσα* Vcln *ὅσαι* s **176** *εὐμελοῦς* cs *ἐμμελοῦς* Vln **182** *εἶεν* Vcs *οἷον* ln **186** *τι* Vcns *τοι* l **188** *μεταστρέφεσθαι* cs *ἐπι-* Vln **189** *ἀπολιμπάνειν* Vcns *ὑπο-* l *τι* Vcs *τει* n *τοι* l **191** *τέχνας* Vcls *τέχναις* n

μὲν εὑρηκόσιν ἐπὶ τὸ σῶμα καὶ μεθόδους τινὰς δι' ὧν ἂν σῴζοιντο, μηδὲν δὲ τῆς ψυχῆς ἐπιτεχνωμένοις ἕνεκα, ὅπως ἂν τῶν παθῶν ἀπαλλαγεῖσα, καὶ τοῦ συμφυοῦς βάρους μετέωρος γένοιτο καὶ πρὸς θεὸν ἐπανάγοιτο; ἐφ' ᾧ δὲ καὶ 195
τὰ θεῖα τεμένη ἐπῳκοδόμηται, τελεταὶ δὲ καὶ θυσίαι παρὰ τῶν πατέρων τοῖς ἀνθρώποις νενομοθέτηνται, εἰ μὴ πρὸς αὐτὰ συλλεγόμενοι ὕμνους ἀναφέρομεν τῷ θεῷ;

Ἢ οὐκ ἴστε, ὡς τοῦτο ἀρχὴ γέγονε τῷ κακῷ, τὸ ἀποστῆναι τοῦ ἀγαθοῦ, τὸ δὲ πόρρω θεοῦ γίνεσθαι τί ἂν 200
ἕτερον ἢ τοῦτο εἴη; μακρὰν δὲ χρηματίζει θεοῦ ὁ μὴ διὰ τῶν εὐχῶν αὐτῷ προσκολλώμενος, ἔστι γὰρ ἡ εὐχὴ οἷόν τις σύνδεσμος θεοῦ καὶ ἀνθρώπων· καὶ τἄλλα μὲν γὰρ ὁπόσα διὰ τὸν θεὸν πράττεται πρὸς ἐκεῖνον ἡμᾶς ἐπανάγει, ἡ δὲ εὐχὴ τῶν ἄλλων ἐστὶ τὸ συνεκτικώτατον καὶ συν- 205
δετικώτατον, δι' αὐτῆς γὰρ μόνης ὁμιλοῦμεν θεῷ, καὶ τὸ ἱλαρὸν δὲ φῶς οὐκ ἄλλοτέ ποτε ἢ εὐχομένοις ἡμῖν παραγίνεσθαι εἴωθε. τίς δὲ οὐκ ἂν ἕλοιτο τὴν κρείττονα ταύτην συνουσίαν, δι' ἧς ἄνθρωποι ὄντες καὶ ἐπὶ τῆς γῆς φερόμενοι, ὑπὲρ τὸν οὐρανὸν αἰρόμεθα καὶ ἀφαντάστως θεῷ συγ- 210
γινόμεθα; οὐκ ἴστε ὅτι οὐδὲν κακὸν ἐποίησεν ὁ θεός, παρὰ δὲ τὴν ἡμετέραν ῥοπὴν τοῖς κτίσμασι παρεσκίασται καὶ τῷ βίῳ κεκαινοτόμηται; μία γὰρ ἡ κατὰ πάντων ἀρχή, καὶ αὕτη τὸ πρῶτον καὶ ἀληθῶς ἀγαθόν. τὸ τοίνυν κακὸν

192 *καὶ* om. ln **193** *σῴζοιντο* Vln *σῴζοιτο* cs **196–197** *τελεταὶ – νενομοθέτηνται* om. ln **198** *αὐτὰ* Vln *αὐτὰς* cs *ἀναφέρομεν* codd. *ἀναφέρωμεν* ci. Io. **199** *γέγονε τ. κακ.* ln *τ. κακ. γέγονε* Vcs *τῷ κακῷ* Vcls *τὸ κακὸν* n *τὸ* Vcs corr. l *τοῦ* n in ras. l **203** *τις* Vcls *τι* n *γὰρ* om. s **204** *ὅποσα* ln *ὅσα* Vcs *τὸν* om. Vcs **207–208** *παραγίνεσθαι* Vcs *περι-* ln **209** *ἧς* ln *ἣν* Vcs *τῆς* om. s **209–210** *φερόμενοι* Vln *φαινόμενοι* cs **211** *οὐδὲν κακὸν* ln *κακὸν οὐκ* Vcs **214** *τὸ*[1] om. ln

215 *πόθεν; εἰ γὰρ παρὰ τοῦ θεοῦ τις εἴποι, φεῦ τῆς ἀτοπίας τῶν λογισμῶν, εἰ ὁ μὲν φαινόμενος ἥλιος φωτός ἐστι μόνου παρεκτικός, ὁ δέ γε νοούμενος, ἡ αὐτοσοφία, ἡ αὐτοαγαθότης, ἀρετῆς καὶ κακίας τυγχάνει δημιουργός. ἐκ τῆς ἡμετέρας τοίνυν προαιρέσεως τὰ κακὰ τὴν πάροδον*
220 *ἔσχηκεν· ἐλευθέρους γὰρ ἡμᾶς καὶ αὐτοκινήτους πεποίηκεν ὁ θεός, ἀλλ' ὅσοι μὲν ἐνεργοῦσι τὸ ἀγαθόν, τὴν ὅθεν παρήχθησαν ἀρχὴν παρεμφαίνουσιν, εἰ δέ τις ἐργάτης τῆς κακίας ἐστί, δείκνυσιν ὅτι πρὸς ἑτέραν μορφὴν ἑαυτὸν ἀφωμοίωσεν, ἐκ τῆς κατὰ φύσιν κινήσεως τοῦ ἀγαθοῦ μὲν*
225 *παρατραπείς, τῷ πονηρῷ δὲ ἀφομοιωθείς, πρὸς ὃν δεῖ ἀεὶ καὶ ἐναντιοῦσθαι καὶ μάχεσθαι, ὅτι πρῶτος ἡμᾶς οὗτος τῆς ἀρχαίας ἔξωσε μακαριότητος καὶ πρὸς τὸν πολυπαθῆ τοῦτον βίον κατήνεγκεν.*

Ἀλλ' ἡμεῖς πρὸς τὴν πρώτην ἀφορῶμεν πατρίδα καὶ
230 *πρὸς ἐκείνην τὴν ζωὴν ἐπειγώμεθα, δι' ἣν τὸν ὑπὲρ ἡμῶν θάνατον ὁ κύριος εἵλετο καὶ τὴν πρὸς ἐκείνην φέρουσαν εὐχερῆ καὶ λείαν εἰργάσατο.*

Ταῦτα ὁ μὲν ἔλεγεν, ἐνίοις δὲ τῶν ἀκροωμένων ἔργα τὰ λεγόμενα ἦν· αὐτίκα γὰρ τὴν κοσμικὴν ἐσθῆτα περιδυσά-
235 *μενοι καὶ διὰ τῆς τῶν τριχῶν τομῆς συμβολικῶς τὴν τῶν περιττῶν ἀποβολὴν ἀνομολογήσαντες, τοῖς ἀσκοῦσι κατέ-*

233–374 cf. Aux.[1] 1421 A 1–1425 D 7; Aux.[2] 283 col. 1; Aux.[3] 11,5–12,15; Aux.[4] 248,30–249,26

215 *τις εἴπ.* Vcln *εἴπ. τις* s *εἴποι* cns *εἴπῃ* Vl **217–218** *αὐτοσοφία ἡ αὐτοαγαθότης* Vcs *αὐταγαθότης ἡ αὐτοσοφία* ln **224** *κινήσεως* clns *κινήσως* V **225** *δεῖ ἀεὶ* Vcs *δὴ* (-*εῖ* supra) l *ἀεὶ* om. n **229–230** *καὶ – ἐπειγώμεθα* om. cs **231** *ἐκείνην* Vcns *ἐκεῖνον* l **236–237** *κατέταξαν* Vcls *κατέμιξαν* n

ταξαν ἑαυτούς, αὐτόθι τὴν ἐργασίαν πεποιημένοι τῆς ἀρετῆς, ἔνθα δὴ καὶ παρὰ τοῦ μάκαρος πρὸς τὸν δρόμον αὐτῆς ἐπαιδοτριβήθησαν. ἀλλ' ὅ γε μακάριος τῶν πολλῶν βασανίζων τὰς γνώμας, οὐκ εὐθὺς ἀποτασσομένους προ- 240 *σίετο, ἀλλ' οἷόν τι προγυμνάσιον ἑαυτῷ ἐποιεῖτο τῆς τελειοτάτης ἀσκήσεως· καὶ εἰ μὲν γὰρ ἐγκαρτεροῦντας τοῖς προτεθεῖσιν εὕρισκεν, ἐντός τε ἀδύτων ἐποίει καὶ τὰ τελεώτερα τοῦ ἀσκητικοῦ βίου παρεδίδου μυστήρια· οἷς δὲ τὸ θερμὸν ὀλίγωρον κατεμάνθανε, τούτους ἐκτὸς ποιῶν* 245 *τοῦ καταπετάσματος, πρὸς ἑτέραν ἡνίαν ἐρρύθμιζε, τὸν δεύτερον αὐτοῖς βίον ἐγκαθιστὰς καὶ τὴν μέσην τρίβον τῆς σωφροσύνης παραδεικνύς.*

Ἐπεὶ δὲ ἐξ ἀναγκαίου ἦν τοῖς ἐγκαρτεροῦσι τὰς ἀναγκαίας τοῦ σώματος χρείας παρέχεσθαι, τῷ δὲ οὐδὲν ἕτερον 250 *ἦν, εἰ μὴ τὸ σωμάτιον, τὸ φυσικὸν περίβλημα τῆς ψυχῆς, καὶ βραχύ τι ῥάκος, προκάλυμμα τῶν ἀναγκαίων μερῶν τοῦ σώματος, διηπόρει μὲν ὅτι καὶ δράσειεν, ἵν' ἅμα ἐκείνοις τε τὸ χρειῶδες εὕρῃ καὶ ἑαυτῷ τὸ ἀπρόσκοπον· οὐδὲ γὰρ ἦν τί ποτε παρά του λαμβάνων, πολλῶν καὶ ταῦτα φι-* 255 *λοτιμουμένων, εἰ μὴ ὅσον ἀδιάλυτον αὐτῷ τὴν φύσιν ἐτήρει. μέσην οὖν ὁδὸν ἑλόμενος, τὸν μέν τινα τῶν συνασκούντων αὐτῷ μοναχῶν σιταγωγόν, τὸν δέ τινα ἀρτοποιὸν διετάξατο, καὶ τούτοις δίδοσθαι τὰ προσαγόμενα διωρίσατο· καὶ ἦν αὐτῷ τοῦτο οἷά τι πρυτανεῖον τὴν σίτησιν* 260 *χορηγοῦν.*

239 *αὐτῆς* cs *τῆς ἀρετῆς* Vln **241** *ἑαυτῷ* l *ἑαυτῶν* n *ἑαυτοῦ* V *αὐτοῖς* cs **241–242** *τελειοτάτης* Vln *τελεωτέρας* cs **242** *καὶ εἰ* n *κἂν* Vcls *γὰρ* om. n **252** *ῥάκος* Vcls *μέρος* n *ἀναγκαίων* l *ἐνίων* Vcns **254** *εὕρῃ* n *εὕροι* Vcls **255** *καὶ ταῦτα* om. l

Περὶ δὲ τῆς τοῦ πατρὸς ἀφιλοχρηματίας αἰσχυνοίμην κἂν πρὸς τοὺς ἀμφισβητοῦντας ἀπολογεῖσθαι· ὁ γὰρ τῆς τῶν ὄντων φύσεως ἀφελὼν ἑαυτὸν καὶ τοσοῦτον ὑπεράρας 265 *τῆς πρὸς τὰ αἰσθητὰ σχέσεως, καὶ τῆς γῆς ἐπέκεινα καὶ τῇ γνώμῃ γεγονὼς καὶ τῷ σώματι, καὶ οἷον ἐξ οὐρανοῦ τῆς ἀσκητικῆς προκύπτων περιωπῆς καὶ τὰ τῇδε διαγελῶν πράγματα, πῶς ἂν ἔτι ἁλίσκοιτο χρήμασιν ἢ ἄλλῳ τῳ τῶν ὅσα ῥευστὴν τὴν ὑπόστασιν εἴληφεν; οἱ γοῦν μαρτύριόν τι* 270 *τῆς ἀφιλοχρηματίας ἐκείνου ποιούμενοι, τὸ μεταλλάξαντος τὴν ζωὴν τὸ σῶμα μόνον εὑρεθῆναι γυμνόν, καὶ μηδὲ τοῦτο καθαρῶς, ἀλλ' ἐπ' ὀφλήμασί τισι μεσεγγυηθέν, λέγουσι μέν τι, οὐ μὴν ὅσον ἄξιον, κρείττων γὰρ ἀντιλογίας καὶ ἀπολογίας ὁ μέγας οὗτος πατήρ· κἂν εἰ καὶ δῶμεν* 275 *πολλῶν ἅπαξ τοῦτόν ποτε εὐπορεῖν, οὐ τοῦ φιλοσόφου αὐτὸν καταβιβάζομεν ἀξιώματος, κἂν μηδὲ τοῦ σώματος εὐπόρως ἔχειν, οὐκ ἐπανάβασιν αὐτῷ μνηστευόμεθα· εἶχε γὰρ πρὸς πάντα τὰ αἰσθητὰ καὶ τὴν αἴσθησιν, ὡς εἰ μηδέποτε ἐγεγόνεισαν, οἰκονομίας δὲ ἕνεκα τὸ μέν τι πολλάκις* 280 *προσίετο, τὸ δὲ ἀπωθεῖτο, ἐπεὶ καὶ ἐπωμίδας καὶ τρίβωνας ἐδίδου πολλάκις πολλοῖς ἐπιβαλλομένοις ἀσκεῖν, ἀλλ' οὐκ ἐκεῖνος ἐχρῆτο τοῖς περιττεύουσιν, ᾧ γε καὶ τὸ σῶμα φορτίον βαρύτατον ἦν.*

Περὶ μὲν οὖν τῶν ἄλλων, ὅσοις καθηγητὴς τῆς 285 *ἀσκήσεως ἐχρημάτισε, τί ἂν καὶ λέγοιμι; ἑνὸς δὲ μόνου*

262 *ἀφιλοχρηματίας* cns *ἀφιλοχρηματ ίας* (spat. 1 vel 2 litt.) l *ἀφιλοχρηματησίας* V **263** *κἂν* Vcns *ἂν* l **270** *ἀφιλοχρηματίας* n *ἀφιλοχρηματ ίας* l *ἀφιλοχρηματησίας* V *ἀχρηματίας* cs **272** *ἐπ' ὀφλήμασί* Vcns *ἐπιβλήμασί* l *μεσεγγυηθέν* Vc *μετ-* lns **273** *κρείττων* Vcls *κρεῖττον* n **275** *πολλῶν* Vcns *πολιτικὸν* l *πολλῷ* Io. *ἅπαξ τοῦτον* Vln transp. cs *εὐπορεῖν* cns *εὑρεῖν* Vl **277** *μνηστευόμεθα* Vln *μνημονευόμεθα* cs

μνημονεύσας ἀνδρός, ἀπὸ μιᾶς ὅ φασι γραμμῆς ἐπιδείξαιμι ὁποῖος περὶ τὴν τῶν ψυχῶν ἐπιμέλειαν ὁ μακάριος ἦν, ὅπως τε τοὺς τῆς ἀσκήσεως κανόνας ἠκρίβωσε καὶ ὅπως ἑτέροις διδάσκαλος τούτων ἐγίνετο.

Τῶν γάρ τις προσκαρτερούντων τῷ μάκαρι καὶ τὴν 290 *γνώμην οἷον ἔνστασιν τηρῆσαι ἀσκητικὴν καρτερικώτατος καὶ τὸ σῶμα ἐρρωμενέστατος, εἵλετο, ἀρκούσας λαβὼν ὑποθήκας τῶν ἀρετῶν, ἐφ' ἑαυτοῦ δραμεῖν τὸ στάδιον τῆς ἐνθέου διαγωγῆς, καὶ μὴ τοῖς τοῦ σώματος ὀφθαλμοῖς, ἀλλὰ τοῖς τῆς καρδίας πρὸς ἐκεῖνον ὁρᾶν ὡς εἰς ἀρχέτυ-* 295 *πον πίνακα. θερμὸς δὲ εἰ καί τις ἄλλος περὶ τὸν θεῖον πεφυκὼς ἔρωτα, οὐχὶ κατὰ πόδας προέβαινεν, ἀλλ' οἷον ἀλλόμενος ἦν, ὡς ἂν ὑφ' ἑνὶ πνεύματι σταδιοδρομήσῃ τὴν ἀρετήν, ὥσπερ οὐδενὸς ἀντιπαλαίοντος τούτῳ πρὸς τὴν ἀγωνίαν ἢ ἐμποδίζοντος.* 300

Ἀλλ' οἵ γε πονηρότατοι δαίμονες ἀντέβησάν τε τούτῳ περὶ τὰ μέσα που τῆς ἀγωνίας καὶ συνδραμόντες ἀνέστειλάν τε τοῦτον τῆς ἐπὶ τὰ πρόσω φορᾶς καὶ πληγαῖς τοσοῦτον ᾐκίσαντο, ὡς μικροῦ δεῖν ἀπορρυῆναι αὐτοῦ τὴν ψυχήν· ἡμιθνὴς οὖν ἐγεγόνει, βραχύ τι παραπνέων καὶ 305 *μηδὲ ὅσον ᾐσθάνετο. ἀλλ' οἵ γε παρατυχόντες ταῖς χερσὶν αὐτὸν ἀνελόμενοι φοράδην τῷ μακαρίῳ προσήγαγον· ὡς δὲ προκύψας τὸν ἀθλητὴν ἐθεάσατο ἀπειρηκότα ἤδη πρὸς τοὺς ἀγῶνας καὶ ἀπαυδήσαντα, 'ἀδελφέ' φησὶ 'Βασίλειε, ἔγειραι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ καὶ μηκέτι δεδιὼς* 310

288 *τε* Vln *δὲ* cs **289** *ἑτέροις* Vlns *ἑτέρας* c **296–297** *πεφυκὼς* clns *πεφυκὸς* V **297** *πόδας* Vln *πόδα* cs **298** *πνεύματι* Vcns *βήματι* l **303** *τοῦτον* om. cs **305** *ἡμιθνὴς* cs *ἡμιθανὴς* Vln **306** *μηδὲ* Vcls *μηδὲν* n **307** *αὐτὸν* Vln *αὐτῶν* cs **308–309** *πρὸς τοὺς ἀγῶνας* om. ln **309** *ἀπαυδήσαντα* Vcls *προσ-* n **310** *Ἰησοῦ* Vc ns *τοῦ* l

ἔσο τὸν πειραστήν· ἥττηται γάρ σου μᾶλλον ἢ νενίκηκεν, οὐκ ἐκλύσας σου τὸν τῆς ψυχῆς τόνον, ἀλλὰ τὸ σῶμα κακώσας, καὶ αὐτὸς ἐπὶ τέλει τῆς ἀγωνίας λαμπρῶς ἐστεφάνωσαι.' καὶ ὃς ἅμα τῷ λόγῳ διαναστάς, ἐρρωμένος τε
315 *ἦν καὶ τῶν πληγῶν οὐκ ἐπιστρεφόμενος, ὁ δὲ πατὴρ καὶ τῶν μυστηρίων αὐτῷ κοινωνήσας, 'ἄπιθι' φησὶ 'τέκνον, οὐδὲν γάρ σοι οὐκέτι προσβαλεῖ τῶν ἀνιασόντων.'*

Καὶ ὁ μὲν ἀπελθὼν καὶ βραχύν τινα χρόνον ἐπιβιούς, πρὸς κύριον ἐξεδήμησε· τοῖς δὲ τότε παρατυχοῦσιν ὁ θεῖος
320 *Αὐξέντιος τὰς θύρας παρανοιγνὺς τῆς ἀσκήσεως, 'οἱ δαίμονες' ἔφησεν 'ὦ τέκνα, βάσκανόν τι χρῆμα τοῖς μοναχοῖς καθεστήκασιν, ἀνιᾶσι γὰρ οὗτοι, ὅθεν ἐκείνοις διὰ τὴν ῥοπὴν τοῦ θελήματος ὁ ὄλισθος γέγονε· διὰ ταῦτα οὐ φέρουσι τὴν τοιαύτην μεταβολήν, ἀλλ' ἐπειδὴ παλινδρομῆσαι*
325 *πρὸς τὴν πρώτην τάξιν οὐ βούλονται, καὶ τοὺς ἐκεῖσε ἀνελθεῖν δυναμένους κωλύουσι. πρὸς ἑκάστην δὲ τῶν ἀρετῶν τὴν ἐκ διαμέτρου ἀνθισταμένην αὐτῇ κακίαν ἡμῖν παρεμφαίνουσιν· ὅθεν, σωφρονεῖν βουλομένοις ἀκολασίας παραδεικνύουσι σχήματα, ὕπαρ τε καὶ νυκτὸς εἴδωλά τινα γυ-*
330 *ναικῶν παριστάνοντες καὶ κόσμους ἐπιθέτους παραδεικνύντες καὶ τἄλλα ἰνδάλλοντες, δι' ὧν ἂν τοῦ κοσμίου τρόπου παρολισθήσαιμεν· ἐγκρατευομένοις δὲ τραπέζας ἱστῶσι καὶ βρώμασί τισι φιλοπόνως πεποιημένοις τὰς ὀρέξεις ἡμῶν ἐκκαλοῦνται, ἑστιάτορές τε τῆς θοίνης προκάθηνται καὶ*
335 *οἷον δαιτυμόσιν ἡμῖν τῶν παρακειμένων ἀπάρχονται, προ-*

335–336 cf. Alexis comicus 291 (T. Kock, Comicorum atticorum fragmenta II 402)

316 *ἄπιθι* Vlns *ἄπηθι* c **316–317** *οὐδὲν – οὐκέτι* Vln *οὐκ. γ. οὐδ. σοι* cs **317** *ἀνιασόντων* Vcln *ἀνισόντων* s **323** *θελήματος* codd. *σφάλματος* ci. Io. **325** *βούλονται* Vcls *βόλονται* n **335** *δαιτυμόσιν* Vcls *δαιτυμόνες* n *ἡμῖν* Vln *ἡμῶν* cs

πίνουσί τε ἡμῖν καὶ κύλικα φιλοτησίαν ὀρέγουσι· ταπεινουμένοις δὲ ἅπερ ἠγωνίσμεθα ἀντιβάλλουσι καὶ ὡς παρὰ τὴν τῶν πολλῶν ζῶμεν ζωήν· θεῷ δὲ διὰ τῶν εὐχῶν ὁμιλοῦσι τὸν νοῦν ὑφαρπάζουσι καὶ πρὸς ἄλλο τι τῶν ἀσπουδάστων μετατιθέασι· καὶ ἁπαξαπλῶς εἰπεῖν, ἑκάστῃ ἀρετῇ ἑκάστην 340 *κακίαν ἀγχιθύρως ἀντιτιθέντες, τῆς μὲν εὐθείας ἡμᾶς μετακλίνουσι, πρὸς ὃ δὲ βούλοιντο μετατρέπουσι.*

Μέγας οὖν ὁ ἀγών, ἀδελφοί, καὶ τὸ τέλος οὐκ εὐχερές· οὐ γὰρ πρὸς ἀνθρώπους μαχόμεθα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, οἷς οὐδὲ τόπος τις τῆς ἀγωνίας ἀφώρι- 345 *σται, ἀλλὰ καὶ δι' ἀέρος τοξεύουσι καὶ δι' αἰθέρος κατακοντίζουσι καὶ λοχῶσιν εἰς γῆν καὶ διὰ πάσης τῆς κτίσεως πολεμοῦσιν ἡμῖν· καὶ τό γε χείριστον, αὐτῷ τῷ σώματι ὁρμητηρίῳ καθ' ἡμῶν κέχρηνται καὶ οἷον ἐξ ἀκροπόλεως τῆς κεφαλῆς διὰ τῶν αἰσθήσεων καταδουλοῦσιν ἡμᾶς.* 350 *ἀλλὰ μὴ δεδίττεσθε τούτων ἀκούοντες· εἰ μὲν γὰρ τῇ οἰκείᾳ φύσει θαρροῦντες τούτοις συνεπλεκόμεθα, οὐκ ἄν τις τὴν πρὸς ἐκείνους ἀγωνίαν ἐθάρσησε· νῦν δὲ μετὰ ἀγγέλων τούτοις πρόσιμεν, μετὰ ἀρχαγγέλων παρατασσόμεθα, μετὰ τῶν δυνάμεων παρεμβάλλομεν, ὑπ' αὐτῷ τῷ* 355 *θεῷ στρατηγούμεθα.*

344–345 cf. Eph. 6,12 **353–355** cf. supra A 694–695

339 *τὸν νοῦν ὑφαρπάζουσι* om. cs **341** *ἀντιτιθέντες* cl ns *μετα-* V **349** *ὁρμητηρίῳ* clns *ὁρμήτρῳ* V **351** *δεδίττεσθε* Vln *δεδίττετε* cs **353** *ἐθάρσησε* cs *ἐθάρρησε* Vln **354** *πρόσιμεν* Io. *προσίεμεν* cls *προσίαμεν* n *πρόσισμεν* V **355** *θείων* post *τῶν* add. l

Ὅθεν ἐν τῷ μέρει φοβοῦντες, τὸ πλεῖστον ἀντιδεδίασι· πολλοῖς γοῦν τῶν ἀσκούντων ὀλολύζοντες ὤφθησαν καὶ τὴν ἑαυτῶν ἀσθένειαν ἀποιμώζοντες· ὑψοῦνται μὲν γὰρ ὡς
360 *ἡ ἐν τῷ Λιβάνῳ κέδρος καὶ μέγα κεκράγασιν ὥσπερ αἱ σάλπιγγες· ἢν δέ τις αὐτοῖς τὸν σταυρὸν σχηματίσῃ, εὐθὺς ἀπολώλασιν· εἰ δέ τινα καὶ τῶν τοῦ Δαυὶδ κατεπᾴσει ψαλμῶν, πρὸς τὴν ἐπῳδὴν ἀπονεκρουμένοις ἐοίκασιν, ὥσπερ τοὺς ὄφεις φασί.'*
365 *Τοιαῦτα μὲν οὖν τοῖς τελειοτέροις ὁ μέγας ἐμυσταγώγει πατήρ· τοῖς δέ γε ἀτελεστέροις μετὰ τὴν ἄλλην παιδαγωγίαν καὶ δύο τῆς ἑβδομάδος ἀφῄρει ἡμέρας, τήν τε κυριακὴν καὶ τὴν λεγομένην παρασκευήν, ὡς ἂν ἐν ταύταις πανημέριοι τῷ θεῷ προσεδρεύοιεν· καὶ τὴν μὲν πα-*
370 *ρασκευὴν αὐτὸ δὴ τοῦτο παρασκευάζοιντο πρὸς τὴν τῶν μυστηρίων μετάληψιν, τὴν δέ γε κυριακήν, μυούμενοι τὰ θειότερα, τῷ θεῷ προσανέχοιεν. οὕτω κατάδηλος πᾶσιν ὁ μακάριος ἦν καὶ πρὸς τὴν ἑκάστου δύναμιν τὸ τοῦ λόγου διένειμε σιτηρέσιον.*
375 *Ἠξίωτο δὲ καὶ θείων ἀποκαλύψεων, οὐχ ὡς ὁ Παῦλος γῆθεν εἰς οὐρανὸν ἐπαιρόμενος, εἶτ' αὖθις ἐν παραδείσῳ μετατιθέμενος καὶ μυούμενος τὰ ἀπόρρητα, ἀλλ' ὡς τῆς*

359–361 cf. Ps. 36,35 et Is. 58,1 **362–364** cf. Psell. ep. ad protonotarios Elias 85–91 (ed. A. Karpozelos, Dodone 9 [1980] 307–310) **375–484** cf. Aux.[1] 1425 D 8–1429 B 5; Aux.[2] 283 n. 1; Aux.[3] 12,16–13,5; Aux.[4] 249,26–40 **375–377** cf. II Cor. 12,2–4

359 *μὲν* om. s **365** *τοιαῦτα* Vln *ταῦτα* cs **366** *γε* om. n **367** *ἑβδομάδος* Vcln *εὐδ-* s *ἀφῄρει ἡμέρας* ln *ἡμέρας ἀφῄρει* Vcs **369** *προσεδρεύοιεν* Vcs *προσεδρεύουσι* l *προσεδρεύοντες* n **370** *θείων* post *τῶν* add. l **371** *γε* om. l

ψυχῆς αὐτῷ ἀπολελυμένης ὥσπερ τυγχανούσης τοῦ σώματος καὶ ἀμέσως τοῖς νοεροῖς ὁμιλούσης ἢ ἀγγέλοις ἢ ταῖς ἀσωμάτοις ψυχαῖς. 380

Καὶ καινὸν οὐδέν· ἂν γὰρ μὴ ἐμβαπτισθείη τῷ σώματι ἡ ψυχὴ διὰ τῆς πρὸς τὰ πάθη ῥοπῆς τε καὶ προσνεύσεως, ἀνενεχθείη δὲ μᾶλλον οἷον ἐκεῖθεν διὰ τῆς πρὸς τὰ κρείττονα ἀνανεύσεως, ἑαυτῆς τε γίνεται καὶ τὸ οἰκεῖον ἐπιγινώσκει ἀξίωμα· στραφεῖσα δὲ πρὸς τὸν νοῦν, οὐκέτι δια- 385 *τειχίσματι διαχρῆται τῷ σώματι, ἀλλὰ τοῦτο μὲν αὐτῇ κάτω κεῖται, ἡ δὲ τὸ σαρκῶδες ὑπερπηδήσασα τοῦτο μεσότοιχον, ἀνεμποδίστως τοῖς θείοις συγγίνεται· πλὴν ὅσον, εἰ μὲν κατὰ τὸν νοῦν ἡ σύναψις γένηται, οὐ συμμαρτυρούσης τῇ συναφῇ τῆς αἰσθήσεως, ἀνείδωλα μένει καὶ* 390 *ἀμεταποίητα τὰ ὁράματα, εἰ δὲ διὰ τῶν ὀμμάτων ἡ θέα συμβαίη, ἐσχηματισμένον δοκεῖ τὸ ὁρώμενον· οὐ γὰρ ἔξεστιν ἄλλως τοῖς ὀφθαλμοῖς τὰ νοερὰ ὑποπίπτειν, εἰ μή τινα περιγραφὴν λάβοι σωματικήν.*

Τῷ τοίνυν μακαρίῳ τούτῳ ἀνδρὶ ποτὲ μὲν οὕτως, ποτὲ 395 *δὲ ἐκείνως ἡ πρὸς τὰ θεῖα γέγονε συναφή· ἡγίαστο γὰρ αὐτῷ μετὰ τῆς ψυχῆς καὶ τὸ σῶμα, καὶ οὔτε ὁ νοῦς ταῖς ἀπὸ τῆς αἰσθήσεως ἠπατᾶτο ἐμφάσεσιν, οὔτε ἡ αἴσθησις τοῖς ἀπὸ τῆς φαντασίας εἰδώλοις ἐψεύδετο, ἀλλ' ἦν αὐτῷ ἄλυπα καὶ φανὰ τὰ νοούμενά τε καὶ τὰ θεώμενα. ἀμέλει,* 400

384–394 cf. Origen. de princ. I 8,4 (PG 11,180 A 14–B 9)

378 *οὐ* post *ὥσπερ* add. n **383** *ἀνενεχθείη* Vcns *ἀναχθείη* l **386** *διαχρῆται* ln *χρῆται* Vcs **387–388** *μεσότοιχον* Vlns *μεσότειχον* c **391** *ἀμεταποίητα* cs *ἀνεκποίητα* ln *ἀνεκποιήτατα* V **394** *λάβοι* clns *λάβῃ* V **398** *ἠπατᾶτο* clns *ἠπᾶτο* V **400** *ἄλυπα* Vcns *εὔληπτα* l *φανὰ* cls *φανερὰ* Vn

φωτὸς ἔδοξέ ποτε τὸν ἀέρα πεπληρωμένον ὁρᾶν, καὶ οἷον ἐμφιλοχωρήσας ἀκριβέστερον τῷ ὁράματι ἀγγέλων πληθὺν ἐθεάσατο, φύσιν τινὰ περιέποντας καὶ περὶ αὐτὴν μάλα σπουδάζοντας· ἡ δὲ ἀμυδροῖς τισιν εἰκάσμασιν ἄνθρωπος
405 *ἐγνωρίζετο, αὐγήν τινα ἄρρητον ἀφ' ἑαυτοῦ ἀφιείς. ἀλλ' ὁ μὲν ἰδὼν καταπεπληγμένῳ ἐῴκει καὶ μικροῦ δεῖν ἐπεπήγει καὶ εἱστήκει ἄναυδος, τὸ δὲ φανὲν προσεπεκλίνετο οἷον τῷ μάκαρι καὶ οἰκειότατα διετίθετο καὶ πόρρωθεν κατησπάζετο· διαποροῦντι δὲ οἱ τί ποτ' ἂν εἴη τὸ θέαμα καὶ τίς ἡ*
410 *περὶ τὸ ὁρώμενον αὕτη δορυφορία καὶ σπουδή, Συμεὼν τοῦ θείου ταύτην εἶναι τὴν ψυχήν, φωνή τις ἀέριος ἀφανῶς ὑπεσήμανε.*

Ταῦτα εἶδέ τε καὶ ἤκουσε, καὶ πρὸς ἑαυτὸν ἐπανεληλυθώς, προέκυψέ τε τῆς κέλλης καὶ τοὺς συνειλεγμένους
415 *ἐπευλογήσας, εἶτα δὴ καὶ 'εὐλογητὸς κύριος' τρὶς εἰρηκώς, βαθύ τι καὶ βύθιον ἐστέναξε· τῶν δὲ παρεστηκότων τὴν αἰτίαν πυνθανομένων τοῦ στεναγμοῦ, 'ὦ τέκνα' ἔφησεν 'ὁ μέγας τῶν τοῦ Χριστοῦ θρεμμάτων ποιμὴν καὶ τοῦ ἀσκητικοῦ βίου φωστήρ, ὁ ἐν τῷ στύλῳ Συμεών, τὴν ἀνθρωπίνην*
420 *σήμερον ἀπολιπὼν ζωήν, πρὸς τὴν θείαν μετετέθη μακαριότητα· ἑώρακα γὰρ τὴν ἁγίαν ἐκείνου ψυχὴν διὰ τοῦ ἀέρος ἀνιπταμένην πρὸς οὐρανόν, κἀμὲ κατασπασαμένην πνευματικοῖς ἀσπασμοῖς.'*

410–412 cf. Athanas. vita s. Antonii 60 (PG 26,929 A 6–931 A 10) **414–415** cf. Io. Mosch. prat. spirit. 118 (PG 87,2981 C 11)

404 *τισιν* clns *τοῖς* V **407** *προσεπεκλίνετο* cs *προσεκλίνετο* Vln **410** *ὁρώμενον* Vln *φαινόμενον* cs **412** *ὑπεσήμανε* cs *ὑπεσήμαινε* Vln **415** *ἐπευλογήσας* Vln *ἐπ-* om. cs **419** *τῷ* om. ln **420** *ἀπολιπὼν ζω.* Vln transp. cs **422** *πρὸς* clns corr. V *εἰς* V

Ταῦτα ὁ μὲν ἔλεγε πολλοῖς περιρρεόμενος δάκρυσιν· οἱ δὲ ἀκούοντες ἐπεφρίκεσαν καὶ τὴν τῆς ἀρετῆς κατεπλήττοντο δύναμιν καὶ τὸν μακάριον ἀπεθαύμαζον, ὅτι μετὰ τοῦ σώματος ὤν, ταῖς ἀΰλοις συγκατηρίθμηται τάξεσι καὶ τὰ πόρρω διεστηκότα ἀπεριγράπτως ὁρᾷ· οἱ δέ τινες καὶ διαμφισβητοῦντες τὰς γνώμας περὶ ὧν ἠκηκόεσαν, βάσανον ἐποιοῦντο τῶν λεγομένων, καὶ σημειωσάμενοι τὸν καιρόν, καθ' ὃν ταῦτα εἴρηκεν ὁ μακάριος, ὕστερον τῶν ἐκεῖθεν ἡκόντων ἀπαγγελλόντων ἀκηκόασι τὴν τοῦ μάκαρος τελευτήν, καθ' ἣν ὥραν ἥ τε ὀπτασία τῷ Αὐξεντίῳ προσεγένετο κἀκεῖνος αὐτοῖς ἅπερ ἑώρακε διηγήσατο· οὐδεὶς οὖν μετὰ ταῦτα δοκιμασίαν ὧν ἔπραττεν ἢ ἔλεγεν ἐπεποίητο, ἀλλ' ὥσπερ θεοῦ φωνὰς τὰ παρ' ἐκείνου λεγόμενα λογιζόμενοι, ἀβασανίστως ἐδέχοντο. (425, 430, 435)

Ἐλάνθανε δὲ αὐτὸν οὐ μόνον οὐδὲν τῶν μεγάλων, ἀλλ' οὐδὲ τῶν μικρῶν τε καὶ ἐλαχίστων, οὐδ' ὅσα πράττουσιν ἄνθρωποι λανθάνοντες τοὺς πολλούς. δηλώσει δὲ ὁ λόγος. μισθοῦ τις ἐποίμαινε θρέμματα, ὁ δὲ μισθὸς βραχύς τε καὶ τριακονθήμερος· ἀπεστέρητο δὲ καὶ τούτου ποτέ, ἑνὸς δέουσαν θρέμματος τῷ δεσπότῃ τὴν ποίμνην ἀπαριθμήσας, ἣν δὲ οὐκ ἀποδόμενος, ἀλλ' ἀφαιρεθείς. οὗτος τῷ μακαρίῳ προσεληλυθώς, ἀγροικικῶς πάνυ καὶ ἀφελῶς ὅπου τὸ ἀπολωλὸς εἴη διεπυνθάνετο· ὁ δὲ μειδιάσας, 'ἀλλ' οὐ χρησμολόγος' ἔφησεν 'οὐδὲ μάντις ἐγώ, οὐδέ μοι βωμὸς καὶ χρηστήριον, ἵνα σοι καταμαντεύσωμαι τὸ ζητούμενον· (440, 445)

427 *τοῦ* om. c 429 *ἠκηκόεσαν* Vcs *ἠκηκόασιn ἀκηκόασι* l 433 *Συμεὼν* post *τελευτὴν* add. l 435 *μετὰ ταῦτα* Vcls *μεταῦτα* n 438 *οὐ* om. ln 439 *τε* Vcls *γε* n 441 *θρέμματα* cs *πρόβατα* Vln 443 *δέουσαν* Vcs *ἐνδέουσαν* n *ἐνδεήσαντος* l *ἀπαριθμήσας* Vcns *ἀπαριθμήσαντι* l 444 *ἀφαιρεθείς* Vln *ἀφαιρεθῆς* cs 447 *μάντις* Vcls *μάντης* n

ἀλλ' οὐδέ μοι ποίμνια ἢ βουκόλια, ἵν' ἐντεῦθέν σοι τὸ
450 *ὑστερῆσαν ἀποδώσω τοῖς θρέμμασιν. ἀλλ' ἐπεὶ ὁ ἐμὸς*
ποιμὴν καὶ δεσπότης ἀποπλανηθέντα με τῆς αὐτοῦ
ποίμνης ἀνεκαλέσατο, κἀγὼ τὸν δυνατὸν τρόπον τὸ
ἀπολωλός σοι ζητήσω, ἵνα μή σε ἀθυμοῦντα θεῶμαι.'
Ταῦτα εἶπε, καὶ 'ἀπόδος' φησὶν 'Ἀλύπιε, τὸ θρέμμα καὶ
455 *μὴ ἐγκαλύπτου· οὐ γὰρ ἀφείλου, οὐδὲ τῆς ποίμνης ἀπέ-*
σπασας, πλανωμένῳ δὲ ἐντετύχηκας.' ὡς δὲ οὕτω συμβάν,
δύο κατὰ ταὐτὸν Ἀλύπιοι τῷ μάκαρι συνειστήκεισαν καὶ
πρὸς τὴν φωνὴν ἑκάτερος διεπτόητο· 'σοί φημι τῷ ἐξ εὐω-
νύμων,' εἶπε, 'καὶ μὴ ἄλλως ποίει.'
460 *Εἰ γὰρ καὶ πρὸς οὐρανὸν ἀναβεβήκει ταῖς ἀρεταῖς ὁ*
θεῖος οὗτος ἀνήρ, ἀλλ' ἐκ τοῦ ἴσου τοῖς ἐντυγχάνουσι διε-
λέγετο, μάλιστα δὲ ὑπερήδετο τοῖς ἁπλουστέροις τὸ ἦθος
καὶ ταῖς ὁμοίαις αὐτοὺς φωναῖς διημείβετο, εἰδὼς ὡς οὐ
παρὰ γνώμην διεφθαρμένην τὸ μὴ ἠκριβωμένον τῆς προσ-
465 *λαλιᾶς, ἀλλὰ παρὰ τὴν ἁπλῆν φράσιν καὶ τὴν συνήθειαν.*
Ἀγροῖκος γοῦν τις αὐτῷ συγγενόμενος, ὁμοῦ τε πρῶτον
εἶδε καὶ 'καλή σοι' φησὶν 'ἡμέρα, πάτερ Αὐξέντιε,' τοῦτο
δὴ τὸ ἐπιχώριον καὶ τοῖς πολλοῖς σύνηθες· ὁ δὲ μείλιχόν
τι καὶ ἡδὺ μειδιάσας καὶ ὥσπερ εἰώθει χαριεντισάμενος,
470 *'καλός σοι καιρός,' τῷ προσφθεγξαμένῳ ἀντείρηκε. τοῦ δὲ*
πλήθους διαχυθέντος, 'δίκαιόν ἐστιν' ἔφησεν ὁ πατὴρ
'κατὰ τὴν ὁμοίαν λέξιν τοῖς διαλεγομένοις συνδιαλέγεσθαι,
ἵνα καὶ μᾶλλον ὠφελοῖντο, τὰ φίλα καὶ συνήθη δεχόμενοι·

455 *οὐ γὰρ ἀφείλου* l *οὐχ ὑφείλου* Vcns 457 *συν-εισθήκεισαν* Vcs *παρεισ-* ln 458 *δειπτόητο* Vcs *διεπτοεῖτο* ln 458–459 *εὐωνύμων* Vcln *εὐωνύμῳ* s 459 *εἶπε* l om. Vcns 462 *μάλιστα δὲ ὑπερήδετο* Vln *ὑπερ. δ. μάλ.* cs 463 *αὐτοὺς φωναῖς* Vcln transp. s 468 *μείλιχόν* Vcs *μειλίχιόν* ln

εἰ μὲν γὰρ ὁ τοῦτο φθεγξάμενος ἔμπλεως σοφίας καὶ τελεωτέρας ἐτύγχανεν ἕξεως, κἂν ἐμεμψάμην καὶ οὐδαμῶς 475 *προσεφώνησα· ἐπεὶ δ' ὁ προσειρηκὼς ἀγρότης τις ἦν, πολιτικῶν τε διατριβῶν ἀμαθὴς καὶ μηδὲν τῶν ἐλλογίμων μήτε ἀκούσας ποτέ, μήτε μὴν εἰρηκώς, ἀνεύθυνος μὲν αὐτῷ ἡ προσαγόρευσις, κατάλληλος δὲ ἡ ἀντίρρησις. πλὴν οὐδ' ἐν ταῖς ἀγροικικαῖς ταύταις προσφωνήσεσί τε καὶ ἀν-* 480 *τιφωνήσεσι τοὺς κρείττονας ἡμῶν τὸ ἔλαττον ἔχοντας ἀπηλλάχθαι δεῖ, ἀλλὰ νικᾶν τῷ πλείονι, ὥσπερ καὶ τοῦ προσειρηκότος τὴν ἡμέραν μοι δόντος αὐτὸς ἀντέδωκα τὸν καιρόν.'*

Ὁ δὲ λόγος κατὰ βραχὺ προϊὼν ἐπ' αὐτὸ τὸ κεφάλαιον 485 *ἀπαντᾷ τῆς ἐκείνου περὶ τὸ ὁμοφυὲς γένος προνοίας τε καὶ κηδεμονίας· ὅπερ δὴ καὶ δεῆσαν γενέσθαι, τὴν ἀρχὴν τοῦ πράγματος δέδωκεν ὁ θεός· ἡ γὰρ πρὸς τὸν μακάριον ἄνοδος οὐκ ἀνδράσι μόνον, ἀλλὰ καὶ γυναιξὶ κατ' ἐξουσίαν ἐδέδοτο, καὶ ἀνῄεσαν ἐπ' αὐτὸν οὐ τῶν ἀφανῶν μόνον καὶ* 490 *ἀνωνύμων, ἀλλ' ἤδη καὶ τῶν ἐν τέλει καὶ τῶν ἐκ βασιλείων θαλάμων· τἄλλα γὰρ ἀποκρύπτουσαι ἑαυτὰς καὶ πᾶσαν ἀνδρὸς ὄψιν ὑποστελλόμεναι, πρὸς ἐκεῖνον μόνον ἐλευθερίαν ἐδίδουν τῇ παρρησίᾳ. ὁ δὲ εὐμενῶς τε προσίετο καὶ ἱλαρώτερον προσωμίλει· οὐ γὰρ ἦν πρὸς ἐκείνου,* 495 *κοινῆς οὔσης τῆς φύσεως, τὸ μὲν ἄρρεν ἀποκληροῦν τῷ θεῷ, τὸ δὲ θῆλυ τῷ καθ' ἑαυτὸν μέρει τῆς τῶν σῳζομένων ἀποκρίνειν μερίδος, κἀκεῖνο μὲν τοῦ θείου καὶ ἀγγελικοῦ ἀξιοῦν σχήματος, τοῦτο δὲ μετὰ τοῦ πολλοῦ πλήθους ἐᾶν*

476 *τις* om. n **480–482** *ἀντιφωνήσεσι – ἀλλὰ* Vcns *ἀντιφωνήσεσι, τὸ κρεῖττον δεχομένους τὸ ἔλαττον ἀντιδιδόναι χρή· ἀλλὰ* l **483** *μοι* om. n *δόντος* Vcns *διδόντος* l **490** *ἀνῄεσαν* Vcln *ἀνίεσαν* s **493** *μόνον* Vcls *μόνων* n **497** *τὸ δὲ θῆλυ* codd. *τῷ δὲ θήλει* Io. *τῷ* Vlns *τὸ* c **499** *ἀξιοῦν σχήματος* Vcs transp. ln

500 *καὶ ἀποσκηνοῦν τοῦ κλήρου τῶν μοναχῶν· ἔμελλε γὰρ τὸ θεῖον τοῦτο πρᾶγμα καὶ ὄνομα ἀνδράσιν ἅμα καὶ γυναιξὶ κοινὸν ἔσεσθαι, καὶ ἀντιφιλοτιμεῖσθαι τὰ μέρη λαμπρῶς πρὸς ἄλληλα, καὶ πῇ μὲν ὑπερέχειν θάτερον τῶν μερῶν, πῇ δὲ ὑπερέχεσθαι παρὰ θατέρου, ἵν' ὥσπερ ἡ δι' αἵματος*
505 *ὑπὲρ τοῦ λόγου ἄθλησις, οὕτω δὴ καὶ ἡ δι' ἀσκήσεως συντονία κοινὸν ἀνδράσι καὶ γυναιξὶ γένηται, καὶ ὁ ἄνω πληρωθῇ κόσμος τοῦ διττοῦ πλάσματος.*

Ἀμέλει καὶ τὴν ὑπόθεσιν τῷ πράγματι παρέσχεν ἡ πρόνοια. τῷ βασιλεῖ Θεοδοσίῳ, περὶ οὗ φθάσας ὁ λόγος
510 *ἐδήλωσεν, ἀδελφή τις ἦν, τοὔνομα μὲν Πουλχερία, τὴν γνώμην δὲ σεβασμία καὶ τὸν βίον ὑπέρσεμνος. ταύτῃ κοινωνὸς τῆς γνώμης καὶ τοῦ κατὰ θεὸν ζήλου Στεφανὶς ἐγνωρίζετο, τοῦτο προσειληφυῖα τὸ ὄνομα, ὅπερ ἔμελλε διὰ τῶν ἔργων ἐπισφραγίσασθαι, στεφανὶς γὰρ καὶ ταῖς*
515 *ἀρεταῖς ἐχρημάτισε καὶ διάδημα τῇ κεφαλῇ ἐνθέων πράξεων περιτέθεικεν. αὕτη, τῆς Πουλχερίας μεταλλαξάσης τὸν βίον, πάντων ἀφεμένη τῶν ἄλλων, τῷ μακαρίῳ πατρὶ ἑαυτὴν προσανέθετο καὶ παρ' ἐκείνου τὰς πρὸς τὴν σωτηρίαν φερούσας ὁδοὺς ἐδιδάσκετο· αὕτη λαμβάνουσα*
520 *τὸ διδόμενον τὸ λειπόμενον ἐπεζήτει (ψυχῆς δὲ τοῦτο θεοειδοῦς γνώρισμα, ἄχρις ἂν παρὰ τὴν πηγὴν ἔλθῃ τῶν τῇδε ἀπαυγασμάτων, ὑπερβαινούσης τὰ σύμβολα)· ἄλλο οὖν ἀφ'*

508–664 cf. Aux.[1] 1429 C 4;1436 B 6; Aux.[2] 283 col. 2; Aux.[3] 13,6–28; Aux.[4] 250,1–251,12

501 *καὶ*[1] om. Vln **504** *μὴ* post *δὲ* add. l **507** *πληρωθῇ* clns *πληρωθεὶς* V **508** *θεία* post *ἡ* add. Io. **510–516** *Πουλχερία … Πουλχερίας* cns *Πουλχειρία … Πουλχειρίας* Vl **514** *ἐπι-* om. ln **518** *τὴν* om. Vln **520** *καὶ* post *δὲ* add. s **521** *παρὰ* Vln *πρὸς* cs

ἑτέρου μεταλαμβάνουσα, ἐπὶ τὸν μοναδικὸν βίον τὸν πόθον μετήγαγεν.

Ἀλλ' ὅ γε Αὐξέντιος ἐπῄνει μὲν ταύτην τοῦ ζήλου καὶ 525 *τῆς μιμήσεως, ἀπεγίνωσκε δὲ τῆς τελειώσεως, καὶ διὰ τοῦτο τῆς Σκοπιᾶς τὴν πεδιάδα παρῄνει αὐτῇ ἀνταλλάττεσθαι καὶ τὸν σώφρονα βίον καὶ μέσον αἱρεῖσθαι καὶ ὃν οἱ πολλοὶ ἀσπάζεσθαι εἰώθασιν, ἢ τὸν ἀπότομον καὶ ἐπίκρημνον καὶ ὀλίγοις ἐφικτὸν καὶ οἷον ἀστιβῆ καὶ οὐ* 530 *βάσιμον· ἀλλ' ἦν ἐκείνῳ τἄλλα μὲν εὐπειθής, τούτῳ δὲ μόνον μὴ πειθομένη τῷ μάκαρι. ὡς δ' ἱκανῶς ἐκεῖνος τὴν γνώμην αὐτῆς διασείσας, εὗρεν ἐπ' ἀσφαλοῦς βαίνουσαν, καί πού τι καὶ θεόθεν τὸ τῆς ψυχῆς αὐτῆς ἐμεμαθήκει ἀπόρρητον, ἐπινεύει τε πρὸς τὴν αἴτησιν καὶ οὐ μακρὰν* 535 *διαστήσας, ἀλλ' αὐτοῦ που κατὰ τὴν ἑτέραν τοῦ ὄρους πλευράν, ἐπί τινος φαύλης κατοικίζει καταγωγῆς, κανόνας τοῦ ἀσκητικοῦ βίου αὐτῇ παρεχόμενος.*

Ὅπερ οὖν ἐκεῖνος τῷ ἄρρενι γένει, τοῦτο αὐτὴ ταῖς γυναιξὶ γίνεται, καὶ πᾶσαι μικροῦ δεῖν πρὸς αὐτὴν ἔθεον, γέ- 540 *νους καὶ πατρίδος ἀφέμεναι· ἐφ' αἷς καὶ Κοσμία τις τοὔνομα αὐτὸ τοῦτο καὶ τὴν ψυχήν, Πάμφιλον καταλιποῦσα καὶ πρᾶγμα καὶ ὄνομα, ὑπὸ καθηγητῇ τῷ πατρὶ τῷ θεῷ τε καὶ τῇ Στεφανίδι συζεύγνυται· ἐπὶ ταύταις ἄλλη καὶ αὖθις ἑτέρα καὶ πλῆθος ἀθρόον ἐγεγόνεισαν, καὶ ἱερὰ νεο-* 545 *λαία συνηθροίσθη τῷ κρείττονι, καὶ νύμφαι πολλαὶ ἑνὶ νυμφίῳ τῷ θεῷ συνηρμόσθησαν.*

Τοῦτο θεασάμενος ὁ μακάριος καὶ λογισάμενος μὴ ἂν

523 *μετα-* om. Vln 527 *αὐτῇ* Vcs *αὐτὴν* ln 531–532 *μόνον* cs *μόνῳ* Vln 534 *καὶ*[2] om. ln *αὐτῆς* om. c 539 *αὐτὴ* Vln *αὐτῇ* cs 542 *Πάμφιλον* Vln *πᾶν φίλον* cs 544 *τε* Vcls *δὲ* n *Στεφανίδι* Vcns *Στεφινίτιδι* l

ἀθεεὶ γεγενῆσθαι, τολμᾷ τι οἷον θαυμάσιον· περιδύσας αὐ-
550 *τὰς τὰς ἀμπεχόνας, τριχίνοις ῥάκεσιν ἀμφιέννυσιν, ἀφ' οὗ*
δὴ καὶ τὴν ἐπωνυμίαν ἐσχήκασιν, εἶτα δὴ καὶ ἐπωμίδας
ταύταις περιρρεούσας καθίησιν, ἵνα τὸ πᾶν σῶμα ταύταις
περιλαμβάνηται καὶ μηδέν τι γυμνὸν παρεμφαίνηται.

Οὕτω δὴ τὰς ἀπορρήτους ταύταις τελετὰς ὁ μέγας
555 *πατὴρ ἐν συμβολικοῖς σχήμασι παραθέμενος, ὑπὸ σάλπιγγι*
τῇ ἐκείνου φωνῇ ταῖς πέριξ κώμαις μέγα κηρύττεται
κήρυγμα· ὁμοῦ πάντας εἰς ἕω πρὸς ἑαυτὸν ἀνιέναι, ἡμμέ-
νας τε λαμπάδας ἐν χεροῖν ἔχοντας καὶ πρὸς τἄλλα ἑτοί-
μους ὄντας, ὅσα τελετὴν θείαν καὶ προσήκουσαν θεῷ
560 *πανήγυριν ἀπεργάζεται. ἧκον οὖν κατὰ τὰ συγκείμενα οὐκ*
ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες, οὐχ ὅσαι πρὸς ἔξοδον
ἕτοιμοι, ἀλλὰ καὶ τὸ ὑπεσταλμένον ἅπαν καὶ σωφρόνως
κρυπτόμενον.

Ἀλλὰ τί τὰ μεγάλα μικροῖς λόγοις σταθμῶμαι, καὶ μὴ
565 *καθ' ὅσον δύναμαι συνεξαίρω τὸν λόγον τῷ πράγματι; ἐπεὶ*
γὰρ τῆς σάλπιγγος ἤκουσαν (οὕτω γὰρ ἐγώ φημι τὴν ἐκεί-
νου φωνήν), εὐθὺς ἅπαντες διανέστησαν ὥσπερ ὑφ' ἑνὶ
πνεύματι καὶ συνθήματι· οὐ γέρων ἀπῆν, τὴν ἡλικίαν εἰς
συγγνώμην προβεβλημένος, οὐχ ὁ πονήρως ἔχων τοῦ

550–552 cf. (anon.) vita s. Athanasiae Aegin. 5 (ASS Aug. III 171 B et n. i) nomen huic monasterio est *τῆς Τριχιναρέας*; cf. Steph. Diacon. Cpl. vita s. Steph. iun. (PG 100,1092 B 2–4) **555–556** et 566–567 cf. Apoc. 1,10

550 *τριχίνοις* cln *τρυχίνοις* V *τριχύνοις* s **553** *παρεμφαίνηται* ln *παραφαίνηται* Vcs **557** *κήρυγμα* om. c *ἑαυτὸν* Vcns *αὐτὸν* l **559–560** *προσήκουσαν θεῷ πανήγυριν* Vln *πανή. θ. προσ.* cs **562** *ἕτοιμοι* Vcns *ἕτοιμαι* l **562–563** *ἀλλὰ – κρυπτόμενον* om. ln **566** *φημι* cs *καλῶ* Vln

σώματος, οὐχ ὁ πνοαῖς ὀλίγαις διαμετρούμενος τὴν ζωήν, 570
οὐ τὰ ἀρτίτοκα, οὐ τὰ ἔτι ταῖς μητράσιν αὐτῶν τιθηνού-
μενα, τὸ γὰρ ἐλλεῖπον αὐτοῖς τῆς προθέσεως ἐπλήρουν αἱ
τίτθαι, ἀγκαλισάμεναί τε ταῦτα καὶ ἄχθος εὐάγκαλον τῷ
πατρὶ φέρουσαι. καὶ ἡ τάξις ἀντέστραπται· ἀγροὶ μὲν γὰρ
καὶ κῶμαι καὶ ἄστεα τῶν ἐνοικούντων ἐκεκένωντο, τὸ δὲ 575
ὄρος ἀγορὰ πλήθουσα ἦν, αἱ δὲ ῥαχίαι πλευραὶ βάσιμοι
καὶ λεῖαι γεγόνασι· καὶ πᾶς τις ἐθάρσει τὴν λοφιὰν καὶ
τὰς ἀπεξεσμένας τῶν πετρῶν οὐκ ἐδεδίει, ἀλλ' ἕκαστος
τῆς προσεχοῦς ἥπτετο μᾶλλον, ἀποτόμου καὶ ἀστιβοῦς
οὔσης, ἢ τῆς ὁμαλῆς καὶ πλατείας, μείζονι δὲ διαστήματι 580
ἀφεστηκυίας τοῦ μάκαρος, ὥστ' οὐδὲν ἦν τοῦ ὄρους ἄβα-
τον, πᾶν δὲ μέρος ἐπεπλήρωτο τοῦ λεώ.

Ὁ μέγας πατὴρ Αὐξέντιος κύκλῳ τὸν ὀφθαλμὸν περια-
γαγὼν καὶ τὴν πολυάνθρωπον ἐκείνην τεθεαμένος ὁμήγυ-
ριν, τοῖς ἐφεστηκόσι παρακελευσάμενος βραχύ τι μέρος 585
τῆς κέλλης αὐτῷ διελεῖν, ἔξεισι νεάζων τῷ πνεύματι· εἶτα
δὴ τὸν λαὸν ἑκατέρωθεν διελών, ἐκ διαστήματος στιχηδὸν
ἄγειν τε ἐπιτάξας καὶ ὕμνοις τὸν ἐπὶ πάντων γεραίρειν
θεόν, αὐτός, οἷά τις μυσταγωγὸς τῆς θείας ἐκείνης τελετῆς
τε καὶ πανηγύρεως, κατόπιν τοῖς ὅλοις ἐβάδιζε, τῶν θείων 590
τούτοις ἐξάρχων ᾠδῶν καὶ τῶν ψαλμῳδιῶν καταρχόμενος.

573–574 cf. Aesch. Prom. 350

572 *προθέσεως* clns *προθέσως* V 573 *τίτθαι* Vc ln *ἐτίτθαι* s 574 *ἀντέστραπται* Vln *ἀντέτραπται* cs *γὰρ* om. Vln 575 *ἄστεα* n *ἄστη* Vcls 576 *πλήθουσα* cl ns *πλήθους* V *ῥαχίαι* Vcln *τραχίαι* s 577 *ἐθάρσει* Vc ns *ἐθάρρει* l 579 *ἀποτόμου* om. ln 580 *δὲ* Vcls *τε* n 581 *ὥστ'* Fr. *ὡς δ'* codd. 583 *τὸν ὀφθαλμὸν* codd. *τοὺς ὀφθαλμοὺς* Io. 588 *τὸν – γεραίρειν* Vcs *γεραίρειν τ. ἐπ. πάν.* ln 591 *τούτοις* cs *τούτων* Vln

γενόμενος δὲ ἔνθα ταῖς γυναιξί, περὶ ὧν φθάσας ὁ λόγος ἄνω δεδήλωκε, τὰ τῆς ἀπορρήτου φιλοσοφίας ἐτελεῖτο μυστήρια, πρῶτα μὲν τὸν συνήθη ταύταις πνευματικὸν
595 *ἀπέδωκεν ἀσπασμόν, ἔπειτα δὲ χεῖρας ὁσίας ἄρας πρὸς οὐρανόν, 'ἔπιδε' φησὶ 'κύριε, ἐξ ἁγίου σου κατοικητηρίου ἐπὶ τοῦτο τὸ καλλιέρημα, καὶ δέξαι τὴν λογικὴν ταύτην θυσίαν ὡς ἀπαρχὴν τοῦ λοιποῦ γένους, καὶ τὸ θῆλυ τῆς φύσεως πρὸς ἀνδρικὴν στερρότητα μεταποίησον, καὶ τῷ*
600 *σῷ ἀτελευτήτῳ ἐλέει τὸν ἔνθεον ζῆλον αὐταῖς συμπαράτεινον, καὶ μήτε τὸ σχῆμα ταύταις μεταλλαγείη τὸ τῆς ἀσκήσεως, μήθ' ὁ παραδεδομένος κανὼν ἐλάττωσιν δέξαιτο.'*

Τοῦτον τὸν τρόπον εὐξάμενος ὁ πατήρ, ἔπειτα καὶ δια-
605 *γράψας τὸ οἰκοδομηθησόμενον αὐταῖς μοναστήριον, αὐτὸς πρῶτος τὴν κρηπῖδα προκατεβάλετο, λίθον τινὰ τῇ διώρυχι θέμενος, ἀκρογωνιαῖον ὁμοῦ καὶ θεμέλιον, τὸ τῆς οἰκοδομῆς ἀνάλωμα πολλῶν διδόναι προθυμηθέντων. εἶτα δὴ ταῖς μοναζούσαις ἐπιστραφείς, 'γινώσκειν ὑμᾶς, ὦ τέκνα,*
610 *βούλομαι,' εἶπεν, 'ὅτι καὶ τὸ καθ' ὑμᾶς γένος γάμῳ καὶ ἀγαμίᾳ διώρισται· καὶ ταῖς μὲν αἰσθητός ἐστιν ὁ νυμφίος, ὅσαι δὲ τὴν προθεσμίαν προπεπηδήκασιν, αὗται δὴ νοητῷ καὶ ἀθανάτῳ νυμφεύονται βασιλεῖ· διάφορος γὰρ ἑκατέραις ἡ τῆς ζωῆς διεξαγωγή, αἱ μὲν γὰρ τοῦ σώματος ἐπι-*

607–608 cf. Eph. 2,20–21

592 *δὲ* Vcls *οὖν* n **594–595** *πνευματικὸν ἀπέδωκεν* Vc ns transp. l **601** *τὸ*[2] om. cs **602** *παραδεδομένος* Vc ls *παραδιδόμενος* n **602–603** *δέξαιτο* Vcns *δέξοιτο* l **604** *καὶ* om. ln **606** *προκατεβάλετο* Vcns *προκατεβάλλετο* l et ci. Io. **608** *προθυμηθέντων* Vcln *προθυμουμένων* s **610** *εἶπεν* l om. Vcns **612** *προθεσμίαν* ln *παρθενίαν* Vcs *προπεπηδήκασιν* n *προτετιμήκασιν* Vcls **613** *γὰρ* Vln *δὲ* cs

στρέφονται καὶ περὶ τοῦτο διεσπουδάκασιν, ὅπως ἂν ἐράσ- 615
μιον τοῖς νυμφίοις περιποιήσωσιν, αἱ δὲ τὸ ἀπόθετον τῆς
ψυχῆς κάλλος ἐπὶ μᾶλλον καθωραΐζουσι καὶ τοῦτο ταῖς
ἀρεταῖς καταγράφουσιν, ἵνα τῷ ἀθανάτῳ νυμφίῳ
ἀρέσωσιν. ἔστι δὲ οὗτος, εἰ καὶ ἀνείδεός τε καὶ ἀσχημάτι-
στος κατά γε τὴν πρώτην φύσιν, ἀλλ' ὡραῖος κάλλει παρὰ 620
τοὺς υἱοὺς τῶν ἀνθρώπων· τοιοῦτος δὲ ὤν, ἐρᾷ καὶ ψυχῶν
τῷ νοητῷ κάλλει κεκοσμημένων· κάλλος δὲ ψυχαῖς, πίστις,
ἐλπίς, ἀγάπη, ἀκηλίδωτος βίος, σωφροσύνη, ἐγκράτεια, κα-
ταφρόνησις κόσμου, ὕλης ἀθέτησις, ἀποστροφὴ πραγμάτων
βιωτικῶν καὶ πρὸς τὸ θεῖον κάλλος ἐπιστροφὴ καὶ ἀνάνευ- 625
σις· ταῖς μὲν γὰρ ἐν συζυγίαις πρὸς τὸν ἄνδρα ἡ ἐπι-
στροφὴ κατὰ τὴν τοῦ κυρίου διάταξιν, καὶ κυριεύονται
παρ' ἐκείνου, ὡς ἡγεμονικωτέρᾳ φύσει τούτῳ ὑποταττόμε-
ναι· ταῖς δὲ παρθένοις, ὑμῖν, πρὸς τὸν θεὸν ἡ ἀναφορά,
κἀκεῖνος ἐφειστήκει ταῖς ἐρώσαις αὐτοῦ ψυχαῖς, ὡς 630
ἐραστὴς ὁμοῦ καὶ ἐρώμενος.

Ἐρᾶν δέ τις θεοῦ οὐκ ἄλλως δεδύνηται ἢ τὸ σῶμα
μισήσας καὶ τὴν ἐνταῦθα ζωήν· δυσὶ γοῦν κυρίοις ἐξ ἐναν-
τίας ἀλλήλοις ἔχουσιν εἷς κατὰ ταὐτὸν ἀρέσαι οὐ δύναται·
κατατέτμηται γὰρ εἰς δύο ταῦτα ἡ παροῦσα ζωή, ὥσπερ 635
εἰς διττὰς ὁδοὺς σχιζομένη, καὶ ἡ μὲν ἀνάγει πρὸς θεόν, ἡ

619–620 cf. Basil. adv. Eunom. I 23 (PG 29,564 A 14)
622–623 cf. I Cor. 13,13 **626–629** cf. Eph. 5,22–23
631 cf. Io. Chrys. hom. 9,4 in Rom. (PG 60,474.31)
633–634 cf. Matt. 6,24 = Luc. 16,13

616 *περιποιήσωσιν* n *ποιήσωσιν* Vcls **626–627** *ἐπι-στροφὴ* Io. *ἀποστροφὴ* codd. **630** *ἐφειστήκει* Vcs *ἐφεστήκει* ln **633** *γοῦν* Vln *γὰρ* cs **634** *ἀλλήλοις* Vcs *ἀλλήλους* ln **635** *ταῦτα* om. n

δὲ κατάγει πρὸς ὕλην· καὶ ἡ μέν τις στενή τίς ἐστι καὶ δυσπόρευτος, ἡ δὲ πλατεῖά τε καὶ εὐρύχωρος· καταλήγει δὲ ἑκατέρα, ἡ μὲν πρὸς οὐρανόν, ἡ δὲ πρὸς ᾅδην, τόποι
640 *δὲ ἐνταῦθα, οὓς οὐκ ἐπισκοπεῖ κύριος. πλὴν οὔτε τὸ τῆς ὁδοῦ ἐκείνης εὐρύχωρον εἰσάπαν ἐστὶ πλατὺ καὶ εὐέξοδον· ἔχει γὰρ ἑλιγμούς τινας καὶ ἀνακάμψεις καὶ διεξόδους λαβυρινθώδεις, οἷς ὁ διιὼν ἐναπολειφθείς, πλανᾶται τῇδε κἀκεῖσε, εἶτα δή, τοῦτο δὴ τὸ λεγόμενον, ὡς ἐν φρέατι συν-*
645 *εχόμενος, ἀνέξοδος πάντῃ καθέστηκεν· οὔτε δὲ ἡ πρὸς οὐρανὸν φέρουσα στενὴ τρίβος δι' ὅλου ἑαυτῆς δυσπόρευτός ἐστι καὶ συγκέκλεισται, ἀλλ' ἥν τις τὰς πρώτας ὑπομείνῃ πορείας, κατὰ βραχὺ προϊών, πολλαῖς ἐντύχῃ θυμηδίαις καὶ χάρισι, χρηστὸς γάρ ἐστιν ὁ τοῦ κυρίου ζυ-*
650 *γὸς καὶ ἐλαφρὸν τὸ φορτίον τῆς ἀρετῆς τοῖς ὅσοι τὸ φαινόμενον αὐταῖς ἄχθος μὴ εὐθὺς δυσχεραίνοιεν, ἀλλὰ κατὰ μικρὸν αὐτῷ προσεθίζοιεν. μὴ οὖν ὑμεῖς πρὸς τὸν τῆς ἀσκήσεως δρόμον ἀποδειλιάσητε, ἀλλ' εὐθαρσοῦσαι ἀπάρξασθε τῆς ὁδοῦ. καὶ χειραγωγῆσαι ὑμᾶς ὁ θεὸς καὶ κα-*
655 *τευθῦναι τὰ διαβήματα πρὸς τὸν σκοπὸν τῆς κλήσεως, ἣν ἐκλήθητε.'*

Ταῦτα δὴ καὶ τὰ τοιαῦτα ὁ μέγας πατὴρ παραινέσας

637–638 cf. Matt. 7,13–14 **644–645** cf. Plat. Tht. 165b **649–650** cf. Matt. 11,30 **654–656** cf. Ps. 36,23 et Phil. 3,14 et I Cor. 7,20

637 *τις*[1] om. l *τις*[2] Vcls *τε* n **639** *πρὸς ᾅδην* om. cs **642** *καὶ* post *γὰρ* add. s **644** *δὴ*[1] om. l **645** *δὲ* om. c **647** *ἥν* Vcls *εἰ* n **648** *ἐντύχῃ* Vcns *ἐντύχοι* l **650** *τοῖς ὅσοι* codd. *ταῖς ὅσαι* ci. Io. **651** *αὐταῖς* Vcs *αὐτοῖς* n *αὐτῆς* l **653** *ἀλλ' εὐθαρ-* Vcs *ἀλλὰ θαρ-* ln **655** *ἣν* cs *ὃν* Vln (cf. I Cor. 7,20) **657** *τοιαῦτα* Vln *τούτοις ὅμοια* cs

ταῖς γυναιξίν, εἶτα δὴ καὶ ἐπευξάμενος ταύταις, τῷ τε πλήθει συνθέμενος καὶ εἰρηκώς, ὡς 'ἔτι μικρόν, τεκνία, μεθ' ὑμῶν ἔσομαι, καλεῖ γάρ με πρὸς ἑαυτὸν ὁ θεός,' 660 *ἐπανῆλθεν ὅθεν δὴ καὶ κατῆλθε· καὶ ὥσπερ νῦν πρῶτον μονάζειν ἐπιβαλλόμενος, συντονωτέραις ἀσκήσεσιν ἐπέδωκεν ἑαυτόν, πλέον πρὸς τῷ τέλει τῆς συντονίας δραμών, ἵνα καὶ μείζονος τύχῃ τῆς ἀναρρήσεως.*

Ἀλλ' οἷ βλέπων ὁ λόγος ὁρμᾷ, μᾶλλον δὲ ὀκνεῖ τε καὶ 665 *ὑποστέλλεται καὶ οὐκ ἔχει τίς γένηται; ἡ μὲν γὰρ ὑπόθεσις ἐξ ἀνάγκης πρὸς τὴν τοῦ μάκαρος τελευτὴν τοῦτον μετακαλεῖται, ὃ δὲ τῷ πάθει συγκέχυται καὶ ἔοικεν οἷον ἀναβαλλομένῳ τὴν περὶ τούτου διήγησιν· ἐρεῖ δὲ ὅμως, ἵνα μὴ δι' ὃ τἄλλα πάντα εἴρηκε, τοῦτο μόνον ἀφέληται* 670 *ἑαυτὸν τὸ κεφάλαιον.*

Ἔμελλε γὰρ ὁ θεῖος πατήρ, εἰ καὶ ὑπὲρ φύσιν ἠγωνίσατο καὶ τὸν τῆς ἀρετῆς ἆθλον διήνυσε, τὸ ἀναγκαῖον ἀποπληρῶσαι τῇ φύσει ὄφλημα καὶ ἀποδοῦναι ὃ κεχρεώστηκε. κάμπτεται τοιγαροῦν γήρᾳ καὶ νόσῳ, τῷ μὲν 675 *προκατεργασθείς, τὴν δὲ προσθήκην τῆς ἀσιτίας λαβών· ἀλλὰ τοῦ μὲν σώματος πονήρως εἶχε καὶ ἐπί τινος χαμεύνης ἔρριπτο, λυόμενος ἤδη τῆς φύσεως καὶ πρὸς τὴν ἑτέραν ζωὴν μεθιστάμενος, τῷ δὲ πνεύματι μᾶλλον*

659–660 cf. Io. 13,33 **672–726** cf. Aux.[1] 1436 B 6–D 7; Aux.[2] 283 col. 2; Aux.[3] 13,29–14,17; Aux.[4] 251,12–252,6

661 *καί*[1] om. n **663** *γὰρ* pro *πρὸς* add. c **665** *οἷ* Vn *οἷον* cs *οἷα* l **667** *ἐξ ἀνάγκης* om. n **668** *οἷον* om. cs **669** *δὲ* om. c **670** *ὃ* cs *οὗ* Vln **671** *ἑαυτὸν* V *ἑαυτοῦ* cs *ἑαυτῷ* ln **672–673** *ἠγωνίσατο καὶ* s om. Vcln **675** *γήρᾳ* l *γήρει* Vcns **676** *ἀσιτίας* Fr. *αἰτίας* ln *ταλαιπωρίας* Vcs **677** *μὲν σώμ.* Vcns transp. l

680 *ἐπέρρωτο καὶ βιώσιμος ἦν· ὥσπερ γὰρ ἤδη προσεγγίζων ταῖς ἄνω δυνάμεσι καὶ τῶν φιλτάτων ἐγγὺς γινόμενος, ἀνεζωπυρεῖτό τε καὶ ἐθάρρει καὶ ὑφ' ἡδονῆς ἔνθους ὁμοῦ καὶ ἔμπνους ἐγίνετο. ἐπεὶ δὲ καὶ ἤδη που κατῄεσαν αἱ θεῖαι δυνάμεις, ληψόμεναι τὴν ἐκείνου ψυχήν, ἐγήθησε*
685 *μὲν ταύτας ἰδών, βραχὺ δέ τι πρὸς τὸ συνειλεγμένον πλῆθος ἐπιστραφείς, τὴν γλῶτταν εἰς εὐχὴν ἐκίνησε καὶ παραίνεσιν· εἶτα δὴ καὶ τοῖς νεύμασι συντατόμενος οἷον καὶ φίλα προσαγορεύων, πρὸς τοὺς ἀπάγοντας αὖθις ἐπιστραφείς, τὸ πνεῦμα παρακατέθετο.*
690 *Ὡς δὲ τοῦτο οἱ μὲν εἶδον, οἱ δὲ ἤκουσαν, ἅπαντα μεστὰ θορύβου καὶ ταραχῆς ἐγεγόνει καὶ πάντες διεπτοημένοι ἐπὶ τῷ γεγονότι ἐῴκεσαν· τοῖς γάρ τοι πλείοσι καὶ ἀθάνατος ὁ πατὴρ ἐδόκει ὡς φύσις κρείττων ἢ κατὰ ἄνθρωπον, καὶ διηπίστουν ταῖς ἀγγελίαις, ἕως δὴ ἅπαντες κατὰ ταὐτὸ*
695 *συρρεύσαντες καὶ κύκλῳ περιστάντες τὸ θεῖον ἐκεῖνο τέμενος, οὐ γὰρ ἂν εἴποιμι σῶμα νεκρόν, ἀλλὰ καταγώγιον τοῦ θεοῦ ἢ νοερὸν ἐνδιαίτημα, πρῶτα μὲν οἷα εἰκὸς κατεπλάγησαν, ἔπειτα δὲ κοινῇ ὀλολύξαντες καὶ δάκρυα τῶν ὀφθαλμῶν κατασπείσαντες, ἑαυτοὺς μᾶλλον ἢ ἐκεῖνον*
700 *ἀπωλοφύροντο.*

Εἶτα τί γίνεται; ἕκαστος ἑαυτοῦ ἐποιεῖτο τὸν ἄνδρα καὶ τοὺς ἄλλους τῆς κοινῆς ἀποστερεῖν ἤθελε χάριτος· ὁ μὲν γὰρ τοῦ μάρτυρος Ὑπατίου νεὼς ὡς οἰκιστοῦ ἀντεποιεῖτο καὶ πολιούχου, τὸ δὲ τοῦ θείου Ζαχαρίου τέμενος πλεονεκ-

704–705 ecclesia sancti Zachariae prope montem sita est in regione Theatro (cf. Aux.[4] 251,23–25 et Aux.[1] 1436 C 2–4)

681 *γινόμενος* clns *γενόμενος* V **682** *ἔνθους* cl ns *ἔννους* V **683** *κατῄεσαν* Vcln *κατίεσαν* s **687** *καὶ* pro *οἷον* add. l **692** *τοι* Vln *τι* cs **694** *ταὐτὸ* Vcs *ταὐτὸν* ln **695** *περισ-* Vcln *παρισ-* s **698–699** *καὶ – κατασπείσαντες* om. l **704** *πολι-* Vcls *πολυ-* n

τεῖν κατὰ τοῦτο τὸ μέρος τῶν ἄλλων ἠβούλετο· καὶ ὁ μὲν 705
τοῦτο, ὁ δὲ ἐκεῖνο, πάντες δὲ καθ' ἕνα τε καὶ κοινῇ εὐ-
προφασίστους λόγους ἡτοίμαζον καὶ ὡς οἰκείου τοῦ μάκα-
ρος ἀντείχοντο χρήματος. νικῶσι δὲ ὅμως τὸ ἱερὸν μέρος
τῶν γυναικῶν, αἷς ἐκεῖνος τὸν τῆς ἡσυχίας βίον ἐνομοθ-
έτησεν· αὗται γὰρ τότε ἀρρένων κατατολμήσασαι ὄψεων 710
καὶ τὴν γλῶτταν πρῶται εἰς ἀντιλογίαν κινήσασαι, μὴ δεῖν
ἔφασαν τὸ ὄρος τοῦτον καταλιπεῖν, ἐν ᾧ τὰς ἀρχὰς τῆς
ἀσκήσεως ἔθετο καὶ τὸ τέλος ἐπήνεγκεν. οὗτος ὁ λόγος
τῶν λοιπῶν ψήφων ἐκράτησεν ὑπὸ θεῷ δικαστῇ τε καὶ
βραβευτῇ, καὶ ὁ τῆς ἀσκήσεως αὐτῷ τόπος μαρτύριόν τε 715
τῆς ἁγιότητος καὶ θησαυρὸς τοῦ σώματος γέγονε.

Καὶ μεμέρισται ὁ πατὴρ ἀγγέλοις καὶ ἀνθρώποις ὁμοῦ,
μετ' ἐκείνων μὲν γὰρ τὸν τρισάγιον ὕμνον ἀναπέμπει θεῷ,
ἡμῖν δὲ ἐξευμενίζεται καὶ συμπροθυμεῖται τὴν ἀγωνίαν καὶ
ἐπιρρώννυσι τὰς ψυχὰς καὶ πρὸς τὸν ἔνθεον ζῆλον ἀναπτε- 720
ροῖ· μέμυκε μὲν γὰρ αὐτῷ τὸ στόμα καὶ ἡ γλῶσσα πρὸς
τὴν παραίνεσιν οὐ κεκίνηται, βοᾷ δὲ ὁ βίος καὶ τὰ θαύ-
ματα μέγα κέκραγεν, οὐχ ἃ πρότερον ἐπετέλει μόνον,
ἀλλὰ καὶ ἃ νῦν βλύζει τοῖς χρῄζουσιν, εἰς τιμὴν τοῦ μεγά-
λου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς 725
τοὺς αἰῶνας. ἀμήν.

708–709 cf. Menolog. Basil. II imp. (PG 117,313 A 15–16)
717–718 cf. Apoc. 4,8 et Is. 6,3

705 *ἠβούλετο* n *ἐβούλετο* Vcls **712** *τοῦτον* Vcs *τοῦτο* ln **715** *βραβευτῇ* Vcls *βρατευτῇ* n **720** *τὸν* om. c **721** *μέμυκε* clns *μέμυται* V *αὐτῷ* Vln *αὐτοῦ* cs **725–726** *δόξα – ἀμήν* Vln *καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ* post *δόξα* et *τῶν αἰώνων* post *αἰῶνας* add. cs

ORATIO IN SALVTATIONEM DEIPARAE

Salutationis festus dies primus est, quamquam etiam angeli intellegere non possunt quo modo creator mundi incarnatus sit (4–25). haec autem incarnatio nos divos fecit (33–36). nos igitur canentes magis gaudere debemus quam Israhelites ex servitudine servati (47–59), quia deus similiter nos detulit usque ad Hierusalem, nostram domum caelestem (59–75). nam concurrerunt et salutatio, significans nos ex peccatis servatos et in paradisum delatos esse, et incarnatio (78–89), quae hominem cum deo et caelum spiritale corporali cum terra coniunxit, domino componente (97–104). cum autem permulti virginitatem corporis diligant, animi virginitatem, quae humano maior est, Maria habuit (117–126). et quam materia non corrupit, haec mente deum prorsus comprehendit, corpore in terra manente (127–142). primo autem haec incredibiliter deum in caelo concepit, deinde in corpore (142–145). et haec, cuius essentia melior est quam caeli, cum natura tum essentia singularis est (145–167), etiam post partum virgo (167–170). hanc igitur et timidus et reverens accessit Gabriel, qui aspectu et forma humanus erat (183–193). huius deinde verba significaverunt Mariam, deo dedicatam, iamdudum recepisse gratiam atque gaudium recepturam esse, deo suo in utero concepto (198–208); Mariam autem et compensare Hevam exsecratam et nos defendere et homines divos facere (209–219). sed haec salutatio sollicitavit sanctam virginem, quae extemplo Hevae meminit (220–229). angelus

autem exposuit Mariam ex deo unum filium, et deum et hominem, concepturam esse, ut homines redargueret falso asserverantes Iesum in caelo factum esse atque Iesum hominem non deum esse (238–259). Maria deinde non intellexit, quo modo conceptus sine homine fieri posset (260–269). hic tamen conceptus significat vitam castam coniunctam esse masculo cum genere (271–279). et non modo pater sed tamen sanctus spiritus operam contulit (280–294). cum primo angelum interrogaret, Maria accepit dei voluntatem (295–304). utinam tali modo Heva serpentem interrogavisset (305–314)! nam propter Mariam omnia renovata sunt (314–320). recipe, Maria, hanc orationem, quaecumque falsa corrigens, quaecumque vera accipiens (321–327)!

Occasio orationis huius fuit dies festus Salutationis (25 Mar.).

2. *Λόγος εἰς τὸν Χαιρετισμόν*

Ἀρχὴ μὲν τῶν ὄντων θεός, οὐχ ὡς συντεταγμένος τούτοις καὶ συναριθμούμενος, ἀλλ' ὡς ἐξῃρημένος καὶ ὑπερκεί-

Q 240ʳ–244ᵛ; d 30ᵛ–38ʳ; e 128ʳ–135ʳ; k p. 50–63 (ab initio usque ad 303); o 285ʳ–287ʳ; q 158ʳ–161ᵛ; y p. 56–70–Jugie 517–25 (idem Gemmiti 114–130); Kurtz/Drexl I,82–93. Cum Q et q concinunt, Q solam reportavi; cum d et k et y concinunt, d solam reportavi.

1 *τοῦ σοφωτάτου κυρίου Μιχαὴλ τοῦ Ψελλοῦ λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτοκοῦ καὶ ἀεὶ παρθένου Μαρίας (ὠλόγησον, πάτερ)* y om. *τοῦ – κυρίου* k *τοῦ ὑπάτου τῶν φιλοσόφων καὶ ὑπερτίμου τοῦ Ψελλοῦ λόγος ἐγκωμιαστικὸς εἰς τὸν εὐαγγελισμὸν τῆς ὑπεραγίας θεοτοκοῦ* d *τοῦ*

μενος· ἀρχὴ δὲ τῶν θείων ἑορτῶν τε καὶ πανηγύρεων ἡ
5 *τῶν εὐαγγελίων ἀγγελία πρὸς τὴν παρθένον καὶ μητέρα*
τοῦ λόγου παρὰ τῆς τοῦ ἀγγέλου φωνῆς· ἀρχὴ δὲ οὐχ ὡς
ἀτελεστέρα τῶν ἄλλων μυστηρίων καὶ ἀναδείξεων (πολλοῦ
γε καὶ δεῖ), ἀλλ' ὡς τελεωτέρα πολλῷ τῷ περιόντι καὶ
ὑπερκειμένη οὐ τῶν ἐν ἐκείνοις μόνον θαυμάτων, αλλὰ καὶ
10 *παντὸς λόγου καὶ πάσης ὁμοῦ φύσεώς τε καὶ καταλήψεως.*
τὸ μὲν γάρ, τὸν κυοφορηθέντα λόγον γεγεννῆσθαι καὶ τὸν
γεγεννημένον ἀναδειχθῆναι τοῖς θαύμασιν· εἰ καὶ ταῦτα
πᾶσαν μὲν ἔννοιαν ὑπερβαίνει, πᾶσαν δὲ ὑπερεκπίπτει νοῦ
τελειότητα, ἀλλ' οὖν ἡ φύσις τὴν ἀκολουθίαν οἶδε καὶ τὰ
15 *νεώτερα τῶν πρεσβυτέρων ἐχόμενα· τὸ δὲ τὸν οὐρανοῦ καὶ*
γῆς ποιητὴν καὶ πάσης ὁρατῆς τε καὶ ἀοράτου δημιουργὸν
κτίσεως, ὃν οὐ σθένει χωρεῖν τὸ πᾶν δημιούργημα, ὃς
ἀσυγκρίτῳ μεγέθει πάσης οὐσίας ὑπερήπλωται ὅση τε
νοητὴ καὶ ὅση τοῖς αἰσθητοῖς κατατέτακται, πρὸς ὃν τὰ
20 *μεγέθη τῶν ὑπερφυῶν συγκρινόμενα σωμάτων (εἰ δεῖ καὶ*
οὕτως εἰπεῖν) ἀνυπόστατά πώς εἰσι καὶ εἰς τὸ μηδαμῆ κα-
τακέκλεισται, τοῦτον νηδύϊ χωρηθῆναι παρθενικῇ, μήτε

15–16 Psellus verbis Credo hic utitur (cf. Liturgia Ioannis Chrysostomi) **17–18** cf. Proc. in Plat. repub. 1,73.10–11 Kroll **19–22** cf. Leont Byz. de sect. 7,2 (PG 86,1240 D 5–6)

σοφωτάτου Ψελλοῦ λόγος εἰς τὸν χαιρετισμόν q *λόγος εἰς τὸν χαιρετισμὸν τοῦ σοφωτάτου Ψελλοῦ* Q *τοῦ μακαρίου σοφωτάτου Ψελλοῦ εἰς τὴν αὐτὴν ἑορτὴν* o om. e

4 *καὶ* om. Q **5** *τῶν εὐαγγελίων* codd. *τοῦ εὐαγγελίου* Ju. **8** *τελεωτέρα* deo *τελειωτέρα* q *τελειοτέρα* Q **12** *θαύμασιν* codd. *θαυμασίοις* Ju. **15–16** *καὶ γῆς* om. Q **19** *κατατέτακται* deo *κατεσκεύασται* Q **21** *ἀνυπόστατά πως* dQo *ἀνυποστάτως* e *μηδαμῆ* deQo *μηδαμοῦ* q

τῆς ἀπειρίας ἐκστάντα τῆς ἑαυτοῦ καὶ τοῖς τοῦ ἡμετέρου σώματος παραμετρηθέντα μέρεσι, καὶ οἷον περατωθῆναι τὸν ἄπειρον, τοῦτο τίς ἀγγελικὴ φύσις ἢ ἀρχαγγελικὴ χω- 25
ρῆσαι δυνήσεται, ἢ εἴ τις ὑπερτέρα τάξις τούτων καθέστηκε καὶ ἐγγυτέρα τοῦ πρώτου φωτὸς καὶ πρώτως ἐκεῖθεν δεχομένη τὴν ἔλλαμψιν κἀντεῦθεν ἀνακινουμένη πρὸς τὴν τῶν ὑπερτελῶν θεαμάτων κατάληψιν; τὸ γὰρ ἡμέτερον τοσοῦτον ἴσως, ὅσον τὸ ἐκείνων πρὸς τὸ ὑπερκείμενον 30
φῶς; εἰ δὲ ἐκείνοις τὸ θαῦμα ἄληπτόν τε καὶ ἀνεννόητον, πῶς ἂν ἡμεῖς τοῦ γεννωμένου κατάληψιν ἕξοιμεν;

Ἔδει γὰρ πάντως, τοῦ θεωθῆναι τὸν ἄνθρωπον ὑπερφυοῦς τυγχάνοντος πράγματος, κατάλληλον εἶναι καὶ τὸ προοίμιον· διὰ ταῦτα Χριστὸς ἐνηνθρώπησεν, ὅτι τεθέωται 35
τῇ καινῇ πρὸς αὐτὸν μίξει ὁ ἄνθρωπος. ἀλλ' εἰ παράδοξον καὶ τὸ δεύτερον, πόσῳ γε μᾶλλον καὶ τὸ πρῶτον παραδοξότερον; εἰ λόγου παντὸς κρείττων ἡ ἄνοδος, πῶς οὐκ ἐπέκεινα πάσης ἐννοίας ἡ κάθοδος; ἐνταῦθα μὲν γὰρ τὸ θνητὸν εἰς οὐρανοὺς ἀνελήλυθεν, ἐκεῖ δὲ θεὸς αὐτὸς ἐξ 40

33–36 cf. Ioann. Maur. 183 (p. 153,10–11 Lagarde) et 2,23 (p. 2 Lagarde)

23 *ἑαυτοῦ* deo *αὔτου* Q *αὐτοῦ* q **24** *παραμετρηθέντα* codd. *πη μετρηθέντα* Ju. **27** *τοῦ πρώτου φώτος* deo *τοῦ πατρὸς τοῦ φώτος* Q (cf. Euseb. de eccles. theol. I. 20,13 [PG 24. 885 C]) **30** *τὸ*[1] add. Kz. **31** *ἄληπτον* deQo *ἄλληπτον* ky **32** *γεννωμένου* d *γεννομένου* e *γενομένου* Qo *νενοημένου* Ju. *ἕξοιμεν* o *ἕξομεν* dQ *ἕξωμεν* e **33** *πάντως* deoq *πάντα* Q *τοῦ* om. Q *θεωθῆναι* Qo *σωθῆναι* de *καὶ* post *ἄνθρωπον* add. Kz. **34** *τοῦ* post *τυγχάνοντος* add. Kz. **35** *τεθέωται* dQo *τεθέαται* e **37** *καὶ*[2] om. Qo **38** *κρείττων* dQo *κρεῖττον* e **40–41** *ἐκεῖ – κατελήλυθεν* om. e **40** *αὐτὸς* om. Ju.

οὐρανοῦ κατελήλυθε καὶ γέγονε χωρητὸς ὁ ἀχώρητος καὶ ἡνώθη ἐψυχωμένῃ σαρκὶ ὁ πλάστης τῆς φύσεως καὶ ἐκ παρθένου γεγέννηται ὁ ἀναφής τε καὶ ἄϋλος· καὶ σώματι προσωμίλησεν ὁ μηδὲ τὴν τοῦ ἀσωμάτου κλῆσιν κυρίως
45 *καλούμενος, ὡς οὐδὲ τὴν τοῦ φωτὸς οὐδὲ τὴν τῆς ζωῆς, ἀλλὰ κατὰ μετωνυμίαν τε καὶ μετάληψιν. τίς ἂν ἡμῖν λόγος ἀρκέσειε πρὸς τὴν θεωρίαν τοῦ θαύματος; τίνα δὲ χορείαν πνευματικὴν συστησόμεθα ἢ ποῖα ᾄσομεν ᾄσματα ἢ τίσι κυμβάλοις ψυχικοῖς τε καὶ λογικοῖς τὸν κατάλληλον*
50 *παιᾶνα προσᾴσομεν τῷ θεῷ καὶ τὴν αἴσθησιν τῆς τῶν εὐαγγελίων εὐφροσύνης ἐπιδειξόμεθα; εἰ γὰρ τῷ Ἰσραὴλ πάλαι, τοῦ Φαραὼ ἐπικλυσθέντος τοῖς κύμασι καὶ τῆς ἀντικειμένης πάσης καταποντισθείσης δυνάμεως, χοροί τε συνίσταντο καὶ κύμβαλα ἐκροτεῖτο καὶ Μαριὰμ κατῆρχε*
55 *τοῦ χοροῦ καὶ τοῦ ᾄσματος καὶ ὕμνος τῷ θεῷ ἐκ τοῦ γεγονότος προσηρμόζετο θαύματος, πῶς οὐχὶ μᾶλλον ἡμεῖς οἱ μείζονος ἀξιωθέντες καὶ ὑψηλοτέρας φιλανθρωπίας ταῖς γνωστικαῖς ἁρμονίαις σύμφωνόν τι ᾆσμα καὶ πάμφωνον τῷ θεῷ ἀναπέμψωμεν; ἐκεῖ μὲν γὰρ ὁ αἰσθητὸς Φαραὼ τὸν*

41 Thdt. comm. in Ezech. 3,12 §3,703 (PG 81,848 A 11–13) **43–45** cf. Psell. de omn. doc. 15 (PG 122,697 C 1) **47–48** cf. Greg. Naz. or. 4,7 (PG 35,537 B 8) **48** cf. Is. 26,1 **51–53** cf. Exod. 14,28 **54–55** cf. Exod. 15,20–21 **55–56** cf. Exod. 15,1 et seq. **59–61** cf. Akathistus Hymnus 11,13 (Wellesz)

42 *σαρκὶ* deoq lac. Q *φύσει* Ju. **44** *ἀσωμάτου* deo *ἀσώματος* Q *σώματος* q **45** *ὡς* deo *ὥσπερ* Q *τὴν*[2] om. ky **47** *ἀρκέσειε* deQ *ἀρκέσῃ* o **50** *προσᾴσομεν* deo *προσοίσομεν* Q **51** *ἐπι-* om. Ju. **52** *τοῦ* deQo *τῷ* q **54** *κατῆρχε* deQo *κατεῖρχε* q **56** *θαύματος* codd. *θαυμάσιος* Ju. **59** *ἀναπέμψωμεν* d *ἀναπέμψομεν* eoQ

αἰσθητὸν κατεδίωκεν Ἰσραήλ, ἐνταῦθα δὲ ὁ νοητὸς καὶ τυ- 60
ραννικώτερος πρὸς τὸν ἡμέτερον μάχεται νοῦν καὶ διώκει
πρὸς τὴν Ἱερουσαλὴμ φεύγοντα καὶ διὰ τοῦ ὕδατος πρὸς
τὴν ἄνω πόλιν μετοικιζόμενον. κἀκεῖ μὲν στῦλος πυρὸς καὶ
νεφέλης ὡδήγει τὸν Ἰσραήλ, τῆς μὲν πρὸς ἡμέραν ἐπι-
σκιαζούσης, τοῦ δὲ τὴν νύκτα καταπυρσεύοντος, καὶ ἐδη- 65
μαγώγει τὸν λαὸν ὁ θεράπων Μωσῆς· ἐνταῦθα δὲ αὐτὸ τὸ
πρῶτον καὶ ὑπερούσιον φῶς ὁδηγὸς ἡμῖν πρὸς τὴν μετάθε-
σιν γίνεται, καθ' ἣν ἀπὸ τῆς παροικίας εἰς τὴν κατοικίαν
μετασκευαζόμεθα, καὶ ὁ δεσπότης προηγεῖται τῆς ὅλης
ἡμῶν τάξεως καὶ συντάξεως καὶ τῇ θαλάσσῃ ὁ τύραννος 70
δίδοται καὶ ἡ παρθένος Μαρία τὸ θεῖον μεταχειρίζεται
τύμπανον, πολλῶν αὐτῇ συγχορευουσῶν νεανίδων τυμπανι-
στριῶν, ψυχῶν φημι καθαρῶν, κατὰ τὴν τοῦ προφήτου
καὶ προπάτορος ταύτης φωνήν. κἀκεῖ μὲν Αἴγυπτος τὸ
παιδευτήριον καὶ Ἱερουσαλὴμ τὸ τρυφητήριον, ἐνταῦθα δὲ 75
γῆ μὲν τὸ δεσμωτήριον, οὐρανὸς δὲ τὸ τῆς νεαζούσης
ἡμῶν φύσεως ἡβητήριον.

Σήμερον γὰρ ἐκ τῆς ἀλλοτρίας πρὸς τὴν οἰκείαν μεταβι-
βαζόμεθα πατρίδα καὶ πρὸς τὴν Ἐδὲμ ἀποκαθιστάμεθα
καὶ πρὸς τὴν Σιὼν ἀναγόμεθα οἱ κακῶς ἐκεῖθεν ἀπολισθή- 80
σαντες. ὢ τοῦ θαύματος – ἡμάρτομεν, εἶτα τετιμωρήμεθα,
ἀλλ' αὖθις μειζόνων κατηξιώθημεν ἀγαθῶν· τοῦ παραδεί-

63–65 cf. Exod. 13,21 **66** Num. 12,7 et Hebr. 3,5
72–73 Ps. 67,26 **74–77** cf. Greg. Nyss. de beatitud. VII
(PG 44,1281 A 12)

62 *φεύγοντα* om. o **64** *νεφέλης* deo *νεφέλη* Q **65** *καὶ*
deQo *κἀκεῖ* q **67** *ὁδηγὸς* o *ὁδηγὸν* Q *ὁδὸς γὰρ* e *ὁδὸς* d
70 *καὶ συντάξεως* om. y **75** *τὸ* deo *ὅτι* Q **77** *ἡβητήριον*
deo *οἰκητήριον* Q **78** *γὰρ* codd. *τοίνυν* Ju.

σου ἐκπεπτώκαμεν καὶ τῆς κατοικίας τῶν οὐρανῶν τετυχήκαμεν· πρὸς γῆν ὠλισθήσαμεν καὶ ὑψηλοτάτης οἰκήσεως
85 *ἐπαγγελίαν εἰλήφαμεν καὶ τό γε θαυμασιώτερον· οὐ προλαμβάνει τὴν χάριν τὰ εὐαγγέλια, ὥσπερ δὴ νόμος ἀνθρωπικός ἐστιν, ἀλλ' ὁμοῦ τῇ παρθένῳ παρὰ τοῦ ἀγγέλου κεκήρυκται καὶ ὁ εὐαγγελιζόμενος σαρκοῦται θεὸς καὶ θεοῦται τὸ πρόσλημμα. ὢ τοῦ καινοῦ λόγου, ὢ τοῦ τῶν χα-*
90 *ρίτων πλήθους καὶ τῆς τῶν θαυμάτων ἀπειρίας· ἅπαντα ὁμοῦ συνδεδράμηκεν, ἡ τοῦ ἀρχαγγέλου φωνή, ἡ τοῦ κυρίου σάρκωσις, ἡ τοῦ προσειλημμένου σώματος θέωσις, ἡ τῶν διεστώτων ἕνωσις, ἡ τῶν τυραννουμένων ἐλευθερία, ἡ τῶν ἀπωσμένων οἰκείωσις, ἡ τῶν ἐκπεπολεμωμένων καταλ-*
95 *λαγή· φωνὴ μία καὶ βραχεῖα ὁμοῦ, τὸ 'χαῖρε' τῇ θεομήτορι προσαγγέλλουσα, καὶ τὰ ἐκεῖθεν γινόμενα ὑπὲρ ἀριθμὸν ὁμοῦ καὶ κατάληψιν. καὶ τὸ κεφάλαιον, ἄνθρωπος μὲν ὁ θεός, θεὸς δὲ ὁ ἄνθρωπος γίνεται καὶ τὸ ἀποκεκρυμμένον μυστήριον ἐπ' ἐσχάτων τῶν αἰώνων δῆλον καθί-*
100 *σταται καὶ τέλος ἡ προφητεία λαμβάνει καὶ ἡ προσδοκωμένη ἐλήλυθε λύτρωσις· ἡ γῆ τῷ οὐρανῷ μίγνυται καὶ τὰ*

88–89 cf. Ioann. Damasc. contra Iacob 52 (PG 94,1461 C 10) **95** Luc. 1,28 **100–101** cf. Ps. 129,7–8 **101–104** cf. Ioann. Maur. 183 (p. 150,31 Lagarde)

83 *ἐκ-* om. Qo *κατοικίας* deo *οἰκίας* Q **83–84** *τετυχήκαμεν* deQ *ἠξιώθημεν* o **84–85** *ὑψηλοτάτης – ἐπαγγελίαν* codd. *ὑψηλοτάτην οἰκίαν ἐπαγγελίας* Dxl. **84** *οἰκήσεως* deo *οἰκίας* Q **86** *χάριν* codd. *χαρὰν* Ju. *ὥσπερ* eoky corr. d *ὅσπερ* dQ **86–87** *ἀνθρωπικός* Qo *ἀνθρώπινος* de **88** *κεκήρυκται* deo *κηρύττεται* Q **92** *προσειλημμένου* dQo *προσλημμένου* e **94** *οἰκείωσις ἡ τῶν ἐκπεπολεμωμένων* om. de **96** *ἐκεῖθεν* Qo *ἐκεῖσε* de *γινόμενα* deo *γιγνόμενα* Q **97** *ὁμοῦ* om. de **98** *ὁ*[2] om. e

αἰσθητὰ τοῖς νοητοῖς ἀνακεράννυται καὶ τὰ διεστηκότα παραδόξως συνάπτεται· καὶ μεσίτης ἀμφοῖν ὁ συλληφθεὶς γίνεται κύριος, τῇ θεότητι μίξας ὅλην τὴν ἀνθρωπότητα. καὶ τῶν εὐαγγελίων κῆρυξ ὁ Γαβριὴλ γίνεται καὶ μόνος πι- 105 *στεύεται τὸ μυστήριον. καὶ μόνον ἐνταῦθα ἡ ὑποκειμένη τάξις ἀμύητος κατελείφθη τοῦ θαύματος· ἐχρῆν γὰρ τὴν καινοτομίαν τῆς φύσεως καὶ ταῖς θείαις ἐπισημανθῆναι οὐσίαις. καὶ κάτεισιν ἐξ οὐρανοῦ πρὸς τὴν γῆν ὁ θεός, οὐ σκηνοβατήσας τὴν κάθοδον οὐδὲ πομπικώτερον τὴν* 110 *πρόοδον διαθέμενος, ἀλλ' ὡς ἑωθινὴ δρόσος ἢ μᾶλλον ὡς ὑετὸς ἐπὶ πόκον, ἵνα καὶ τὸ παλαιὸν θαῦμα πέρας λάβῃ τοῦ μυστηρίου πιστωσαμένου τὰ σύμβολα. καὶ ὁ ὑπηρέτης τοῦ θαύματος ἀρχηγέτης τοῦ τάγματος. καὶ πρὸς τὴν παρθένον ὁ παρθένος χωρεῖ, ὁ τὴν οὐσίαν ὑπερφυὴς τὴν* 115 *ὁμοφυῆ ἡμῖν καὶ παρθένον καὶ σῶμα καὶ νοῦν καὶ διὰ ταῦτα πολὺ τοῦ εὐαγγελιστοῦ τιμιωτέραν. τῷ μὲν γὰρ τὸ ἀκήρατον καὶ τῶν ἐννοιῶν ἄφθορον περὶ τὴν φύσιν ἐστίν, τῇ δὲ ὑπὲρ φύσιν ἡ τῆς ψυχῆς παρθενία· οὐ γὰρ τὴν ἑτέραν φημί, ἣν πάντες σεμνύνουσί τε καὶ τῶν ἄλλων ἀρετῶν* 120 *ὑπερτιθέασι· καὶ γάρ ἐστιν ὡς ἀληθῶς ἡ ἀφθορία τοῦ σώματος τῶν ἄλλων ἀρετῶν κορυφή. ἀλλ' οὐκ ἐντεῦθεν ἐγὼ*

111–113 cf. Iudic. 6,36–38

102 *αἰσθητὰ – τὰ* om. de **106** *ὑποκειμένη* Qo *ὑπερκειμένη* de **112** *λάβῃ* eoQ *λάβοι* d **114** *τάγματος* deo *πράγματος* Q **115** *πρὸς* post *ὑπερφυὴς* add. de **115–117** *τὴν ὁμοφυῆ ... παρθένον ... τιμιωτέραν* de *τὴν παρθένον – τιμιωτέραν* (om. *ὁμοφυῆ ἡμῖν καὶ*) o *τῇ ὁμοφυεῖ ... παρθενῷ ... τιμιωτέρᾳ* Q **118** *τὸ* post *ἐννοιῶν* add. o *περὶ τὴν φύσιν* Q *παρὰ τὴν φύσιν* eo *παρὰ τῇ φύσει* d **119** *τὴν* post *ὑπὲρ* add. Ju. **120** *σεμνύνουσι* dQo *σεμνήνουσι* e **121** *ὡς* om. o **122** *ἐντεῦθεν* deo ci. Kz. *ἐνταῦθα* Q

τὴν τοῦ κυρίου ἀποσεμνύνω μητέρα οὐδὲ ταύτην αὐτῇ τὴν μαρτυρίαν μόνην προσμαρτυρῶ κἀντεῦθεν παρθένον ἐπονο-
125 *μάζω· εἰ γὰρ καὶ ταῖς ἄλλαις αὐτὴ τὸ παράδειγμα, ἀλλ' ἔλαττον εἰς ἐγκώμιον τὸ τοῖς πολλοῖς κατορθούμενον.*

Παρθένος δὲ ὡς ἀληθῶς ἡ παρθένος, ὅτι καὶ τὰς ἐννοίας τὰς ψυχικὰς μεμένηκεν ἀπαράφθορος καὶ ὥσπερ ἥλιος ταῖς νοεραῖς χάρισι τῷ σώματι προσωμίλησεν, ἐκεῖνο
130 *μᾶλλον λαμπρύνασά τε καὶ καταυγάσασα ἢ ἐκεῖθεν προσαναμαξαμένη τῆς ὕλης, ὅπερ οὐδ' ἂν ἀγγέλου φύσις ἐτήρησεν, εἰ τῇ ὕλῃ προσήγγισε. συγκεχωρήσθω γὰρ καὶ τοῦτο τῷ λόγῳ ὡς πρὸς ὑπόθεσιν· μόνη γὰρ αὐτῆς ἡ θεοειδεστάτη ψυχὴ ὥσπερ τις οὐρανία αἴγλη τῷ ἀκηράτῳ ἐκείνῳ*
135 *ἐπέλαμπε σώματι καὶ οὐ συνείληπτο μᾶλλον ἢ συνεῖχεν ἐκεῖνο καὶ συνειλήφει καὶ πρὸς τὸ τηλαυγέστερον μετεσκεύαζεν· εἴχετο γὰρ ὁ μὲν νοῦς ἐκείνης θεοῦ, οὐδεμιᾶς ἑνούσης μεσότητος, τὸ δὲ σῶμα τοῦ νοῦ, ὥσθ' ὅλη συνῴκει θεῷ καὶ θεὸς μετὰ τοῦ σώματος ἐχρημάτιζε· καὶ γῆν*
140 *μὲν ᾤκει καὶ τὸ ἴχνος κάτω προσήρειδε, τῆς δὲ ἀπροσίτου τριάδος (εἰ δεῖ καὶ τοῦτο θαρρήσαντα εἰπεῖν) οὐκ ἀπελιμπάνετο, ὑπὲρ τὰ σεραφὶμ καὶ πρὶν ἢ συλλαβεῖν ὁρῶσα θεὸν καὶ ἀρρήτως ταῖς θεωρίαις συλλαμβάνουσα καὶ κυοφ-*

124 *μαρτυρίαν* de *παρθενίαν* Qo 124–125 *ἐπονομάζω* doQ *ἐπονομάζων* e *καὶ* om. Q 125 *ταῖς ἄλλαις* eQo *τοῖς ἄλλοις* d *αὐτὴ* Qo *αὕτη* de 127 *ὡς* om. de *παρθένος*[2] om. e 128 *ἀπαράφθορος* Qo *ἀδιάφθορος* de 130 *τι* post *ἐκεῖθέν* add. Q 131 *ἀγγέλου* deo *ἀγγέλων* Q 132 *προσήγγισε* dkeQo *προπροσήγγισε* y *καὶ* om. Ju. 134 *οὐρανία* deQo *οὐράνιος* q 136 *συνειλήφει* deo *συνείληφε* Q 137 *ἐκείνης* deQ *ἐκεῖνος* o 138 *μεσότητος* deo *θεότητος* Q *ὥσθ'* Qo *ὥστε* de 139 *τοῦ* om. Qo 141–142 *οὐκ ἀπελιπάνετο* do *οὐ καπελιμπάνετο* e *οὐ κατελιμπάνετο* Q 142 *ἢ* om. de 143 *καὶ*[2] om. q

ρούσα καὶ ἀποτίκτουσα, ὥσπερ ὕστερον οὐσιωδῶς αὐτῇ ταῦτα κατείργαστο. εἰ οὖν ὁ μέγας οὗτος καὶ ὑψηλὸς οὐ- 145
ρανὸς ἐκ τοῦ ἄνθους τῶν πρώτων στοιχείων, ὡς τοῖς πολλοῖς δοκεῖ, σεσωμάτωται καὶ διὰ ταῦτα ἀδιάπτωτός τέ ἐστιν καὶ ἀκήρατος, πόσῳ γε μᾶλλον τὸ ἐκείνης σῶμα ἐκ κρείττονος τῶν στοιχείων οὐσίας συμπέπηκται καὶ ὥσπερ ἱερὸν ἄδυτον τῇ ψυχῇ κατεσκεύασται. ἀλλὰ τί ἂν εἰπὼν 150
τὴν ἐκείνης ἐνδείξομαι καθαρότητα; οὐκ ἀρκεῖ μοι τὰ αἰσθητὰ κάλλη, οὐκ ἀρκεῖ μοι τὰ νοητά. αἰσχύνομαι παραβάλλων αὐτῇ τὸν ἥλιον, ἐρυθριῶ ἀντισυγκρίνων τὸν οὐρανόν. ἂν τῆς ἀγγελικῆς οὐσίας ἅψωμαι, γέγηθα μέν, ὅτι ὑπερφυὴς ἡ συναγωγὴ τῶν συγκρίσεων, ἀλλὰ καὶ οὕτως 155
ἀποτυγχάνω τοῦ μέτρου· ἐκεῖνα μὲν γὰρ μόλις που καθαρῶς χωρεῖ θεοῦ ἔννοιαν καὶ πρὸς τὴν ἐκεῖθεν προσμεμέτρηται ἔλλαμψιν, αὐτὴ δὲ ὅλον κεχώρηκε τὸν θεὸν ἐν μικρῷ μέρει τοῦ σώματος, μήτε τῶν πατρικῶν κόλπων ἀποφοιτήσαντα καὶ ὅλον ἐν τῇ μητρὶ καὶ παρθένῳ γενό- 160
μενον. καὶ τὸ θαυμασιώτατον ἐναντίωμα τοῦ λόγου, ὅτι τὸ ἧττον μὲν αὐτῆς κατείληφα, τὸ δὲ κρεῖττον οὐχ εὕρηκα· ἥττων μὲν γὰρ τοῦ υἱοῦ καὶ δημιουργοῦ καθέστηκε, κρείττων δὲ οὐδενός, ὅτι καὶ ἀπαράμιλλος. τὸ γὰρ ὑπερέχον

145–147 cf. Simplic. de caelo 90,25 Heiberg

144 *αὐτῇ* Qo *ταύτῃ* de **145** *ὁ* om. y **147** *τε* om. e **149** *τῆς* post *κρείττονος* add. Q **150** *τῇ ψυχῇ* doQ *ἡ ψυχὴ* e **151** *ἐνδείξομαι* dyq corr. k *ἐνδείξωμαι* ekQo **155** *τῶν συγκρίσεων* deo *τῆς συγκρίσεως* Q **156** *μὲν* om. o **157** *χωρεῖ* dQo *χωρεῖν* e *καὶ* Qo *οὐ* de **157–158** *προσμεμέτρηται* deo *μεμέτρηται* Q **158** *αὐτὴ* Qo *αὕτη* de **160** *παρθένῳ* deQo *παρθένον* q **161** *τὸ*[1] om. de *ὅτι* om. Ju.

165 *αὐτῇ τοῦ μεγέθους κατὰ πάσης οὐσίας καὶ φύσεως ἀσύγκριτόν τε καὶ ἀπαράβλητον. αὕτη καὶ μήτηρ γέγονε καὶ παρθένος ἐστί. διὰ ταύτης ὁ λόγος εἰσελήλυθέ τε καὶ ἐξελήλυθε καὶ τὰ κλεῖθρα τῆς παρθενίας οὐκ ἔλυσεν ἀλλὰ διαμεμένηκεν ἀδιαλώβητος ἡ σφραγίς. αὕτη κῆπος κεκλει-*
170 *σμένος καὶ ἐσφραγισμένη πηγή· αὕτη καὶ κιβωτὸς τοῦ ἁγιάσματος κυρίου καὶ ῥάβδος βλαστήσασα τὸ ἄνθος Χριστὸν καὶ ἄδυτον ἱερὸν ὡς παραπετάσματι τῇ παρθενίᾳ συγκαλυπτόμενον· αὕτη ὄρος τετυρωμένον, ὄρος ἅγιον, ὄρος κατάσκιον· αὕτη οὐρανὸς ὡς ἀληθῶς ἢ καὶ πλέον οὐ-*
175 *ρανοῦ ἐστίν τε καὶ ὀνομάζεται, χωρήσασα τὸν ἀχώρητον καὶ περιλαβοῦσα τὸν ἀπερίληπτον· αὕτη προφητῶν ὑπόθεσις καὶ ἀρχὴ καὶ τέλος ὁμοῦ τῶν προρρήσεων. διὰ ταύτης θεὸς μὲν πρὸς ἡμᾶς καταβέβηκεν, ἡμεῖς δὲ πρὸς ἐκεῖνον ἀναβεβήκαμεν. ὢ τῆς οὐρανομήκους καὶ ὑπερφυοῦς κλί-*
180 *μακος, ὢ τῆς ὁμοφυοῦς μὲν ἡμῖν, ἀπροσίτου δὲ καὶ τοῖς ἀγγέλοις αὐτοῖς, ἵνα τι συναπολαύσωμεν ἐκείνῃ πρὸς τὴν ὑπερκειμένην οὐσίαν.*

Ἐπεὶ γὰρ τὸν λόγον ἐπιστεύθη τοῦ μυστηρίου ὁ Γα-

168–169 cf. [Athanas.] hom. in occ. dom. 5 (PG 28,980 B 9) **169–170** Cant. 4,12 **170–171** Ps. 131,8 **173** Ps. 67,16 **177–180** cf. Akathistus Hymnus 3,12–13 (Wellesz)

165 *κατὰ* deo *καὶ* Q **166** *ἀπαράβλητον* deQ *ἀπαράμιτον* o *αὕτη* deoq *αὐτὴ* Q *καὶ*[1] om. Q **168** *τὰ* om. Q **169** *διαμεμένηκεν* de *μεμένηκεν* Qo *κῆπος* doQ *κῦπος* e **170** *καὶ*[2] om. de *τοῦ* om. Q **171** *τοῦ* post *ἁγίασματος* add. Ju. *ῥάβδος* dQo *ἄνθος* e *βλαστήσασα* dQo *βλαστήσασαν* e *τὸ ἄνθος* om. Q **173** *ὄρος ἅγιον* om. Qo **176** *ἀπερίληπτον* Fr. *ἀπερίλειπτον* de *ἄπειρον* Qo **183** *τὸν* om. de

βριήλ, θαυμάζει μέν γε καὶ αὐτὴν τὴν ἄρρητον κάθοδον καὶ τὴν κένωσιν τοῦ λόγου ὑπερεκπλήττεται, οὐδὲν δὲ 185 *ἧττον καὶ τὴν παρθένον ἄγαταί τε καὶ τέθηπε καὶ ὡς κρείττονα φύσιν φρίττει καὶ ὑποστέλλεται. ὅθεν οὐδὲ μετὰ τοῦ σχήματος (εἰ δεῖ καὶ οὕτως εἰπεῖν) χωρεῖ πρὸς αὐτὴν οὐδὲ (δέον ἀλλοιοτέραν ἀλλάξαι μορφήν) ἡλιοειδὴς ἢ ἀέριος γίνεται. τίνα γὰρ καὶ φοβήσειν ἔμελλεν ἢ τίνα ὑπε-* 190 *ρεκπλῆξαι, ὥσπερ δὴ ποιεῖν ἀγγέλοις σύνηθες οἷς πάλαι ὠπτάνοντο καὶ νῦν ἐμφανίζονται, ἵνα πρὸς τὸ δέος τὸν θεωρὸν κινήσωσι καὶ ὑποδεχθῶσι μετὰ σεβάσματος; ἀλλ' ὥσπερ δεσποίνῃ θεράπων ἀνθρωπικῷ προσέρχεται σχήματι καὶ καθημένῃ παρίσταται καὶ μετὰ τοῦ προσφόρου σεβά-* 195 *σματος τὰ εὐαγγέλια δίδωσι· 'χαῖρε' γάρ φησι 'κεχαριτωμένη· ὁ κύριος μετὰ σοῦ.' ὅρα τοῦ λόγου τὴν δύναμιν καὶ τῶν ῥημάτων τὴν τάξιν. τὸ γὰρ 'χαῖρε' προθεὶς εὐθὺς τὸ 'κεχαριτωμένη' ἐπήνεγκεν, ἵνα καὶ τὴν πρόσφατον δείξῃ χαρὰν καὶ τὴν προτέραν χάριν ἐνδείξηται. κεχαρίτωτο γὰρ* 200 *πάλαι, ὅλη προσανακειμένη θεῷ καὶ τὰς ἄνωθεν δεχομένη ἐλλάμψεις καὶ χάριτας· χαρὰν δὲ εὐαγγελίζεται ὕστερον ἐπὶ τῇ σαρκώσει τοῦ λόγου καὶ τῷ μητέρα γενέσθαι τοῦ πρώτου λόγου καὶ τῆς ἡμετέρας δημιουργοῦ φύσεως. τὸ δὲ 'ὁ κύριος μετὰ σοῦ' πρὸς τὸ 'χαῖρε' τὴν ἀναφορὰν ἔχει·* 205

196–197 Luc. 1,28

184 *γε* om. Qo **186** *τε* om. Ju. **187** *οὐδὲ* codd. *καὶ* Ju. **188** *καὶ* om. Q **189** *εἰς* post *δεὸν* add. Ju. *ἀλλάξαι* deo *μεταλλάξαι* Q **190** *γίνεται* dyeQo *γένεται* k **190–191** *ὑπερεκπλῆξαι* Qo *ὑπερεκπλήξειν* de **191** *δὴ* codd. *δούλοις* Ju. **192** *καὶ* post *ἵνα* add. Ju. *τὸ* om. Qo **197** *δύναμιν* codd. *δουλείαν* Ju. **198** *γὰρ* om kyQ *προθεὶς* deo Dxl. *προσθεὶς* Q **203–204** *τῷ – καὶ* om. q **203** *τῷ* d Dxl. *τὸ* eQo

ἐκεῖνο μὲν γὰρ ὡσανεὶ προοίμιον, τοῦτο δὲ ἀπόδειξις. 'μετὰ σοῦ' δέ φησιν οὐχ ὡς κατ' ἔλλαμψιν, ἀλλ' ὅτι οὐσιωδῶς τῇ σῇ νηδύϊ κεχώρηται. πρὸς τούτοις φησὶν 'εὐλογημένη σὺ ἐν γυναιξίν,' ἀντίρροπον τῇ κατάρᾳ τὸ ὄνομα,
210 *ἐπεὶ καὶ τῆς Εὔας ἡ παρθένος ἀντεισενήνεκται, ὥσπερ τοῦ Ἀδὰμ ὁ κύριος· ὥσπερ οὖν ἐκεῖ τῇ παραβάσει ἐπηκολούθησεν ἡ ἀρά, οὕτως ἐνταῦθα τῇ τηρήσει τῶν ἐντολῶν ἡ εὐλογία συνήνωται. καὶ μεμένηκε μέχρι τῆς παρθένου τοῦτο δὴ τὸ γένος κληρονομοῦν τὴν ἀρὰν τῆς προμήτορος,*
215 *εἶτα ᾠκοδομήθη τὸ ἔρυμα τῆς ἐπιρροῆς καὶ γέγονεν ἐπιτείχισμα ἡ παρθένος τῆς τῶν κακῶν ἐπικλύσεως. 'εὐλογημένη σὺ ἐν γυναιξίν,' ὡς μήτε τοῦ ξύλου γευσαμένη τῆς γνώσεως μήτε παραβᾶσα τὴν ἐντολήν, ἀλλ' αὐτή τε θεωθεῖσα καὶ τὸ γένος θεώσασα.*
220 *Ἡ δὲ ἰδοῦσα διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ, διαλογιζομένη τὸν ἀσπασμόν. οὐ τὴν ὄψιν ὑπώπτευσεν οὐδὲ τὸ σχῆμα τοῦ κήρυκος ἐδειλίασεν· ἀνθρωπικώτερον γὰρ μεταπεποίητο, ὡς ὁ λόγος φθάσας ἐδήλωσε, καὶ ὑπέσταλτο πρὸς τὴν τῶν εὐαγγελίων ἐξαγγελίαν. ἀλλ' οἷα δὴ συνετω-*

208–209 Officium versperum tropario utitur quod Luc. 1,28 et 42 coniungit, in Quadragesima (cf. R. P. E. Mercenier, La prière des églises de rite byzantin I [Chevetogne 1975] 371) et alii in occasionibus (cf. Henrica Follieri, Initia hymnorum ecclesiae graecae [Citta de Vaticano 1961] s.v. *Θεοτόκε Παρθένε, χαῖρε, κεχαριτωμένη*) **217–218** cf. Gen. 2,17 **220–221** Luc. 1,29

211 *κύριος* deo *θεός* Qo **211–212** *ἐπηκολούθησεν* deo *ἀντηκολούθησεν* q *ἀντηκολούει* Q **216** *ἐπικλύσεως* deo *ἐπιλύσεως* Q **218** *ἀλλ'* codd. *ἡ* Ju. **221** *οὐ τὴν ὄψιν ὑπώπτευσεν* deQ *καὶ τὴν ὄψιν οὐχ ὑπώπτευσεν* o **223** *φθάσας* om. Qo **224–225** *συνετωτάτη* deo Dxl. *συνετώτατος* Q

τάτη καὶ ὄντως νοήμων καὶ κυβέρνησιν πάντων ἔχουσα, τὸ 225
μέγεθος τῆς ἐπαγγελίας καταπλαγεῖσα πρὸς τὸν λόγον διεταράχθη· ἀνεμνήσθη γὰρ εὐθὺς τῆς προμήτορος Εὔας, συνειλήφει τῷ νῷ τὴν τραγῳδίαν ἐκείνην, πρὸς τὴν ἱστορίαν συνέκρινε τὰ λεγόμενα· κἀκεῖ γὰρ προσλαλιὰ καὶ ἐπαγγελία κρείττονος φύσεως κἀνταῦθα καινὰ εὐαγγέλια καὶ 230
λόγος οὔτε ὠσὶν ἀκουστὸς οὔτε νοῒ χωρητός. διὰ ταῦτα ἐπὶ συννοίας ἡ παρθένος ἐγένετο καὶ συνεπεπήγει τῷ σχήματι καὶ εὐλαβήθη τὴν δωρεάν. ἴσως δὲ καί, ἀσαφοῦς ἔτι τοῦ εὐαγγελίου καθεστηκότος, πρὸς διαφόρους ἐννοίας κατεμερίζετο· τὸ γὰρ εἶναι μετ' αὐτῆς τὸν κύριον ἐδήλου μὲν 235
καὶ τὴν μετὰ σαρκὸς ἐν τῇ ἐκείνης νηδύϊ χώρησιν, ἐδήλου δὲ καὶ τὸ κατ' ἔλλαμψιν αὐτῇ τὸν κύριον ἐπιφαίνεσθαι.

Ταῦτα δὴ πάντα ἐξομαλίζων ὁ ἄγγελος πρὸς μὲν τὴν ὑποψίαν τὸ 'μὴ φοβοῦ' ἀντιτέθεικε καὶ κατεσκεύακε τὸν λόγον ὑπερφυῶς, ὅτι χάριν εὕρηκε παρὰ τῷ θεῷ· τὸ δὲ 240
ἀμφίβολον τῆς ἐννοίας διέλυσε, 'συλλήψῃ' εἰρηκὼς 'ἐν γαστρὶ καὶ τέξῃ υἱὸν' καὶ ὅτι 'καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν' καὶ ὅσα ἐπὶ τούτοις, ὅτι 'μέγας' τε ἔσται καὶ ὅτι 'υἱὸς ὑψίστου κληθήσεται' καὶ ὡς τὸν τοῦ Δαυὶδ λήψεται θρόνον 'καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ' καὶ ἀπέ- 245

229–230 cf. Gen. 3,5 **238–246** Luc. 1,30–33

229 *γὰρ* om. Q **230** *ὁ* post *καὶ* add. Q **232** *συννοίας* codd. *συννοίᾳ* Ju. *συνεπεπήγει* dQo *συνεπήγει* e **233** *καὶ*[1] om. Q *δὲ* om. Q *ἔτι* om. de **234** *πρὸς* Qo *εἰς* de **235** *κύριον* de *θεὸν* Qo **235–237** *μὲν – ἐδήλου* om. e *μὲν – δὲ* om. d **239** *κατεσκεύακε* Qo *κατεσκεύασε* de **241–242** *συλλήψῃ – γαστρὶ* dQo *συλλήψῃ ἐν γαστρὶ εἰρηκὼς* e **242** *ὅτι* om. Q **243** *τούτοις* deo *τούτῳ* Q *τε* om. ky *ὅτι*[2] om. Qo **244** *τοῦ* om. ky **245** *τοῦ* post *οἶκον* add. de

ραντον ἔσται τὸ κράτος αὐτῷ. ὅλον τὸ δόγμα τοῦ μυστηρίου ὁ ἄγγελος ὥσπερ ἐν δέλτοις ἐξέθετο, τὰς ὕστερον ἀνακόπτων τῶν πολλῶν γλωσσαλγίας καὶ τὰς βλασφημίας ἀνείργων τῶν κατὰ τοῦ μυστηρίου λυττώντων. ἵνα γὰρ μή
250 *τις οἰηθῇ ἄνωθεν πεπλάσθαι τὸ σῶμα τῷ θεῷ, τὴν ἐν γαστρὶ τοῦ λόγου σύλληψιν προεφώνησεν. ἵνα δὲ μὴ ψιλόν τις αὐτὸν ἄνθρωπον φαντασθῇ, μέγαν τοῦτον ὠνόμασε καὶ υἱὸν ὑψίστου ἐκήρυξεν· ἵνα δὲ τὰς προφητικὰς ἐπισφραγίσῃ φωνὰς καὶ τὴν ἐκ τοῦ Δαυὶδ γενεαλογίαν αὐτοῦ βε-*
255 *βαιώσῃ, 'δώσει' φησὶν 'κύριος ὁ θεὸς αὐτῷ τὸν θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ·' ἵνα δὲ τὸ ἓν πρόσωπον καὶ μετὰ τὴν ἕνωσιν παραδείξῃ καὶ ὡς αὐτός ἐστι θεός τε καὶ ἄνθρωπος, ἀθάνατον τὴν βασιλείαν τοῦ σαρκουμένου προσμαρτυρεῖ.*

249–250 hic significat Psellus Eutuchum et Dioscurum, quos Quartum Concilium in Chalcedone condemnavit (cf. Psell. supra IA 372–374; vers. de dogm. [PG 122,816 D 3–8]) **250–251** Luc. 1,31 **251–253** hic significat Psellus Nestorium, qui Tertium Concilium in Epheso condemnavit (cf. Psell. supra IA 362–372; vers. de dogm. [PG 122,816 C 8–12] et Orig. fr. 34 in Io. 2,23 [Gr. Chr. Schriftst. IV p. 508,24]) **258** cf. Luc. 1,38

247–248 *τὰς ... γλωσσαλγίας* codd. *τὴν ... γλωσσαλγίαν* Ju. **249** *γὰρ* om. de **249–250** *μή τις οἰηθῇ* deo *μή τις μυηθῇ* Q *μέν τις μὴ οἰηθῇ* Dxl. **250** *πεπλάσθαι τὸ σῶμα* eQo *τὸ σῶμα πεπλάσθαι* d **251** *προεφώνησεν* deo *προσεφώνησεν* Q **252** *φαντασθῇ* deQ *φαντάσῃ* o **253** *προφητικὰς* deo *προφωνητικὰς* q *προφνωη*[lac.] Q *προσφωνηθείσας* Ju. **254** *ἐκ* om. o **254–255** *βεβαιώσῃ* codd. *βεβαιώσας* Ju. **255** *φησὶν – αὐτῷ* Qo *φησὶν αὐτῷ – θεὸς* de **256** *τὸ* deo *καὶ* Q *καὶ* om. Q **257** *τε* om. de

Καὶ ὁ μὲν ἄγγελος ταῦτα, τήν τε παρθένον ἀπάγων τοῦ 260
φόβου καὶ τὸ τοῦ μυστηρίου ἀκριβὲς παριστῶν· ἡ δὲ (καὶ
γὰρ ἦν ἄλλως οὐκ εὐπαράγωγος πρὸς τὰς ὑπερβαλλούσας
ἐπαγγελίας) ἔτι διαπορεῖ περὶ τῆς συλλήψεως καὶ διαμφι-
βάλλει περὶ τοῦ τοκετοῦ· τὸ γὰρ μήπω γενόμενον οὔπω εἰς
πίστιν ἐλάμβανεν. ἀλλ' ἐπειδὴ τοῦ μὲν τοκετοῦ σύλληψις, 265
μίξις δὲ καθηγεῖται συλλήψεως, ἀπορεῖ, πῶς ἔσται τὰ ἀπο-
τελέσματα, τῶν ἀποτελούντων μήπω προβάντων· εἰ γὰρ αἴ-
τιον γυναικὶ συλλήψεως ἡ τοῦ ἀνδρὸς γνῶσις, 'πῶς' φησὶ
'συλλήψομαι μὴ εἰδυῖα γνῶσιν ἀνδρός;' ἔχει δέ τι καὶ βα-
θύτερον ὁ λόγος καὶ τῆς παρθενικῆς καθαρότητος ἄξιον· 270
γνῶσιν γὰρ ἄνδρος αὐτῇ ὁ οἰκεῖος λόγος προσμαρτυρεῖ οὐ
τὴν φυσικὴν ἴσως συνάφειαν ἀλλὰ τὴν δι' ὑπερβολὴν
ἀχράντου ζωῆς πρὸς τὸ ἄρρεν γένος, μήτε γνῶσιν τοῦ νοῦ
μήτε μετάκλησιν. αὐτὸ γοῦν τοῦτο καὶ θεραπεύων ἐπήνεγ-
κεν ὁ φανεὶς ὅτι κἂν ἠγνόηταί σοι τὸ γένος, ἐπειδήπερ 275
ὅλη πρὸς θεὸν ἀπονένευκας, οὐδὲν ἧττον συλλήψῃ, ἐξ ἑτέ-
ρας αἰτίας ὑψηλοτέρας καὶ μείζονος ἐσχηκυῖα τὴν σύλλη-
ψιν· 'πνεῦμα' γάρ φησιν 'ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύ-
ναμις ὑψίστου ἐπισκιάσει σοι.' ὢ συνόδου ἀρρήτου, ὢ
καινοῦ γάμου καὶ ὑπερφυοῦς συναφῆς· ἐπειδὴ γὰρ ἓν τῆς 280
θείας καὶ πρώτης τριάδος πρόσωπον τετέλεκε τὸ μυστή-

268–269 Luc. 1,34 **278–279** Luc. 1,35

262 *οὐκ* dQo *ὡς* e **264** *γενόμενον* deo *γινόμενον* Q **265** *μὲν* om. de *ἡ* post *τοκετοῦ* add. de **267** *μήπω* eQo *μὴ* d **271** *ἀνδρὸς* om. Q **272** *τὴν φυσικὴν … συνάφειαν … τὴν* codd. *τῆς φυσικῆς … συναφείας … τῆς* Ju. **273** *τοῦ* om. o **274** *μετάκλησιν* eo *μετάκλισιν* dQ **275** *κἂν* deo *οὐκ ἂν* Q **279** *ἐπισκιάσει* dQo *ἐπισκιάσῃ* e **280** *ἐπειδὴ* deQ *ἐπεὶ* o **281** *πρόσωπον* om. d

ριον (ὁ μόνος υἱός φημι τοῦ πατρός), συνεισφέρουσι τούτῳ πρὸς τὴν κάθοδον ὥσπερ ὁ πατὴρ καὶ τὸ πνεῦμα, τὸ μὲν ἐπερχόμενον τῷ παρθένῳ καὶ ἁγιάζον τὴν φύσιν αὐτῆς,
285 *ἵνα μᾶλλον ἀστράψῃ καὶ πρὸς ὑποδοχὴν τοῦ λόγου τηλαυγεστέρα φανῇ· ὁ δὲ ὑψόθεν ἐπισκιάζει, πᾶσαν μὲν ἀπελαύνων ἐπιβουλήν, πάντοθεν δὲ τηρῶν τὸ ἱερὸν ἄδυτον καὶ σκιὰν ἀντὶ καύσωνος τῷ παραδείσῳ ἐμποιῶν τῆς τρυφῆς. 'διό' φησι 'καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς θεοῦ.'*
290 *οὐ γὰρ μόνον ἡ προσειληφυῖα φύσις ἀλλὰ καὶ τὸ προσειλημμένον τῆς θείας ἐπιτεύξεται κλήσεως· καὶ δύο μὲν φύσεις αἱ συνδεδραμηκυῖαι ἔσονται, ἀμφοῖν δὲ μία ὑπόστασις, θεὸς ὁμοῦ καὶ ἄνθρωπος ὀνομαζομένη· καὶ τοῦτο δὴ τὸ ἐξ ἀμφοῖν καθ' ἑκάτερον κληθήσεται υἱὸς θεοῦ.*
295 *Ἡ δέ γε παρθένος, ὥσπερ ἄνω τὸν ἀθρόον ὑπώπτευκεν ἀσπασμὸν καὶ ἐτετάρακτο, οὕτως ἐνταῦθα τοῦ ἀγγέλου πάντα διακριβώσαντος καὶ τῶν προρρήσεων ἀναμνήσαντος καὶ τὴν κάθοδον τοῦ λόγου σεμνύναντος καὶ τὴν ἀπόρρητον σύλληψιν καταγγείλαντος καὶ τὴν διὰ πατρὸς καὶ*

288 cf. Is. 4,6 et cf. Gen. 3,23 etc. **289–290** Luc. 1,35 **291–293** cf. Greg. Naz. or. 37,2 (PG 36,285 A 1–3)

282 *μόνου* post *τοῦ* add. Q *συνεισφέρουσι* Qo *συνεργοῦσι* de *τι* post *συνεισφέρουσί* add. Q **283** *πρὸς τὴν κάθοδον* om. de **287** *πάντοθεν* Qo *πανταχόθεν* de *τηρῶν τὸ ἱερὸν* Qo *τὸ ἱερὸν τηρῶν* de **289** *γεννώμενον* deQ *γενόμενον* o **290** *φύσις* dQo *κλῆσις* e **292** *αἱ* om. de **293** *καί*[2] om. de **293–294** *τοῦτο … τὸ* Qo *τούτων … τῶν* de **294** *ἑκάτερον* deo *ἕκαστον* Q *καὶ* post *κληθήσεται* add. de **295** *γε* om. Ju. *ἄνω τὸν* codd. *ἀνώτερον* Ju. *ὑπώπτευκεν* de *ὑπώπτευσεν* Q *ὑπώπτευεν* o **296** *ἐτετάρακτο* deQ *τετάρακτο* o **297–298** *τῶν – καὶ* om. o **298** *σεμνύναντος* de *μηνύσαντος* Q

υἱοῦ ἑτοιμασίαν αὐτῆς καὶ τὸν ἁγιασμὸν βεβαιώσαντος, 300
ἅμα δὲ καὶ χάριτος αὐτομάτως θείας αἰσθανομένη ἐπὶ τοῖς
λόγοις ὁμαλῶς τὰ εὐαγγέλια δέχεται· καὶ ὥσπερ θερά-
παινα πρὸς τὴν τοῦ μυστηρίου τελεσιουργίαν ὑποκλίνεται
τῷ δεσπότῃ, καὶ ἕτοιμος πρὸς τὴν ὑπερεσίαν καθίσταται.
ὡς εἴθε καὶ ἡ προμήτωρ Εὔα τοιαύτην ἐνεδείξατο τὴν 305
ἀκρίβειαν πρὸς τὴν ἐπαγγελίαν τοῦ ὄφεως. εἰ γὰρ ἠρωτή-
κει τίς ὢν τοιαῦτα πρὸς αὐτὴν φθέγγεται καὶ πῶς θηρίον
τε ἐστιν ἄλογον καὶ φωνὴν ἀνθρωπίνην προΐεται πόθεν τε
ἡ περὶ τῆς θεώσεως γνῶσις αὐτῷ καὶ πῶς ἐκεῖνο εἰδὼς
περὶ τὴν πρώτην ἐσφάλη φωνήν, εἰ ταῦτα πάντα πρὸς τὴν 310
καινὴν τοῦ ὄφεως ὁμιλίαν ἡ προμήτωρ διηκριβώσατο,
ἀπῆλθεν ἂν ὁ ὄφις καταισχυνθείς, μᾶλλον δὲ ὁ διὰ τοῦ
ὄφεως τὸν τοῦ θανάτου ἰὸν κατὰ τῆς προμήτορος ἀπεμέ-
σας. διὰ ταῦτα τοιγαροῦν τοῖς παλαιοῖς τὰ νέα ἀντεισενή-
νεκται, τῷ μὲν ὄφει ὁ ἄγγελος, τῇ δὲ ἐν λύπαις ὠδινη- 315
σάσῃ ἡ παρθένος καὶ μετὰ τὸν τόκον, τῷ δὲ Ἀδὰμ ὁ
Χριστός, καὶ γέγονε πάντα καινά, ἡ σύλληψις, ἡ ὠδίς, ὁ
τόκος, καὶ ἡ τῆς ἁμαρτίας προσθήκη εἰς τὴν χάριν τοῦ

313–314 cf. Greg. Thaumat. hom. I in annunt. (PG 10,1148 D 8–9) **315–316** cf. Gen. 3,16 **318** cf. Ap. 21,5

300 *υἱοῦ* deo *πνεύματος* Q **301** *αὐτομάτως* om. Q *αὐτομάτως θείας* qd *θείας αὐτομάτως* eo **303** *τὴν – τελεσιουργίαν* eQo *τὴν τελεσιουργίαν τοῦ μυστηρίου* d **303–304** *ὑποκλίνεται – ὑπηρεσίαν* om. edy lac. k ad finem **305** *τὴν* om. de **306–307** *ἠρωτήκει* de *ἠρωτήθη* Q *ἐρηροτήκει* o **308** *καὶ* post *τε* add. q **310** *πρώτην – φωνήν* deo *φωνὴν ἐσφάλη τὴν πρώτην* Q **311** *καινὴν* deQo *κοινήν* q **315** *λύπαις* deo *λύπῃ* Q **316** *τὸν* om. deq **317** *τὰ* post *γέγονε* add. de **318** *χάριν* deQo *χαρὰν* y

θεοῦ ἐπερίσσευσε καὶ ὁ θάνατος ἀθανασίας πρόξενος
320 *γέγονε.*

Σὺ δέ μοι δέξαι τοῦ καιροῦ τὸ δῶρον καὶ τὴν σύλληψιν θαύμασον ὁμοῦ καὶ ἐνέργησον καὶ συλλαβὼν τὸν λόγον ἄνευ ὠδίνων ἀπότεκε· ἀλλὰ καὶ τὴν σύλληψιν διακρίβωσον καὶ δέξαι μετὰ φιλοσοφίας τὰ εὐαγγέλια. ἂν μὲν γὰρ ἀλη-
325 *θεύῃ, ὑπόδεξαι· ἂν δὲ ψεύδηται, ἀποπήδησον καὶ γυμνάσθητι τὰ αἰσθητήρια τῆς ψυχῆς πρὸς διάκρισιν τοῦ χείρονος καὶ βελτίονος. οὕτω γὰρ καθαρῶς συλλήψῃ θεὸν καὶ ὠδινήσεις ἐν τῷ νοῒ καὶ ἀποτέξεις κατὰ καιρὸν καὶ οὐκ ἀπατηθήσῃ πρὸς τὰ εὐαγγέλια ἀλλὰ μετὰ κρίσεως*
330 *λογισμοῦ ἐγκυμονήσεις τὸν λόγον ἐν αὐτῷ τῷ λόγῳ, Χριστῷ Ἰησοῦ, τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

318–320 cf. [Ioann. Chrys.] de ieiun. (PG 62,736.56) et Ioann. Chrys. de precat. II (PG 50,784.55) et [Ioann. Chrys.] in omn. sanct. 173a (ed. K. I. Dyobouniotes *Ἐκκλησιαστικὸς Φάρος* 9[1912],303.23) **325–327** Hebr. 5,14

319 *ἀθανασίας* dQo *ἀθασίας* e **321** *καὶ* post *δέξαι* add. Q **322** *θαύμασον ὁμοῦ καὶ* deQ *ὁμοῦ θαύμασον καὶ* o **324–325** *ἀληθεύῃ* deQo *ἀληθεύει* q **330** *ἐγκυμονήσεις* dQo *ἐγκυμονήσῃ* e *τῷ λόγῳ* dq om. eQo **331** *Ἰησοῦ* om. Q *ᾧ ἡ δόξα* edQ *ᾧ πρέπει πᾶσα δόξα* o *καὶ τὸ κράτος* post *δόξα* add. d (cf. Ap. 1,6 etc.) *τιμὴ καὶ προσκύνησις* post *δόξα* add. o (cf. Ap. 4,9 etc.) *σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνευματί, νῦν καὶ ἀεὶ καὶ* post *κράτος* aut *προσκύνησις* add. d et o **331–332** *τῶν αἰώνων* om. e

ORATIO IN CRVCIFIXIONEM (A)

Cum Paulus Gautier huius orationis caput quodque particulatim descripserit gallica lingua usus (REB 49 [1991] 16–24), hoc in loco summatim breviterque oratio describitur.

Crucifixionis mysterium et inexplicabile et gravissimum, quod genus humanum servavit atque exemplum vitae christianae praebet (4–103). nam deus primo hominem cum corporalem tum incorporalem creavit, ut ratio corpus regeret (104–167). Psellus autem animo fingit qualem vitam homo in paradiso egerit (168–237), deinde exprimit quo modo Adam Hevaque a malevolo sollicitati cecederint atque vicerit genus humanum malitia (238–322). sunt qui tamen ad deum accesserint, moti sancto a spiritu, Henoch, Noe, Isaac, Iacob, Ioseph, Moyses, Iosue, Elias, Eliseus, Samuel, David Iosiasque, errorem fugientes et multis salutem afferentes (323–512). sancta autem trinitas non prius patefacta est, quam verbum incarnatum est, Iesum virgine pariente (513–615). Iesus deinde, baptizatus et purgatus, non solum miraculum Cana galilaeae perfecit, ut significaret humanae naturae commutationem, sed etiam multos aut morbis aut daemonibus liberavit atque Lazarum peritum excitavit (616–686). quibus igitur miraculis Iudaei magnopere invidentes et suum dominum non agnoscentes, de interficiendo Iesu coniuraverunt (687–757). cena ultima deinde significavit Iesu Christi immolationem, quem Iudas Iudaeis prodidit, simul et hominem et deum (758–817). qui omnia autem in crucifixione passus est, ut homines serva-

ret, cum omnes discipuli Petro Ioanneque exceptis fugerent (866–995). sed quod Iesum negavisset Petrum paenituit, qui lacrimans errorem vicit (996–1013).

ORATIO IN CRVCIFIXIONEM (B)

Decet nos Christi crucifixi passionis participes fieri, cum ille omnia pro nobis passus sit, quemadmodum vates praedixissent (2–55). nam Iesu crucifixo, saxa fracta sunt, velum templi scissum est, corpora sanctorum surrexerunt, atque luna contra naturam se movens, solem obscuravit, quod miraculum isto Iosue maius fuit (56–132). sed quamquam natura Iesum suum dominum accepit, Iudaei eum spreverunt, atque angeli plerique deum incarnatum nesciverunt (133–185). Maria tamen deipara cum Ioanne discipulo dolens, Iesum consolata est, superior virtute quam omnes, quae in templo Symeonis oraculum accepit (186–267). latronum autem crucifixorum alter paenitens, Iesu regnum agnovit et paradisi promissum recepit (268–358). tres tamen linguae in cruce inscriptae res maiores significant (359–378). cum autem Iesus voluntarius mortuus esset, Iudaei etiam nunc inimici corpus perfoderunt, et aqua vitae profluit (379–442). et Ioseph arimatheus deinde et Nicodemus Iesum sepeliverunt (442–457).

Omnium dierum festorum qui salutem afferunt, Passio maximum mysterium est, quia nobis virtutis exempla quodque illis in diebus ab Iesu factum praebet (458–614). cum Iesus humana specie indutus formam accepisset, crucifixus depingi potuit (615–641). Psellus deinde crucifixionis simulacrum describit, in quo Iesus mortuus est (642–755), deipara debilis sed recta stat

(756–771), Ioannes suam aurem tenens, Iesum non intuetur (772–800), atque Gabriel una ex parte, altera ex parte Michael adsunt, aliis angelis et descentibus et in caelum ascentibus (801–842). quod simulacrum egregium et sui generis Psellus habet, quia mobile et vivum esse videtur (843–879). qui autem Iesum crucifixum consideret, in caelum tandem aliquando ascendet (880–894).

Occasio orationis huius fortasse fuit dies festus Crucifixionis.

3. Λόγος εἰς τὴν σταύρωσιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ

A

Τὸν τοῦ σταυροῦ λόγον ὁ μὲν θεῖος ἀπόστολος τοῖς μὲν ἀπολλυμένοις μωρίαν τίθεται, τοῖς δὲ σῳζομένοις δύναμιν 5 *θειότεραν καὶ κρείττονα, σοφῶς ἐκεῖνος διελὼν καὶ κατὰ τὸ μέτρον τοῦ ἐκείνῳ πνεύματος· ἐγὼ δὲ πᾶσιν ἀνθρώποις*

4–6 cf. I Cor. 1,18

B 88ᵛ–101ʳ; O 250ᵛ–262ʳ; w 195ʳ–209ᵛ – Gautier 25–66. Cum B et w concinunt, lectionem B solam reportavi. 1 *λόγος τοῦ αὐτοῦ μακαριωτάτου καὶ σοφωτάτου ὑπερτίμου τοῦ Ψελλοῦ εἰς τὴν σταύρωσιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἔστι δὲ καὶ οὗτος τῶν πάνυ ἐξαιρέτων* B *τοῦ αὐτοῦ – Ψελλοῦ· λόγος εἰς – ἐξαιρέτων* w *τοῦ σοφωτάτου Ψελλοῦ· λόγος εἰς τὴν ὕψωσιν τοῦ τιμίου σταυροῦ* O

6 *σοφῶς* Ow *σοφὸς* B   7 *ἐκείνῳ* O *ἐν αὐτῷ* B

ἅμα ὑψηλοτέροις τε καὶ ταπεινοτέροις καὶ σοφίας τῆς ὑπερτέρας κατέχουσιν ἢ ἄρτι τελειοτέροις καὶ συναγομέν-
10 οις πρὸς τὰ θειότερα, τοῖς τε ὀξυτέροις τὴν σύνεσιν καὶ ἀκριβεστέροις τὴν φρόνησιν, καὶ ἁπαξαπλῶς σύμπασιν, ἀκαταληπτὸν ὁμοῦ καὶ ἀνέκφραστον ἀποφαίνομαι· εἰ γὰρ καὶ ὁ σύμπας τῆς οἰκονομίας σκοπὸς τέλος τοῦ μυστηρίου τὴν σωτηρίαν τῆς ἡμετέρας ποιεῖται φύσεως καὶ τὰ καθ'
15 ἕκαστον δὲ τῷ λόγῳ οἰκονομούμενα τὴν πρὸς τοῦτο συνεισφέρει συντέλειαν, ἀλλ' ὅ γε τρόπος αὐτῶν ἀνεννόητος, μὴ ὅτι γε ἡμῖν τοῖς δεσμίοις τοῦ σώματος, ἀλλὰ καὶ ταῖς ἀσωμάτοις καὶ ἀΰλοις, ἵν' εἴπω, δυνάμεσι· πλὴν πρὸς μὲν τὰ σεμνότερα τῆς οἰκονομίας καὶ οἷον εἰπεῖν τιμιώτερα,
20 ἥδιόν τε προσπεφύκαμεν καὶ προσφυῶς ἕκαστον τῶν γινομένων θαυμάζομεν, τὴν ἄνευ ἀνδρὸς τοῦ λόγου σύλληψιν, τὴν ἄνευ ὠδίνων γέννησιν, τὴν τοῦ καινοῦ ἀστέρος ἀνατολήν, τὴν ἔμψυχον ὁδηγίαν τῶν ἑπομένων, τὴν τῶν Μάγων δωροφορίαν, τά τε ἄλλα καὶ τῶν θαυμάτων τὴν δύναμιν·
25 οἷς δὲ τῆς ἡμετέρας ἐλευθερίας αὐτὸς ὁ λόγος τῷ οἰκείῳ προεκινδύνευσε σώματι, ὁμοῦ τε δυσχερῶς ἔχομεν καὶ ἀντιθεῖναι λόγον ἰσόμετρον τῷ ὕψει τῆς ἐκείνου συγκαταβάσεως ἐξαποροῦμεν παντάπασι· τὰ μὲν γὰρ τῶν θαυμάτων ὕψη καὶ τὰ καινὰ τῆς χάριτος παραγγέλματα, αἵ τε τῆς
30 μορφῆς ἀστραπαί τε καὶ χάριτες καὶ αἱ λαμπραὶ μαρτυρίαι, τά τε οὐράνια κάλλη καὶ αἱ καινοτομίαι τῶν φύσεων, κατάλληλα καὶ οἰκεῖα τῷ ἐκείνου κάλλει τε καὶ μεγέθει καὶ ἀξιώματι· τὰ δέ γε ἀντίθετα τούτοις παθήματα, ἡ ἀρ-

8 καὶ[2] om. B **9** κατέχουσιν BO μετ- w **9–10** τελειοτέροις καὶ συναγομένοις O τελειουμένοις καὶ ἀναγ- B **10–11** ὀξυτέροις ... ἀκριβεστέροις Ow -ας ... -ας B **15** δὲ om. w **18** ἀσωμάτοις BO ἀνωτάτοις w δυνάμεσι B δύναμιν O **29** τῆς[2] bis B **32** ἐκείνου Ow ἐκείνῳ B **33** καὶ post παθήματα add. w

ρητος συγκατάβασις, καὶ ἡ ἄτρεπτος τοῦ πατρὸς πρὸς τὸν υἱὸν ἐγκατάληψις, τά τε ῥαπίσματα καὶ τὰ κολαφίσματα, 35 *ἥ τε τῶν χειρῶν ἔκτασις καὶ οἱ ἧλοι καὶ ὅσα τούτοις προσόμοια, ἐκείνῳ τε ὑπεναντία δοκεῖ πρὸς τὸ μεγαλεῖον τῆς φύσεως καὶ τὴν ἡμετέραν ὑπερεκπλήττει διάνοιαν.*

Καὶ οὐδεὶς ἄν ποτε γνοίη τὸν ἀκριβῆ τρόπον τῆς τε τοῦ λόγου ἐνανθρωπήσεως καὶ τῆς ἡμετέρας θεώσεως, εἰ μὴ 40 *πρὸς ἕκαστον τῆς οἰκονομίας μυστήριον παραμετρήσειεν ἑαυτόν, νῦν μὲν μεταμορφούμενος, νῦν δὲ σταυρούμενος, νῦν δὲ ἀνιστάμενος. σταυρώσωμεν οὖν ἑαυτούς, ἵνα τὸν σταυρὸν τοῦ κυρίου κατανοήσωμεν, καὶ ὑψωθῶμεν ἀπὸ τῆς γῆς, ἵνα τὸν ὑψωθέντα ἐπὶ τοῦ ξύλου δυνηθῶμεν* 45 *ἰδεῖν· εἰ γὰρ καταβέβηκεν ἐπὶ τὴν γῆν, ἵν' ἐντεῦθεν ὑψωθῶμεν ἡμεῖς, πῶς οὐ συνανυψοῦσθαι δέον ὑψουμένῳ καὶ πρὸς ἑαυτὸν ἡμᾶς λόγῳ καὶ παραδείγματι ἕλκοντι; καὶ εἰ τοῖς ἐναντίοις ἀποδιδόναι τὰ ἐναντία παρὰ τοῦ λόγου κεκελεύσμεθα καὶ τῇ ἐξ οὐρανοῦ τοῦ θεοῦ καταβάσει τὴν* 50 *ἀπὸ γῆς ἡμῶν ἀνάβασιν ἀντιτιθέναι σαφῶς προστετάγμεθα, πῶς οὐχὶ μᾶλλον τὸν τῆς ἰσότητος λόγον φυλάξομεν, αἰρομένῳ τῷ λόγῳ συνεπαιρόμενοι καὶ συσταυρούμενοι σταυρουμένῳ καὶ νεκρουμένῳ κατὰ τὸ παράδειγμα συννεκρούμενοι καὶ συνθαπτόμενοι θαπτομένῳ, ἵνα καὶ ἀνιστα-* 55 *μένῳ συναναστα ίημεν; πόσης γὰρ ἂν ἄξιοι κατακρίσεως εἴημεν, εἰ ὁ μὲν θεὸς ὢν καὶ δεσπότης ὅλην τὴν τοῦ δούλου*

35 cf. Matt. 26,67 **48–50** cf. Matt. 22,21 **50–52** cf. Io. 3,13

34 *συγκατάβασις* Ow *βούλησις* B **35** *ἐγκατάληψις* Ow *συγκατάβασις* B **39** *ἄν ποτε* O *πώποτε* B **49** *παρὰ* O *περὶ* B **51** *ἀντιτιθέναι* Ow *ἀντιθέναι* B **53** *αἰρομένῳ* BO *αἰρου-* w

μορφὴν ἐνεδύσατο καί, ἵνα τὴν ἐλευθερίαν ἡμῖν μνηστεύσηται, ἑαυτὸν ὑπὲρ ἡμῶν ἀντίλυτρον δέδωκεν καί, ἵνα
60 *προσηλώσῃ τὴν ἡμετέραν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, τὰς ἀχράντους αὐτοῦ χεῖρας τῷ ξύλῳ προσήλωσε καί, ὅπως ἂν αὐτοῖς τοῖς νεκρωθεῖσιν ἐμπνεύσῃ ζωήν, θάνατον κατεδέξατο, ἡμεῖς δὲ μήτε τοῦ παλαιοῦ πταίσματος ἀνιστάμεθα, μήτε σταυροῦμεν τὸ σῶμα,*
65 *ἐγκρατῶς διὰ τῶν πρακτικῶν ἀρετῶν τοῦτο πιέζοντες, μήτε τὴν ἐκείνου μιμούμεθα νέκρωσιν, ἀλλὰ τὴν μετὰ τοῦ σώματος ζωὴν ἀσπαζόμεθα, οὐκ ἀπολύοντες τοῦ πικροῦ τούτου δεσμοῦ τὴν ψυχήν, ἀλλ' ἐξεπίτηδες καταδεσμοῦντες αὐτὴν καὶ συσφίγγοντες;*
70 *Καὶ ὁ μὲν ἐξ οὐρανοῦ καταβέβηκεν, ὃν οὐ καταβέβηκε καταβάς, καὶ αὖθις πρὸς τὸ ἑαυτοῦ ὕψος ἀνέδραμεν, ὃ δὴ κατελήλυθεν ἔχων καὶ οὗ μηδὲ κατὰ βραχὺ τῇ οἰκείᾳ φύσει ἠλάττωτο, ἵν' ἡμᾶς ἐξέληται τῆς αἰχμαλωσίας καὶ πεπραμένους ὑπὸ τὴν ἁμαρτίαν ἐξαγοράσῃ. ἡμεῖς δὲ καὶ τὴν*
75 *οἰκονομίαν αὐτὴν τῆς πρὸς ἡμᾶς ἀφίξεως ἐοίκαμεν ἀγνοεῖν, μήτε τὴν γέννησιν ἐκπληττόμενοι, μήτε τὴν ὑπερφυῆ θαυμάζοντες νέκρωσιν· πῶς μὲν σαρκὶ κεχώρητο ὁ ἀχώρητος τῷ παντί; πῶς δὲ καὶ μετὰ θάνατον ἀχώριστος ταύτης μεμένηκε, καὶ ἔτι πρὸ τούτου πῶς σταυρὸν κατα-*

57–58 cf. Phil. 2,7 **59** cf. I Tim. 2,6 **59–61** cf. Gal. 5,24 **64–65** cf. Psell. de omn. doct. 66–81 **73–74** cf. Rom. 7,14 **79–80** cf. Gal. 3,13

58 *ἡμῖν* O *ἡμῶν* B **62** *αὐτοῖς* O *ἡμῖν* B **64** *πταίσματος* O *πτώματος* B **67** *δὲ* post *σώματος* add. O **68** *ἐξεπίτηδες* codd. *ἐπὶ τόδε* Gtr. **69** *καὶ συσφίγγοντες* BO *κατασφίγγομεν* w **75** *ἐοίκαμεν* BO *ἔοικεν* w **78** *δὲ* om. w

κέκριται καὶ κατάρα ὑπὲρ ἡμῶν γίνεται, ὁ πάσης ἡμᾶς 80
κατακρίσεως ἐξαιρούμενος καὶ τὴν παλαιὰν ἀρὰν λύων, τὸ
τῆς παραβάσεως ἐπιτίμιον; εἰ γὰρ καὶ κέκρυπται τὸ τῆς
οἰκονομίας μυστήριον καὶ ὁ ἐξ ἀνατολῶν πρὸς ἡμᾶς ἐληλυ-
θὼς λόγος ἀθέατος μᾶλλον μεμένηκεν, κρύψας ἑαυτὸν τῷ
προβλήματι καὶ ὁμοῦ προϊών τε καὶ ἀνεκφοίτητος τῆς οἰ- 85
κείας μεμενηκὼς κρυφιότητος, ἀλλὰ διαλάμπει, εἰ καὶ μὴ
ἀκριβέστερόν τε καὶ τελεώτερον, ἀλλὰ κατὰ τὴν ἀνάλογον
τῶν θεωρεῖν βουλομένων γνῶσιν καὶ δύναμιν.

Ἀποθώμεθα οὖν τὸ παχὺ προκάλυμμα τῶν ψυχῶν, ἵνα
τὸν τῆς δικαιοσύνης θεασώμεθα ἥλιον, ὥσπερ ἐπὶ μέσον 90
τοῦ σταυρικοῦ ἱστάμενον σχήματος καὶ κύκλοσε τὰς ἀκτῖ-
νας ἐπαφιέντα καὶ τὸν κόσμον σύμπαντα καταυγάζοντα.
ὥσπερ γὰρ ὑπὸ γένεσιν γέγονεν, ἵνα γενέσεως ἡμᾶς ἀπολύ-
σηται, καὶ ἐβαπτίσατο, ἵνα τὴν ἡμετέραν φύσιν καθάρῃ
μολυνθεῖσαν τοῖς πάθεσι, οὕτω δὴ καὶ σταυρὸν κατεδέ- 95
ξατο, τοῦτο μέν, ἵνα προσηλώσῃ τὴν ἐμὴν ἁμαρτίαν ἀπὸ
τοῦ τῆς γνώσεως ξύλου φανεῖσαν, τῷ τῆς ζωῆς ξύλῳ διαρ-
ρυεῖσαν, τοῦτο δέ, ἵνα καὶ ὑπόδειγμα ἡμῖν γένηται τῆς
κατὰ τῶν παθῶν γενναιότητος καὶ τὴν ἀνειμένως ἐκταθεῖ-
σαν χεῖρα ἐπὶ τῇ μεταλήψει τοῦ ἀπηγορευμένου φυτοῦ τῷ 100
τε γενναίῳ τῆς ἐπὶ τοῦ σταυροῦ τάσεως συσφίγξῃ τε ἅμα
καὶ ῥώσῃ καὶ πρὸς τὴν τῶν καλῶν μόνην ἐργασίαν
προχειροτέραν ἐργάσηται.

89–90 cf. Malach. 3,20 et apolytikon ad 25 Dec. in Menaea ed. Rom., 1888, II 660 = apolytikon in Horologion, Athen., 1977, 312 **96–97** cf. Gen. 2,9

80 *ἡμᾶς* Ow *ἡμῶν* B **80–81** *ἡμ. κατα.* BO *κατα. ἡμ.* w **86** *μὴ* Ow om. B **90** *μέσον* BO *μέσου* w **93** *γένεσιν* BO *γέννησιν* w **98** *δέ* Ow om. B **99–100** *ἐκταθεῖσαν* Ow *ἐγκαταθεῖσαν* B **102** *μόνην* Ow om. B

Ἦν γὰρ ὅτε θείαν καὶ ἀπαθεστάτην ἐζῶμεν ζωὴν ταῖς
105 *θείαις δυνάμεσι μετὰ τῶν ἀσωμάτων συναριθμούμενοι, καὶ τελευταῖοι πλασθέντες τῆς κτίσεως τὴν πρώτην σχεδὸν εἴχομεν τάξιν ἢ τό γε δεύτερον μετὰ τῶν πρώτων συνδιήγομεν φύσεων, θεωροὶ σὺν ἐκείναις τῶν ὑπὲρ φύσιν γινόμενοι, ὥσπερ ἐν ἱερῷ τεμένει τῆς ψυχῆς ἡμῶν ἐγχ-*
110 *ορευούσης τῷ σώματι καὶ οὐ μᾶλλον ὑπ' ἐκείνου πρὸς τὰς θείας ἐμποδιζομένης ἐλλάμψεις ἢ ἐκεῖνο πρὸς θεὸν ἀναγούσης καὶ ὡς ὀργάνῳ μόνῳ χρωμένης πρὸς τὴν τῶν καθηκόντων ὑπηρεσίαν· ἔδει γὰρ ἀσωμάτων παραχθεισῶν καὶ αὖθις σωματικῶν φύσεων εἶναί τινα καὶ μεσότητα τὴν*
115 *τὰ ἄκρα συνδέουσαν. διὰ ταῦτα θαυμασίως ἑνοῖ τὰ ἐναντία ὁ θεὸς καὶ ψυχὴν συζεύγνυσι σώματι καί, ὥσπερ παρ' ἑκατέρου τῶν ἄκρων τὸ ἀναλογοῦν μέρος λαβών, ζῷον ὑφίστησι σύνθετον, σωματικὸν ὁμοῦ καὶ ἀσώματον, ἀθάνατον καὶ θνητόν, πᾶσιν ἀφωμοιωμένον τοῖς τῆς κτίσεως*
120 *μέρεσι, ψυχῇ μὲν ἀγγέλοις καὶ ταῖς ὑπερτέραις δυνάμεσι, σώματι δὲ οὐρανῷ καὶ τοῖς τοῦ κόσμου στοιχείοις, ἵνα μηδενὸς τῶν ἁπάντων ἐλλείπῃ, δι' αὐτοῦ δὲ καὶ τὰ χείρονα τῇ πρὸς τὰ κρείττω συμμίξει βελτίονα γένηται. κεκόσμηται γοῦν ἡ μὲν ὕλη ταῖς ποιότησι καὶ ταῖς σωματώσεσι, τὸ*
125 *σῶμα δὲ ταῖς αἰσθήσεσι, καὶ αὖθις ἡ κατὰ ταύτας ζωὴ ἑτέρᾳ φύσει βελτίονι, κἀκείνῃ κρείττονι καὶ ἡ μὲν ἀλογωτέρα φύσις πρὸς τὴν λογικὴν συντέταται ψυχήν, ἡ δὲ πρὸς νοῦν ἀφωμοίωται καὶ οὕτως ἀνατρέχει πρὸς τὴν τῶν πάντων ἀρχήν.*

130 *Οὐ τοίνυν κακὸν τὸ σῶμα τῷ γένει πέπλασται, ὁπηνίκα καὶ διὰ τὴν παράβασιν τὸ τῆς ὕλης αὐτῷ ἀνεφάνη αἶσχος καί τινα ἐντεῦθεν πρὸς ἀρετὴν ἔσχηκεν ἐναντίωσιν· εἰ δὲ*

108 *τῶν* O *ταῖς* B **111** *ἐλλάμψεις* Ow *ἐλλάμψεως* B *ἐκεῖνο* Ow *-ω* B **116** *ὁ* om. B **122** *ἁπάντων* O *πάντων* B

μὴ νῦν ὦπται κακόν, ἀλλ' ὑποτέτακται τῇ ψυχῇ πρὸς τὴν φυσικὴν ταύτης ἐνέργειαν. ὁποῖον τότε τῷ προπάτορι προσεπλάσθη, ὁ λόγος δίδωσιν ἐννοεῖν. ἐξήπλωτο μὲν οὖν 135 *οὐρανὸς καὶ πρὸς ἑαυτὸν αὖθις συνέστραπται καὶ παντοδαποῖς κάλλεσιν ἄστρων κατακεκόσμηται, ἀλλ' ἄμοιρος θειοτέρας ἐγεγόνει ζωῆς καὶ κρείττονος παντάπασιν ὁμιλίας ἀμέτοχος, τῷ πλάτει μόνον καὶ τῷ μήκει καὶ τῇ λοιπῇ διαστάσει μεγεθυνόμενος καὶ τοῖς τῶν ἄστρων ἐξα-* 140 *στράπτων κάλλεσι καὶ τῇ ποικίλῃ τούτων δᾳδουχίᾳ, ἵν' οὕτως εἴπω, ἐνσεμνυνόμενος. πῦρ ταύταις ὑπέστρωτο καὶ ἀὴρ ὑπ' ἐκείνῳ κατεκέχυτο καὶ θάλασσα πελάγεσι καὶ κόλποις διέρρει καὶ γῆ ἐπὶ πᾶσι μετέωρος, οὕτως εἰπεῖν, κατερρίζωτο· καὶ πάντα θαυμάσια καὶ καθ' ἑαυτὰ καὶ πρὸς ἄλ-* 145 *ληλα, ἐκεῖνο τῇ φύσει, τοῦτο τῇ ἁρμονίᾳ καὶ τὸ μὲν τῇ ὑποστάσει, τὸ δὲ τῇ συμφωνίᾳ. καὶ κύκλον αἱ ὧραι συστησάμεναι ἐχόρευον σὺν ἀλλήλαις καὶ περιέθεον, ὥσπερ δὴ καὶ νῦν νόμος αὐταῖς· ἀλλ' οὐδὲν τούτων ψυχῇ κατεκεκόσμητο λογικῇ, οὐδὲ διὰ γνώσεως πρὸς θεὸν ἔστραπτο,* 150 *οὐδὲ μετὰ τῶν ὑπερτέρων ἀρχῶν τὴν ἐξῃρημένην ἐγνώριζε πάντων ἀρχήν· ἀλλὰ τὸ λογικὸν ζῷον, ὁ ἄνθρωπος, ὅσον τῷ μεγέθει τῶν τοιούτων σωμάτων ἐλείπετο, τοσοῦτον τῇ δυνάμει τοῦ λόγου πρὸς τὰς σωματικὰς ἐκείνων διαστάσεις ἀντήριζε· καὶ τὸ μὲν ὑπερμέγεθες σῶμα τῆς γῆς, αὐτοῦ* 155

152 cf. Chrysipp. Stoic. de affect. 3,95.10–11 von Arnim

135 *προσεπλάσθη* BO *πέπλασται* w *οὖν* Ow om. B 142 *ἐνσεμνυνόμενος* Ow *ἐν-* om. B *ταύταις* O *τούτῳ* B 145 *καθ' ἑαυτὰ* Ow *πρὸς ἑαυτὸν* B 147 *τὸ δὲ* B *τοτὲ* O *συμφυίᾳ* corr. s.l. *συμφωνίᾳ* w 149–150 *κατεκεκόσμητο* w *κατακε-* BO 150 *ἔστραπτο* Ow *ἐστράπετο* B 152 *ὅσον* OB *ὅσῳ* w 155 *ὑπερμέγεθες* B *ὑπερμέγεθος* O *ψυχῆς* post *τῆς* add. O

δήπου ἐτέτακτο, οὗπερ ἐρρίζωται, καὶ τὸ ὕδωρ τὴν κατὰ φύσιν εἶχε φοράν, καὶ τὸ ὑπὲρ ἐκεῖνο σῶμα οὐδέν τι πλέον τῆς φυσικῆς ἐπενοεῖτο δυνάμεως. ἀλλὰ καὶ πῦρ καὶ ἄστρα καὶ σύμπας ὁ οὐρανός, ὁ μὲν τῆς κύκλῳ φορᾶς εἴ-
160 *χετο, τῶν δὲ τὰ μὲν ἵστατο, τὰ δὲ τῷ παντὶ συγκινούμενα καὶ ἀντικινούμενα τὴν ἐκ τῶν ἐναντίων ἁρμονικωτάτην ἀπέσῳζε σύγκρασιν· ὁ δέ γε ἄνθρωπος τοὺς μὲν πόδας ἐπὶ γῆς ἤρειδεν, τὴν δέ γε κεφαλὴν πρὸς αὐτὸν ἀντήρειδεν οὐρανόν, μᾶλλον δὲ τῷ ὕψει τῆς δοθείσης αὐτῷ παρὰ θεοῦ*
165 *γνώσεως καὶ αὐτὸν ⟨τὸν⟩ σύμπαντα κόσμον ὑπερεκπίπτων, ἐπὶ τὴν πρώτην φύσιν ἀνέτρεχε καὶ τὸ ἀθέατον κάλλος ἐφαντάζετο ἢ καθαρῶς ἐνωπτρίζετο.*

Καὶ βούλομαι μέν τι καὶ πλέον ἐρεῖν καὶ τοῖς ἐμοῖς ἐμπλατύνεσθαι διηγήμασιν, ἀλλ' ἐπέχει μου τὴν ἱστορίαν τὰ
170 *δάκρυα· ὧν γὰρ ἐκτὸς ἐγεγόνειν διὰ τὴν παράβασιν, τούτων ἐπὶ τῆς ἀλλοδαπῆς οὐχ οἷός τε εἰμι ἐνεγκεῖν τὴν ἀνάμνησιν. καὶ τό γε θαυμασιώτερον, καὶ παρασκευή μοί τις ἦν πρὸς θειοτέραν ὑποδοχὴν καί μοι ἐπεξενοῦτο πολλάκις τῆς ἡμέρας θεός, φοιτῶν εἰς τὸν θεῖον παράδεισον καὶ τό*
175 *τε γεωργούμενόν μοι χωρίον ἐπισκεπτόμενος καί μοι διδοὺς ὑποθήκας ἀκριβεστέρας γεωργίας καὶ μείζονος, ἵνα μοι τὰ φυτὰ θάλλῃ διηνεκῶς, ἀρδόμενα ταῖς νοερωτέραις πηγαῖς καὶ περικαθαιρόμενα ταῖς ἐπιμελεστέραις ζωαῖς καὶ ὑψούμενα ταῖς ἀκριβεστέραις τροφαῖς, καὶ μήτε τὸ φύλλον*

162–164 cf. Plat. Tim. 43 e 4–6 et Procl. in Plat. Tim. III, 343,18–346,3 Diehl

159 *οὐρανὸς* B *ἄνθρωπος* O **161** *καὶ ἀντικινούμενα* om. w **162** *τῆς* post *ἐπὶ* add. Gtr. **165** ⟨*τὸν*⟩ Gtr. **168** *τι* BO *τοι* w **169** *ἐπέχει* Ow *ἐπεῖχε* B **174** *τῆς ἡμέρας* om. B **179** *ἀκριβεστέραις* BO *ἀκριβεστέροις* w

τούτοις ἐλλείπῃ, μήθ' ὁ καρπὸς καταρρέῃ, ἀλλὰ πυκάζηται 180
πάντα καὶ τοῖς πετάλοις καὶ τῷ καρπῷ, ἵν' ὁμοῦ καὶ ὑπὸ
τὴν σκιὰν αὐτῶν ἀναπαύωμαι καὶ σιτῶμαι τῶν ἀκροδρύων,
ἠρέμα τῇ χειρὶ τούτων δρεπόμενος. ἐνεφορούμην δὲ καὶ
τῶν ἀκηράτων πηγῶν, προχεομένων ποταμηδὸν καὶ οὔτε
ἐπικλυζουσῶν με τῷ ῥεύματι, οὔτε ταραττουσῶν τῇ ἠχοῖ, 185
ἀλλ' ἡσύχως προχεομένων οἷον ἐλαίου ῥεῦμα ἀψοφητὶ
ῥέοντος. καὶ τῶν μὲν τοὺς λόγους κατενοούμην ὡς ἀπὸ
κρείττονος παραδείγματος (φημὶ δὴ τῶν σωματικῶν φύ-
σεων καὶ τῶν χειρόνων ζῴων) καὶ ἐνετρύφων ταῖς οὐρανί-
αις κινήσεσι, τοῖς τῶν ἄστρων κάλλεσι καὶ μεγέθεσι καὶ 190
ταῖς εὐτάκτοις τούτων προβάσεσί τε καὶ ἀναλύσεσι, στοι-
χείων φύσεσί τε καὶ μίξεσι καὶ τοῖς ἐκ τούτων συγκρίμασι,
τοῖς τε ἄλλοις καὶ ταῖς θαυμασίαις αὐτῶν ἀναλογίαις πρὸς
ἄλληλα. τοῖς δὲ ὥσπερ παραδείγμασιν ἐνητένιζον μείζοσι
καὶ ἐλάττοσιν, ὑψηλοτέροις καὶ ταπεινοτέροις, χερουβικοῖς 195
φημι τάγμασι καὶ ταῖς ἄλλαις δυνάμεσι καὶ ἀγγελικαῖς τά-
ξεσι καὶ συστήμασιν, ὑφ' ὧν ἢ μεθ' ὧν καὶ πρὸς τὴν πρώ-
την καὶ ἀνείδεον μορφὴν ἀναγόμενος, κατέπαυον μὲν τὸν
σφοδρὸν τῶν ἐλλάμψεων ἔρωτα, ἀκορέστως δέ, ἵν' οὕτως
εἴπω, τοῦ ἀκηράτου κάλλους ἐκείνου κατὰ τὸ πλῆρες τοῦ 200
ὑπὲρ νόησιν φωτὸς κορεννύμενος, ἄπαυστον ὁμοῦ καὶ πλη-
ρεστάτην εἶχον τὴν ἡδονήν.

Οὐκ ἦν δέ μοι κατὰ τὸ ἶσον δεδημιουργημένον ὁμοίωμα,
οὐδὲ ἐκ τοῦ αὐτοῦ κρατῆρος πλάσμα καὶ ποίημα τῆς ἴσης

185–187 cf. Dionys. Halic. Dem. 20,I p. 171,6–7 Usener-Rademacher

180 *ἐλλείπῃ* Gtr. *ἐλλείπ* BO *ἐλλείπει* w *μοι* post *ἐλλείπει* add. w *καταρρέῃ* Gtr. *καταρρέοι* codd. **182** *αὐτῶν* Ow om. B **189** *χειρόνων* om. B **191** *προβάσεσί* B *παρα-* O **194** *παραδείγμασιν* O *παραδείγματα* B **199** *τῶν ἐλλάμψεων* O *τῆς ἐλλάμψεως* B **200** *τὸ* Gtr *τοῦ* codd.

205 *ἐμοὶ μετέχον φύσεως· παραμυθεῖται γοῦν με καὶ ταύτῃ θεὸς καὶ διπλοῦν ἀνθ' ἁπλοῦ τίθησι καὶ ἀναπληροῖ τὴν φύσιν τῇ παραγωγῇ τοῦ ἐλλείμματος καὶ συνιστᾷ μοι τὸ γένος ἀκέραιον τῇ ποιήσει τοῦ θήλεος. καὶ ὁ τρόπος τῆς κτίσεως θαυμάσιος· οἷος; ἀφαιρεῖταί μοι ὕπνῳ τὴν αἴσθη-*
210 *σιν καὶ μίαν τῶν πλευρῶν ἠρέμα λαβών, ἐποικοδομᾷ μοι τὸ θῆλυ, καὶ διὰ τῆς καινῆς διαιρέσεως τὴν παραδοξοτέραν κατασκευάζει μοι ἕνωσιν, καὶ τὴν τοῦ μέλους ῥῆξιν φιλίας ἐργάζεται ἀφορμήν, καὶ οἱονεὶ δύο φωστῆρας ἐπὶ γῆς μίγνυσι τοῖς οὐρανίοις λαμπρῶς ἀντιλάμποντας, ἵν'*
215 *ἐπειδὰν πρὸς τὴν ἀκήρατον αὐγὴν τῆς ὑπερφυοῦς θεότητος ἀντωπεῖν μὴ δυναίμεθα, τῷ δεσμῷ ἀντισπώμενοι, μὴ ἐς ἄλλο τι τῶν ὑποδεεστέρων καταπίπτωμεν σωμάτων, ἀλλ' εἰς ἀλλήλους ὁρῶντες, ταῖς οἰκείαις ἐπαναπαυώμεθα φύσεσι, θεωροὶ ἀλλήλων ὄντες ἅμα καὶ κάτοπτρα.*
220 *Τοιοῦτος ὁ τρόπος τῆς προτέρας ἡμῶν παραγωγῆς καὶ ζωῆς, τοσαύτη περὶ ἡμᾶς ἡ φιλοτιμία τοῦ κτίσαντος, οὕτω καὶ τῶν κρειττόνων εἰχόμεθά τε καὶ ἀντειχόμεθα. καὶ συλλαβὼν εἴπω, πατὴρ μὲν ἡμῖν ὁ θεός· τολμήσω γὰρ καὶ τοῦτο εἰπεῖν, πατρὶς ἡ Ἐδέμ, πόλις δὲ ὁ παράδεισος,*
225 *μᾶλλον δὲ μητρόπολις τῶν ἄλλων συμπασῶν πόλεων, τῆς δὲ συγγενοῦς ἐκ μέρους φύσεως αἱ ἀγγελικαὶ ὑποστάσεις καὶ εἴ τις ταύτας ὑπεραναβέβηκε δύναμις, τρυφαὶ δὲ καὶ κάλλη τὰ μὲν νοητά, τὰ δὲ νοερά, καὶ τὰ μὲν ἀνείδεα, τὰ δὲ εἴδη αὐτόχρημα, τὰ δὲ ὅσα μετέσχηκε τῶν εἰδῶν τῶν*
230 *τε κρειττόνων καὶ τῶν χειρόνων, αἵ τε ὑπερκόσμιαι φύσεις*

209–211 cf. Gen. 2,21

205 *παραμυθεῖται* B *παρεμυθεῖτο* w *παραμυθεῖσα* O **213** *τῆς* post *ἐπὶ* add. w **216** *μὴ* om. O **222** *εἰχόμεθά* B *ἐχόμεθα* O **226** *δὲ* Ow *τοὺς* B **230** *τε*[1] om. O

καὶ ὅσα ἐγκόσμια, αἱ τούτων οὐσίαι, αἱ ὑπάρξεις, αἱ ἰδέαι, αἱ ἁρμονίαι, καὶ τὰ μὲν ὑπὲρ ἡμᾶς τῇ τε φύσει καὶ τῇ διαστάσει, ταῦτά τε καὶ ὅσα τοιαῦτα, τὰ δέ γε μεθ' ἡμῶν ἢ σὺν ἡμῖν, φυτῶν κάλλη παντοδαπά, ὅσα τε ὁ παράδεισος ἐκεῖνος εἴωθε τρέφειν καὶ ὁπόσα τοῦ τῆς ψυχῆς βάθ- 235 *ους ἐξανατέλλει καὶ ταῖς τῶν ἀρετῶν σεμνύνεται κλήσεσιν.*

Ἀλλὰ πολλοῖς μὲν καὶ ἄλλοις ὁ θαυμάσιος ἐκεῖνος ἐξήνθιστο χῶρος, ὧν οὔτε τὸ κάλλος οὔτε τὸ μέγεθος ἀξίως τις ἐπαινέσαι δυνήσεται, οὐκ ἔλαττόν γε ἢ τὰ ὑπερουράνιά τε 240 *κάλλη καὶ θαύματα καὶ τὰς μακαρίας ἐκείνας θέας, ἃς γένος ψυχῶν εὐδαιμόνων διέξεισι. δυσὶ δὲ μᾶλλον τῶν ἄλλων φυτοῖς καθωράϊστο, ὧν ὥσπερ ἡ γεῦσις θαυμασία καὶ κρύφιος, οὕτω δὴ καὶ ἡ κλῆσις συμβολικὴ καὶ ἀπόρρητος· τὸ μὲν γὰρ ὁ φυτεύσας αὐτὰ θεὸς ξύλον γνώσεως, τὸ δὲ* 245 *ζωῆς κατωνόμασε. καὶ τοῦτο μὲν οὐ διελεῖν, οὔτε τῷ πράγματι, οὔτε τῷ ὀνόματι, ἐκεῖνο δὲ καὶ τῇ ὑποστάσει διφυὲς ἀπειργάσατο καὶ τῇ προσηγορίᾳ διέστειλε, ξύλον μὲν ἐπονομάσας γνώσεως, ἀλλ' ἀγαθοῦ τε καὶ πονηροῦ, οὐκ οἶμαι κατὰ ταὐτὸ τὴν διπλῆν ἐμφυτεύσας τούτῳ ποιό-* 250 *τητα, ἀλλὰ πρὸς τοὺς διαφόρους καιροὺς μερίσας τὰς κλήσεις, ὡς οὐ κατὰ ταὐτὸ τῶν ἐναντίων τι ποιητικόν, ἀλλὰ παρὰ μέρος ἑκάστου μεταδοτικὸν τῷ λαμβάνοντι. ὅθεν καὶ*

238–242 cf. Nicetas Stethatos de paradiso, ed. J. Darrouzes, Opuscules et Lettres p. 154–226 **245–246** cf. Gen. 2,9 **253–254** cf. Gen. 2,17

231 *ἐγκόσμια* B *ἀκοσ-* O **240** *γε* Ow *τε* B *τε* B om. Ow **242** *ψυχῶν* Ow *πιστῶν* B **245** *αὐτὰ* Ow *αὐτοὺς* B **247** *καὶ* Ow om. B **249** *τῆς* pro *γνώσεως* add. B om. Ow

ἀπαγορεύει τοῖς γενεάρχαις τὴν τούτου μετάληψιν ὁ θεός,
255 *οὐ παντάπασι βουλόμενος ἀπεῖρξαι τούτους τῶν καρπῶν τοῦ τοιούτου φυτοῦ, ἀλλ' ἵν' ἐγγυμνασάμενοι τοῖς αὐτόθι ἐδωδίμοις καὶ ἀδιαφόροις, οὕτως εὐκαίρως ἐκείνου κατατρυφήσωσι καὶ οὐχὶ διφυοῦς, ἀλλὰ μονοειδοῦς ἀπογεύσωνται.*

260 *Τί οὖν τὸ μετὰ ταῦτα; βασκαίνει τούτοις ὁ πονηρός, τῆς ἀγγελικῆς ἤδη ἐκπεπτωκὼς τάξεώς τε καὶ στάσεως, καὶ βασκαίνει βασκανίαν – φεῦ – δεινὴν καὶ μισάνθρωπον· δεινὸν γὰρ ἄλλως ἐδόκει εἰ ὁ μὲν ἀΰλως καὶ ἀσωμάτως πλασθεὶς καὶ ἐπ' αὐτῶν τῶν οὐρανίων ἁψίδων ἱστάμενος*
265 *ταὐτὸν τοῖς σωματικωτέροις ἐπεπόνθει καὶ ὑλικοῖς, καὶ μεῖζον ἐπαρθῆναι τοῦ οἰκείου διανοηθεὶς ἀξιώματος, τῶν ὑπερτέρων ἀντύγων ἐπὶ γῆν ἐξωλίσθησεν, οἱ δέ γε προπάτορες, σύνθετος ὄντες φύσις καὶ τὸ μὲν πλασθέντες ἀπὸ χοός, τὸ δὲ εἰκόνι τετιμημένοι θεοῦ, εἰς τὴν τῶν θειοτέρων*
270 *μετουσίαν ἀνάγονται καὶ ὁμιλοῦσι τῷ κρείττονι καὶ τὸν ἐκείνου κλῆρον ὑπεράλλονται ἢ ἀναπληροῦσι, τὸ μετριώτατον. διὰ ταῦτα τὴν οἰκείαν ἀποκατάστασιν ἀπογνούς, ἐπὶ τὴν ἑτέρων σπεύδει κατάπτωσιν καὶ πολεμεῖ τῷ γένει, ἄντικρυς μὲν οὐδαμῶς οὐδὲ τυραννικῶς, δολερῶς δὲ καὶ*
275 *ἐπιβούλως – καὶ οἷος ὁ ἐκείνου τρόπος – ὑποψιθυρίζων ἠρέμα καὶ διὰ τῆς ἀκοῆς ἐγχέων τὸν τῆς κακίας ἰὸν ταῖς τῶν δεχομένων ψυχαῖς· οὐ γὰρ αὐτὸς δι' ἑαυτοῦ τοῖς*

267–269 cf. Gen. 2,7 et Gen. 1,27

254 *γενεάρχαις* BO *γενάρ-* w **257** *ἀδιαφόροις* Ow *ἀ-* om. B **264** *ἁψίδων* BO *ἀντύγων* w **267** *ἀντύγων* BO *ἁψίδων* w **268** *φύσις* w *φύσ* O *φύσεις* B **271–272** *μετριώτατον* Ow *μετριώτερον* B **275** *οἷος* Gtr. *οἷον* Ow *οἷο*[.] B

προπάτορσι πρόσεισιν – ἔγνωστο γὰρ δὴ ἐκείνοις τῷ θεοειδεῖ τῆς ψυχῆς καὶ τὸ εἶδος ὁποῖον δὴ τὸ ἐκείνου καὶ ἡ διὰ τῶν λόγων διπλόη καὶ τὸ ἀπατηλὸν τοῦ φρονήματος – 280
καὶ τὴν ὄψιν ὑποδύεται, οὐδὲ διὰ τούτου πειρᾶται πολιορκῆσαι τὸν βασιλέα τῆς κτίσεως, ἀλλὰ τὴν γυναῖκα πρότερον κατασείσας, καὶ τῷ κάλλει τοῦ διφυοῦς ἐκείνου καταθέλξας φυτοῦ, τῷ τε περὶ τούτου διατάγματι τοῦ θεοῦ ὑποψίαν βασκανίας καινοτομήσας τῇ Εὔᾳ, καὶ διχόθεν λα- 285
βών, οὕτως ἐπὶ τὸν Ἀδὰμ ἐπαφίησι, καὶ ἡ ἀπατηθεῖσα οὐκ ἀπατᾷ μέν, πείθει δὲ τὸν προπάτορα· καὶ τὰ ἐπὶ τούτοις – ἀλλὰ πῶς ἂν ταῦτα διηγησαίμην, μᾶλλον δὲ πῶς ἀξίως θρηνήσαιμι; συγχεῖταί μοι πρὸ τῆς διηγήσεως ἡ ψυχὴ οἷς ἐκ θεοῦ πρότερον εἴληφα, ἃ παρὰ τοῦ πονηροῦ 290
ὕστερον ἔσχηκα, ἀντιθεῖναι βουλομένῳ, δι' ἃ καὶ τῆς δεινοτάτης ἠξίωμαι κατακρίσεως.

Μεταλαμβάνουσι τοῦ καρποῦ οἱ προπάτορες, γυμνοῦνται αὐτίκα τῆς χάριτος, ἐπαισθάνονται τῆς γυμνώσεως, ἀφαιροῦνται τὰ θεῖα χαρίσματα, ἐπονειδίζονται παρὰ τοῦ θεοῦ 295
καὶ τὴν μετάληψιν καὶ τὴν ἐπίκρυψιν, στεροῦνται τῆς πρὸς αὐτὸν παρρησίας, ἐπιγινώσκουσιν οἷ κακοῦ τυγχάνουσιν ὄντες, τοῦ σώματος μεταλαμβάνουσιν ἔννοιαν καὶ τοῖς φυσικοῖς ὑποπίπτουσιν ἰδιώμασι, χιτῶνας δερματίνους ἐπαμ-

283–285 cf. Gen. 3,6–7 **294** cf. Gen. 3,7 **299** cf. Gen. 3,21

278 *δὴ* Ow om. B **278–279** *θεοειδεῖ* Ow *θεοδεῖ* B **281–282** *πειρᾶται πολιορκῆσαι* BO transp. w **283** *τε* post *τῷ* add. O **284** *διατάγματι* B *διάταγματ* O *διατάγματος* w **285** *καὶ* om. w **287** *ἀπατᾷ* O *ἀπατᾶτα* B *ἀπατᾶται* w *τὰ* om. w **288** *ἀλλὰ* om. B **294** *γυμνώσεως* Ow *γνώσεως* B **295** *τοῦ* om. w **297** *οἷ* B (cf. Soph. Ai. 1259) *οἱ* O *οἷον* Gtr **299** *δερματίνους* B *δερματίνας* O

300 *φιέννυνται καί, ἵνα συνελὼν εἴπω, ὁμοῦ τε τοῦ θεοῦ καὶ τοῦ τῆς ζωῆς ξύλου καὶ τοῦ παραδείσου διὰ τὴν παράβασιν ἀπελαύνονται.*

Καὶ οἱ μὲν ἐν τούτοις καὶ τοῖς ἔτι χείροσι, περὶ ὧν ὁ λόγος αὐτίκα ἐρεῖ· ὁ δέ γε πολιορκητὴς ἐκεῖνος ἢ κρύφιος 305 *τύραννος καὶ ἐπίβουλος, κατασκάψας αὐτοῖς τὴν πόλιν, ηὔχει λαβὼν αἰχμάλωτα σώματα, μᾶλλον δὲ μετὰ τῶν σωμάτων καὶ τὰς ψυχάς. καὶ οὕτως ἐξηνδραπόδιστο τὸ γένος ἡμῶν, ἅπαξ κατασεσεισμένων ἡμῖν τῶν ὀχυρωμάτων τῆς ἱερᾶς πόλεως, καὶ ἡ ἀπαγωγὴ βαρυτέρα καὶ τῆς ἁλώσεως* 310 *καὶ αὖθις μείζων ταύτης ἡ τυραννίς· πολυπαθής τε γὰρ ἡ ζωὴ καὶ τὸ ἐν αἰχμαλωσίᾳ γένος τικτόμενον ἅπαν καταδεδούλωτο, καὶ ἡ μετάδοσις τοῦ ἰοῦ διὰ τῶν ἐπιγιγνομένων εἰς τὸ σύμπαν γένος ἐκκέχυτο, καὶ ἡ τῆς ἡδονῆς παρέμπτωσις ἀνεπαισθήτους ἡμᾶς πρὸς τὴν τῆς κακίας* 315 *εἰργάζετο παρυπόστασιν, καὶ προϊὸν τὸ γένος ταῖς σειραῖς τῶν οἰκείων ἁμαρτημάτων ἔτι μᾶλλον ἐσφίγγετο, καὶ τῷ πλήθει τῶν ᾐχμαλωτισμένων ὁ αἰχμαλωτεύσας ἐπεκαυχᾶτο, καὶ δυοῖν τὸ πρῶτον ἡμαρτηκότων, φημὶ δὴ τῶν προπατόρων, ὡς καὶ τὴν ἴσην ἐκείνοις ψυχὴν ἐμπνεόμενοι καὶ* 320 *ἀπὸ τῆς αὐτῆς πλαττόμενοι γῆς, τὸ σύμπαν ἐκεῖθεν γένος τοῖς τε παρὰ θεοῦ ἐπιτιμίοις κατακεκρίμεθα καὶ ταῖς τοῦ πονηροῦ τυραννίσιν ὑποπεπτώκαμεν.*

Ἀλλ' εἰ καὶ ζόφον ἀντὶ φωτὸς κατεκρίθημεν καὶ ἀντὶ τῆς ἀπαθεστέρας ζωῆς τὴν ἐμπαθεστέραν εἱλόμεθα καὶ

319–320 cf. Gen. 2,7

302 *ἀπελαύνονται* B *ἀπελαύνωνται* O **311** *αἰχμαλωσίᾳ* Ow *αἰχμάλωσι* B **318** *δυοῖν* Ow *δυεῖν* B **326** *τῷ* post *ὥσπερ* add. B *δελεάματι* Ow *δελεάσματι* B **331** *ἐπὶ* Ow *ἐκ* B **333** *ἐπεγνώκεσαν* B *ἐνεγνώκεισαν* O

τοῖς τοῦ αὐτεξουσίου κινήμασι πρὸς τὴν κακίαν ηὐτομολή- 325
καμεν ὥσπερ δελεάματι χρωσθεῖσαν τῇ φαντασίᾳ τῆς ἡδο-
νῆς, ἀλλ' οὐδ' οὕτω παντάπασιν ἀπεληλάμεθα τοῦ θεοῦ
καὶ τῆς τοῦ ἀγαθοῦ ἐπιθυμίας ἐπελαθόμεθα, οὐδὲ ἴσχυσε
καθ' ἡμῶν ὁ διώκτης τοσοῦτον, ὥστε μετὰ τῆς γεωργίας
καὶ τὴν σπορὰν ἀφελεῖν τῶν ἡμετέρων ψυχῶν· ὅθεν καὶ 330
εἰς ὑπερορίαν ἀπαχθέντες, τῶν ἐπὶ τῆς πατρίδος καλῶν
ἐμεμνήμεθα, καὶ πολλοί γε τῶν ἐκ τοῦ γένους ἡμῶν μι-
κροῦ δεῖν οὐδὲ τὸν ὄλισθον ἐπεγνώκεσαν, ἀλλ' ὥσπερ ἐν
τῷ παραδείσῳ διάγοντες, θείας ἐκ πρώτης ἡλικίας ἠξιώθη-
σαν καὶ θεωρίας καὶ ὁμιλίας, καὶ τούτων οἱ μὲν ὡς ἐς οὐ- 335
ρανὸν ἐντεῦθεν μετέβησαν μετὰ τοῦ συμφυοῦς σώματος, οἱ
δὲ καὶ εἰς τὸν παράδεισον μετηνέχθησαν, ἔνιοι δὲ τούτων
καὶ τῇ ἐς τὸ ἀφανὲς μεταστάσει τετίμηνται.

Τί δὲ μὴ λέγω ἐφ' ὁπόσοις καὶ τὸ θεῖον ἀδιαιρέτως
πνεῦμα διῄρηται, τῶν μὲν ἀνακινοῦν τὴν ψυχὴν εἰς ὑψηλο- 340
τέρας θεωρίας καὶ μείζονας, τοῖς δὲ παιδαγωγοῖς τῶν κα-
ταδεεστέρων πρὸς τὰ κάλλιστα χρώμενον, τοῖς δὲ δημα-
γωγοῖς καὶ προστάταις καὶ ἐθνῶν ὅλων καθηγηταῖς, καὶ
ἑτέροις μὲν τὰς τῶν μελλόντων ἐμπνέον προρρήσεις, τῶν
δὲ τὰς γλώσσας διοργανούμενον εἰς τὰς τῶν ἀρρητοτέρων 345
ἐκφαντορίας, καὶ ἄλλων τοὺς νοῦς ἀναπτύσσον εἰς τὰς ὑπ-
οδοχὰς τῶν ἐλλάμψεων, καὶ ὅλον τὸ ψυχικὸν ἀνορύττον
βάθος καὶ δεκτικὸν θείων ἐννοιῶν ἐργαζόμενον;

Καὶ Ἐνὼχ μὲν μετατίθεται, τὴν τοῦ κυρίου προσηγορίαν

349–350 cf. Gen. 5,24

335 *θεωρίας καὶ ὁμιλίας* transp. w *ὡς* om. B **339** *ὁπόσοις* B *ὁπόσῳ* O **340** *ἀνακινοῦν* BO *ἀνακινούντων* w **342** *χρώμενον* Ow *χρώμενος* B **344** *ἐμπνέον* O *ἐμ-πνέων* B **345** *τῶν* Ow om. B

350 *ἐλπίσας ἐπικαλεῖσθαι· Νῶε δὲ παλιγγενεσίαν τοῦ γένους πιστεύεται καὶ κιβωτῷ τινι θαυμασίᾳ τὰ σπέρματα τῶν διαδόχων ἐγκατατίθεται· Ἀβραὰμ δὲ τὴν πατρῴαν ἀθετεῖ δόξαν καὶ πρὸς τὴν ἀληθῆ μετατίθεται, καὶ ἔξεισι μὲν τοῦ πατρῴου οἴκου καὶ συγγενείας κατὰ τὴν κελεύουσαν ἐντ-*
355 *ολήν, ἕπεται δὲ ὡς ὁδηγῷ τῷ προστάσσοντι, καὶ πρῶτα μὲν εἰς τὴν μέσην τῶν ποταμῶν, εἶθ' οὕτως εἰς τὴν Χαναναίαν ἄνεισι, σύμβολα μυστηρίων μειζόνων τὰς μεταστάσεις ποιούμενος· Ἰσαὰκ δὲ παρ' ἡλικίαν τῶν γεννησάντων παράγεται καὶ θύεται μὴ τυθείς, τὸ μὲν ἐθελούσιος, τὸ δὲ*
360 *τοῦ θεοῦ τὴν ἀφορμὴν τῷ γένει φυλάττοντος· Ἰακὼβ δὲ ἀρχηγὸς προσεχῶς τοῦ Ἰουδαίων ἔθνους καθίσταται καὶ οἰκειοῦται πρὸ τῆς τελειώσεως τῷ θεῷ ἢ οἰκειοῦται θεόν, καὶ πατριάρχης ταῖς δώδεκα χρηματίζει φυλαῖς καὶ τὰ πρεσβεῖα λαμβάνει τοῦ ἀδελφοῦ δασύνας αὐτὸν ταῖς τῶν*
365 *δερμάτων θριξίν, ἵνα δικαίως σχοίη τὰ πρωτοτόκια, ἀντὶ τῆς λειοτάτης ἐπιθεὶς ἑαυτῷ τὴν δασύτητα· Ἰωσὴφ δὲ ἐξ αὐτῶν, ὅ φασιν, ὀνύχων εἰς ἡγεμονίαν τοῦ Ἰουδαίων ἔθνους προετοιμάζεται καὶ ὀνείρασι κρείττοσι πιστοῦται ὁ παῖς τὸ ἐσόμενον καὶ ἐξαγγέλλει τὴν ὀπτασίαν, καὶ βα-*
370 *σκαίνεται μὲν παρὰ τῶν ἀδελφῶν, νικᾷ δὲ λαμπρῶς τοὺς*

350–352 cf. Gen. 7,1–3 **352–355** cf. Gen. 12,1 **355–357** cf. Gen. 11,31–12,6 **358** cf. Gen. 21,5–7 **358–360** cf. Gen. 22,12–17 **360–362** cf. Gen. 25,21–23 **363** cf. Gen. 49,28 **365** cf. Gen. 25,34 **365–366** cf. Gen. 27,11 **366–368** i. e., e puero; cf. CPG I 252,15 adn. **368–371** cf. Gen. 37,5–28

352 *ἐγκατατίθεται* B *ἐγ* om. Ow **353** *ἀληθῆ* Ow *ἀλήθειαν* B **361** *Ἰουδαίων* O corr. w *Ἰουδαίου* B **362** *τῆς* om. w **365** *δερμάτων* Ow *δερματίνων* B **366** *λειοτάτης* B *τελειοτάτης* Ow **367** *τοῦ* Ow *τῶν* B

βασκαίνοντας, καὶ ὡς μὲν δοῦλος εἰς τὴν Αἴγυπτον ἀπάγεται καὶ αὖθις βασκαίνεται τῷ πρώτῳ βασκάνῳ καὶ ἰοβόλῳ δαίμονι· καὶ ἐπιμαίνεται αὐτοῦ τῇ ὥρᾳ ἡ Αἰγυπτία γυνή, ἦν γὰρ καλὸς τῷ εἴδει μετὰ τῆς ψυχῆς καὶ τοῦ σώματος, ἡττᾶται δὲ ὥσπερ τοῦ πρὸς αὐτὸν ἔρωτος, οὕτω δὴ καὶ 375
τῆς ἐρωτικῆς πράξεως· κἀντεῦθεν ὁ μὲν συκοφαντεῖται καὶ πικρὸν οἰκεῖ δεσμωτήριον, θεὸς δὲ τὸν ἐπὶ τῆς σωφροσύνης στεφανίτην γενόμενον ἀναδεῖται καὶ βασιλικῷ διαδήματι, κἀντεῦθεν εἰς Αἴγυπτον αἱ ἀρχαὶ τῶν γενῶν μετατίθενται· Μωυσῆς δὲ καὶ μείζονα τούτων πιστεύεται καὶ 380
κρειττόνων ἀξιοῦται θεωριῶν· καὶ διὰ εἴδους ὀπτάνεται τῷ θεῷ, οὐκ ἐν συμβόλοις οὐδ' ἐν αἰνίγμασι, καὶ ὁρᾷ τὴν βάτον ἄφλεκτον τῷ πυρὶ καὶ λύει τὰ ὑποδήματα τῶν ποδῶν ἤ, οὕτως εἰπεῖν, τοὺς πόδας τῶν ὑποδημάτων καὶ γυμνοῖς τοῖς ποσὶν ἐπὶ τῆς ἁγίας ἵσταται γῆς, καὶ τῶν 385
θείων ἀξιοῦται φωνῶν καὶ τὴν δύναμιν τοῦ λαλοῦντος διδάσκεται μετὰ τοῦ ὀνόματος, καὶ θαρρεῖ τὴν πρὸς τὸν Φαραὼ παρρησίαν καὶ τὴν τοῦ ἔθνους δημαγωγίαν τε καὶ κατάστασιν, καὶ μαστίζει τὴν ἔρημον Αἴγυπτον ταῖς διηριθμημέναις πληγαῖς, καὶ μετάγει ἐκεῖθεν τὸν πιστευθέντα 390
λαόν, καὶ τὴν Ἐρυθρὰν διαιρεῖ καὶ ἵστησι τὰ ὕδατα ἑκατέρωθεν ὥσπερ τινὰ στερρὰν φύσιν καὶ ἀμετάθετον, καὶ διὰ

373–377 cf. Gen. 39,6–20 **377–379** cf. Gen. 41,37–44 **379–380** cf. Gen. 46,5–7 **382–387** cf. Exod. 3,2–6 et 14 **387–390** cf. Exod. 6,28–11,10 **391–396** cf. Exod. 14,21–28 et 14,7

371 *Αἴγυπτον* Ow *Αἰγυπτίαν* B 375 *δὲ* om. w **378–379** *βασιλικῷ διαδήματι* w *βασιλικὰ διαδήματα* BO **389** *ἔρημον Αἴγυπτον* Fr. *ἔρημον* B *Αἴγυπτον* O; cf. Orig. hom. 32 in Jer. (PG 13,284A3–13)

ξεροῦ τοῦ πυθμένος ἄγει τὸν Ἰσραὴλ στύλῳ πυρὸς ⟨καὶ⟩ νεφέλης, καὶ τοῖς τῶν Αἰγυπτίων τριστάταις ὄπισθεν κατα-
395 *δραμοῦσιν αὐτῶν ἐπισυνάπτει πάλιν τὰ ὕδατα καὶ καλύπτει τὰ τούτων ὀχήματα αὐτοῖς ὁπλίταις καὶ ἡνιόχοις, σιγῶντι θεοκλυτήσας στόματι καὶ τὰ παράδοξα ἐργαζόμενος, καί, ἵνα τὰ ἐπὶ τούτοις ἐπιτροχάδην ἐρῶ, ᾄδει θεῷ ᾠδὴν χαριστήριον καὶ μεθίστησιν ἔθνη καὶ κατασκευάζει σκηνὴν*
400 *τῷ κυρίῳ, καὶ εἰς τὸ Σιναῖον ἄνεισι καὶ δέχεται τὸν διπλοῦν νόμον ἐν ταῖς συμβολικαῖς ἐκείναις πλαξί, καὶ νομοθετεῖ τῷ λαῷ τὰ προεισόδια τῆς καινῆς χάριτος ἤ, μᾶλλον εἰπεῖν, περιρραντήρια τῶν κρειττόνων μυήσεων, καὶ τὴν μετηρμένην ἐξ Αἰγύπτου καὶ μετακεκοσμημένην*
405 *ἄμπελον εἰς τὴν ἱερὰν μετάγει μητρόπολιν, καὶ οὐ καταφυτεύει μὲν αὐτός, τῷ δὲ τοῦ Ναυῆ Ἰησοῦ τὴν φυτείαν αὐτῆς ἐμπιστεύει καὶ τὴν ἐπιμέλειαν. καὶ οὐ ψεύδεται οὗτος, οὔτε τὴν πίστιν, οὔτε τὴν γεωργίαν, ἀλλ' οὕτως πολλαχῇ ταύτην κατέσπειρε καὶ οὕτως εὐκληματοῦσαν*
410 *ἀπέδειξεν, ὡς κέδρων καὶ κυπαρίττων ὑπεραρθῆναι καὶ τοῖς ὑψηλοτέροις παρισάζεσθαι τῶν ὀρῶν.*

Καὶ ἵνα τοὺς ἐν μέσῳ παραδράμω καθηγεμόνας τοῦ ἔθνους, Ἠλιοῦ καὶ Ἐλισσαίου καὶ τοῦ προφήτου καὶ ἱερέως μνησθήσομαι Σαμουήλ, Δαυὶδ δὲ καὶ Ἰωσίου τοῦ

398–399 cf. Exod. 15,1 **399–400** cf. Exod. 35,4–39 et Exod. 21 **400–401** cf. Exod. 31,18 et Exod. 34,28–29 **404–406** cf. Ps. 79,9 **406–407** cf. Deut. 34,9 **409–410** cf. Os. 10,1

393 ⟨*καὶ*⟩ Gtr. **394** *τοῖς* B *τῆς* O *ὄπισθεν* B *ὄπιθεν* O **396** *τὰ* Ow om. B **400** *τὸ* B *τὸν* O **405** *οὐ* Ow lac. B del. Gtr. **411** *παρισάζεσθαι* BO *παρρησιάζεσθαι* w

θαυμασίου· ὁ μὲν γὰρ ἐξ αὐτῶν, ὡς εἰπεῖν, σπαργάνων καὶ 415
πρὸς αὐτὴν τὴν φύσιν ἀποτόμως εἶχε τοῦ σώματος. οἷα
γοῦν θὴρ ἀπηγρίωτο, οὐ τὴν ψυχὴν εἰς θηριωδίαν μεταβα-
λών, ἀλλὰ γνώμην ἀμείλικτον πρὸς τὰ μείλιχα καὶ τὴν φύ-
σιν θέλγοντα ἐσχηκώς. ὅθεν τῶν ἐν ἄστει διατριβῶν ἀφέ-
μενος, ἐπὶ τὸ ὄρος Χωρὴβ ἄνεισι καὶ τῷ θεῷ κατὰ μόνας 420
προσομιλεῖ, ὑφ' οὗ κατὰ μόνας κατῴκιστο, καὶ καταβὰς
ἐκεῖθεν πρὸς τὸν Ἀχαὰβ βασιλέα Ἰσραὴλ γενναίως παρρη-
σιάζεται καὶ θαρρεῖ τῇ πίστει ἐπὶ τοῖς θαύμασι καὶ συγκα-
ταφλέγει τούτοις τοὺς ἱερεῖς τῆς αἰσχύνης· καί, τό γε
μεῖζον καὶ πᾶσαν ὑπερβαῖνον ἀκοὴν καὶ διάνοιαν, ἐπιτιμᾷ 425
ταῖς νεφέλαις ὑετὸν μὴ πέμπειν ἐπὶ τὴν γῆν καὶ ἄγονον
ποιεῖται τὸν οὐρανόν, ἐπικλείσας αὐτῷ τὰς τῶν ὑδάτων
πηγάς, καὶ πρῶτος αὐτὸς τῆς οἰκείας τυραννίδος καταπ-
ολαύει, κακοπαθῶν τῇ δίψῃ καὶ συγκακουχούμενος τῷ
λαῷ· ἔπειτα αἰσθάνεται τοῦ δεινοῦ καὶ μεταβάλλει τὴν 430
γνώμην καὶ ὥσπερ ἐφ' ἑαυτῷ μετατίθησι καὶ τὴν πρόνοιαν
καὶ ἐπικλύζει τὴν γῆν ὑετῷ καὶ ἀντισηκοῖ τοῖς χείροσι τὰ
βελτίονα καί, ἵνα τὰς ἄλλας αὐτοῦ θαυματουργίας ἀφῶ,
δέχεται θείαν ἐπαγγελίαν ἀναβῆναι πρὸς οὐρανὸν καὶ ἑτοι-
μάζεται πρὸς τὴν ἄνοδον καὶ φανέντος εὐθὺς ἐπιβαίνει 435
τοῦ ἅρματος καὶ διφρεύει ἀταράχως διὰ μέσου ἀέρος καὶ
εἰς τὴν τελευταίαν νύσσαν τοὺς πυρίνους ἵππους ἐλαύ-
νει.

Ἐλισσαῖος δὲ καὶ διπλῆν λαμβάνει τὴν δύναμιν Ἠλιοῦ
καὶ προστίθησι τῷ ἀριθμῷ τῶν ἐκείνου θαυμάτων, καὶ 440
τοῦτο μὲν πικρίαν ὑδάτων εἰς γλυκύτητα μεταβάλλει, τοῖς

415–433 cf. 3 Reg. 17,1–19,18 **434–438** cf. 4 Reg. 2,11
441 cf. 4 Reg. 2,19–22

419 *τῶν* Ow *τῷ* B **426** *τὴν* om. w **429** *συγκακουχούμενος* Ow *συγκακοχ-* B

ἴσοις μὲν κατὰ τῶν ἴσων χρώμενος, τοῖς ἐναντίοις δὲ τὰ ἐναντία ἀποδιδούς· διΐστησι δὲ τὸν Ἰορδάνην, καὶ τοῦτο μὲν συνοικοδομεῖ διαστᾶσαν τὴν φύσιν καὶ ὥσπερ ἐμπνεῖ
445 *τῷ οἰκείῳ πνεύματι τῷ νεκρῷ σώματι τὴν ψυχήν, καθαίρει δὲ λεπρωθεῖσαν σάρκα συμβολικοῖς ὕδασι καὶ παισὶν ἐπισκώπτουσι θῆρας εἰς διαφθορὰν ἐπαφίησι.*

Περὶ δὲ Δαυὶδ οὐκ οἶδα τί μὲν τῶν ἐκείνου προθήσω, τί δὲ τελευταῖον ἐπαγάγω τῶν τοιούτων καλῶν, ὃς δὴ καὶ εἰ-
450 *κὼν τοῦ ἐπὶ πάντων θεοῦ εἶναι πεπίστευται, οὐδὲν δὲ ἧττον καὶ τοῦ μονογενοῦς λόγου τοῖς καθ' ἑαυτὸν εἴδεσι τοὺς χαρακτῆρας προδείκνυσι, πυρράκης μετὰ κάλλους γενόμενος ὀφθαλμῶν καὶ τὸ γενναῖον εὐθὺς ἐκ πρώτης ἡλικίας ἐπιδειξάμενος καὶ πρὸς τοὺς διττοὺς θῆρας ἀποδυ-*
455 *σάμενος. τὰ μὲν οὖν πρὸ τῆς βασιλείας αὐτοῦ παντοδαπαὶ νῖκαι καὶ τρόπαια, καὶ βασιλεὺς τοῖς μὲν ἐκείνου κατορθώμασι ἀναδούμενος, βασκαίνων δὲ αὐτῷ καὶ τοῦ κράτους καὶ τῶν ἐπινικίων, καὶ τὰ μεγάλα μὲν ὑπισχνούμενος, φθονῶν δὲ αὐτῷ καὶ τῶν ἐλαττόνων, ὡς εἰ μὴ δὲ τὰ τῶν*
460 *χορευουσῶν ἐπ' αὐτῷ ὀρχήματά τε καὶ ἐπορχήματα ἀβασκάνως ὁρῶν, μήτε τῶν ἐπὶ τούτοις μελῶν καὶ ῥυθμῶν ἀπονήρως ἀκούων, ἀλλὰ καὶ λόγχην ἐπ' αὐτὸν ἀφιεὶς καὶ αὖθις διώκων καὶ διερευνώμενος οὗ γῆς κατακέκρυπται.*

443 cf. 4 Reg. 2,14 **444–445** cf. 4 Reg. 4,34–35 **445–446** cf. 4 Reg. 5,1–14 **446–447** cf. 4 Reg. 2,23–24 **452–453** cf. 1 Reg. 17,42 et 16,12 **454–455** cf. 1 Reg. 17,34–39 **455–462** cf. 1 Reg. 18,5–11

444 *ἐμπνεῖ* BO *ἐμπνέει* w **447** *εἰς* B *ἐκ* O **448** *προθήσω* Gtr. *προσ-* codd. **459** *εἰ* om. B **460** *ἐπορχήματα* B *ἀπορχ-* O **462** *καὶ*[1] om. w

καὶ ὁ μὲν οὕτως· ὁ δὲ τοὐναντίον, φιλῶν τὸν μισοῦντα καὶ προσιὼν τῷ διώκοντι καὶ παντοίοις ἐξιλεούμενος, ῥήμασι, 465
σχήμασι, τί μὴ λέγων, τί δὲ μὴ πράττων τῶν ὅσα πρὸς συμπάθειαν ἕλκει ψυχήν; καὶ τὰ μὲν ⟨πρὸ⟩ τοῦ κράτους τοιαῦτα καὶ τοιαῦθ' ἕτερα, τὰ δὲ μετὰ ταῦτα ὑψηλότερά τε καὶ τελεώτερα, ἰσχὺς ἐπὶ τοὺς ἀλλοφύλους ἀήττητος καὶ ἐθνῶν πίπτουσαι φάλαγγες καὶ πόλεις Ἰσραὴλ ἐγειρόμεναι, 470
πρός τε τὸ θεῖον ἐξιλεώσεις ὑπὲρ τοῦ γένους καὶ ἐφ' ἑκάστοις τῶν σκυθρωποτέρων ἢ ἀντιθέτων, ψαλμοὶ εὐρύθμως ᾀδόμενοι καὶ ἐν ὀργάνοις μουσικοῖς μελουργούμενοι, καὶ ἀντίθετοί τε χοροστασίαι καὶ οἱ προκατάρχοντες τῶν χορῶν ἀλλήλοις προσᾴδοντες ἢ ἀντᾴδοντες, καὶ μακρὰν ἂν 475
εἴη λέγειν ὁπόσα τῷ Δαυὶδ καὶ πρὸ τοῦ κράτους καὶ μετὰ τοῦ κράτους κατώρθωτο.

Σαμουὴλ δὲ καὶ πρὸ τῆς ἱερωσύνης αἴρων ἐφούδ, τὴν νομικὴν ἐπωμίδα, καὶ μετὰ τὴν ἱερωσύνην, τὰ μὲν πρὸς θεὸν ὑπερευχόμενος τοῦ λαοῦ, εἰπεῖν δὲ καὶ προθυόμενος, 480
τὰ δὲ ὡς ἐκ θεοῦ τοῖς πλήθεσι διαιτῶν, καὶ βασίλειον ἱεράτευμα καὶ ὢν ὡς ἀληθῶς καὶ γινόμενος, καὶ πρῶτος καινοτομῶν βασιλέα τῷ γένει καὶ οὐδὲν ἧττον αὖθις παιδαγωγῶν τὸν λαόν, καὶ τοῦ Σαοὺλ τὴν ἀγνωμοσύνην ἐλέγ-

464–465 cf. 1 Reg. 24,4–15 et Matt. 5,44 **478–479** cf. 1 Reg. 2,18 et 2,28 **479–480** cf. 1 Reg. 7,5–9 **481** cf. 1 Reg. 7,15 **481–482** cf. Exod. 19,6 = Exod. 23,22 **484–489** cf. 1 Reg. 15,22–29

465 *παντοίοις* B *παντοίως* O **466** *τε καὶ* post *ῥήμασι* add. w **467** ⟨*πρὸ*⟩ Gtr. (cf. infra 476) **472** *ἢ* B *εἰ* O **473** *ᾀδόμενοι* BO *ἀγόμενοι* w *καὶ*[2] om. O **474** *χοροστασίαι* O *χοραστᾶσίαι* B *χοροστευσίαι* w **475–476** *ἂν – ὁπόσα* om. w **478** *καὶ* om. w

485 *χων καὶ τὴν παρανομωτάτην προσονειδίζων αὐτῷ ἐπιείκειαν καὶ φοβερὸς μᾶλλον ἐκείνῳ γινόμενος ἢ τῷ παρ' ἐκείνου φόβῳ κατασειόμενος, εἶτα δὴ καὶ ὡς ἐγκαταλέλειπται παρὰ κυρίῳ προγνοὺς καὶ τὴν τῆς βασιλείας ἀφαίρεσιν σαφέστατα τούτῳ προειρηκώς.*

490 *Ἰωσίας δὲ πονηροτάτους ἡγεμόνας τοῦ Ἰούδα διαδεξάμενος οὐκ ἐμιμήσατο αὐτῶν τὴν ἀσέβειαν, ἀλλὰ πολλῷ τῷ περιόντι τὴν ἐκείνων δεισιδαιμονίαν μεμισηκώς, ἀπὸ τῶν μὴ ὄντων θεῶν ἐπὶ τὸν ὄντως ὄντα θεὸν μετήνεγκε τὸν λαόν· εἶτα δὴ καὶ πολέμους πολλοὺς κατὰ τῶν ἀλλοφύλων*
495 *κατωρθωκώς, τέλος τοῦ λαοῦ προκινδυνεύει παντὸς καὶ ὡς ἐθελόθυτον ἱερεῖον προτέθυται τοῦ στρατεύματος.*

Τί δέ μοι τὰ πολλὰ ταῦτα βούλεται καὶ τίς ὁ λόγος τῆς τῶν ἱστοριῶν τούτων συναγωγῆς; ἵνα δείξω ὅτι, καὶ τοῦ γένους ἡμῶν ἐξ ἀρχῆς ἡττήθεντος καὶ ἀπὸ τῆς ἀρχαίας
500 *ἡμῶν πολιτείας καὶ ὑψηλοτάτης πόλεως ἐπὶ τὴν χθαμαλωτάτην ταύτην κατενεχθέντος ὑπερορίαν καὶ ἀκριβῶς ὑποκύψαντος τῷ αἰχμαλωτεύσαντι, νεανικαί τινες φύσεις τῆς τοιαύτης σειρᾶς ἀνεφύησαν καὶ ἐν βαθεῖ ζόφῳ τῆς πλάνης ὥσπερ ἀστέρες ἐξέλαμψαν, μᾶλλον δὲ ὥσπερ τινὲς πυρσοὶ*
505 *τοῖς ἐν ζάλῃ καὶ κλύδωνι ναυαγοῦσι γεγόνασι καὶ πρὸς ἑαυτοὺς κατάραντες εὐμενῶς ὑπεδέξαντο καὶ δᾳδουχήσαντες ἐν ἀκλύστοις λιμέσι καθώρμισαν. καὶ οἱ μὲν τοῖσδε*

490–496 cf. 2 Paral. 34 et 35 **506–507** cf. Diod. Sic. 3,44,7

486 *ἐκείνῳ* Ow *ἐκεῖνος* B **489** *σαφέστατα* om. B **490** *πονηρόταт* BO *-τάτης* w *ἡγεμόνας* BO *ἡγεμονίας* w **497** *δέ* Ow *δή* B **498** *ὅτι* om. B **501** *κατενεχθέντος* B *-εντες* O **501–502** *ὑψοκύψαντος* Ow *-αντι* B **503** *ἀνεφύησαν* B *ἐνεφ-* O *τῆς* bis w **506** *ἑαυτοὺς* B *ἑαυτὰς* O *κατάραντες* Gtr. *κατάραντας* codd.

πρὸς σωτηρίαν ἐξήρκεσαν, οἱ δὲ ἐκείνους τῶν δεινῶν ἐξηρήκασι, καὶ ἄλλοι ἄλλους ἄλλως σεσώκασιν. οὔπω δέ τις τῶν πάντων τὴν σωτηρίαν τοῦ ὅλου γένους ἐθάρρησεν, 510 *οὐδὲ τὸ τῆς θεογνωσίας ἢ αὐτοῖς ἀνεκαλύφθη τελέως μυστήριον ἢ τοῖς ἄλλοις ἀποχρῶν εἰς ἀνακάλυψιν ἐγεγόνει.*

Ἀλλ' ὅσοι καὶ τὴν πλάνην πεφεύγασι καὶ πρὸς τὴν ἔμφρονα τοῦ παντὸς αἰτίαν ἀπονενεύκασιν οὐκ ἀκριβῶς ἐμυήθησαν τὸ τῆς θεολογίας μυστήριον, ἀλλ' οἱ μὲν ἀρχήν 515 *τινα αὐθυπόστατον τοῦ παντὸς ἐφαντάσθησαν, οἱ δέ τι καὶ πλέον προσθέντες δύναμίν τινα δευτέραν καὶ τρίτον νοῦν ἀνεπλάσαντο· ὅσοι δὲ καὶ τῆς ἀκριβοῦς θεογνωσίας ἐφήψαντο οὐδὲ τρανῶς οὐδὲ τελέως τὴν τριαδικὴν θεότητα διεγνώκασιν, ὅθεν καὶ ἀσαφεστέρας περὶ τοῦ υἱοῦ καὶ τοῦ* 520 *πνεύματος ἀφῆκαν φωνάς. καὶ πρὸ τοῦ εὐαγγελίου γὰρ ἡ παλαιὰ γραφὴ ξύμπασα περὶ τῶν τριῶν διεξείσιν ὑποστάσεων καὶ τῆς μιᾶς αὐτῶν οὐσίας καὶ φύσεως, ἀλλὰ περὶ μὲν τοῦ πατρὸς θεολογεῖται τὰ τελεώτατα, τὸν δὲ υἱὸν καὶ τὸ πνεῦμα συμβολικώτερον διαδείκνυσι. καὶ ἐοίκασιν οἱ* 525 *περὶ τούτων θεολογήσαντες οὐ τελείως διαυγασθέντες οὔτε τοῦ υἱοῦ οὔτε τοῦ πνεύματος τὴν θεότητα· οὐ γὰρ καθαρῶς ἐγνώκασιν ὅτι θεός ἐστιν εἷς, ὅλος μονὰς καὶ τριάς, μονὰς μὲν κατὰ τὴν οὐσίαν, τριὰς δὲ κατὰ τὰς ὑποστάσεις, καὶ ὅτι πατὴρ καὶ υἱὸς καὶ πνεῦμα ἅγιον ἡ θεότης,* 530

516–518 cf. Psell. expos. chald. 1149 c,9 (p. 189 des Places, Oracles chaldaïques et expos. assyr. 122,5–6 (p. 194 des Places)

508 *οἱ* w *εἰ* O *ἡ* B **510** *τὴν* om. B **511** *τελέως* om. B **512** *ἀποχρῶν* Ow *ἀποχωρῶν* B **514** *τοῦ* Ow *καὶ* B **517** *δευτέραν* codd. *δεύτερον* Gtr. **518** *καὶ* om. w **519** *οὐδὲ*[1] O *οὐ* B **525** *διαδείκνυσι* Ow *ἀναδείκ-* B **527–528** *καθαρῶς* Ow *καθῶς* B

ἐν ὅλῳ τῷ πατρὶ ἡ αὐτή, καὶ ἐν ὅλῃ τῇ αὐτῇ ὁ πατήρ, ὡς δέ κἀν ταῖς ἑτέραις δυσὶν ὑποστάσεσιν ὅλη ἐν ὅλῳ τῷ υἱῷ ἡ αὐτή, καὶ ὅλος ἐν ὅλῃ τῇ αὐτῇ ὁ υἱός, καὶ αὖθις ὅλη ἐν ὅλῳ τῷ πνεύματι ἡ αὐτή, καὶ ὅλον ἐν ὅλῃ τῇ αὐτῇ τὸ
535 *πνεῦμα τὸ ἅγιον. οὐ γὰρ διαιρεῖται κατὰ τὰς ὑποστάσεις ἡ θεότης, οὐδὲ ἐκ μέρους ἑκάστη θεός· οὕτω γὰρ ἂν ἀτελὴς ἦν ἑκάστη τῶν ὑποστάσεων, ἐκ μέρους μεταλαγχάνουσα τῆς θεότητος. διὰ ταῦτα ὅλη ἐστὶν ἡ αὐτὴ τελεία τελέως ἐν τελείῳ τῷ πατρὶ καὶ ὅλη ἐν ὅλῳ τῷ υἱῷ καὶ ἡ αὐτὴ*
540 *ὡσαύτως ἐν τελείῳ τῷ πνεύματι· εἷς γοῦν θεὸς ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἐπεὶ καὶ μία ἡ αὐτὴ οὐσία καὶ δύναμις καὶ ἐνέργεια τῶν τριῶν ὑποστάσεων.*

Ἡ μὲν οὖν τελεωτέρα θεολογία τοιαύτη καὶ οὕτως ἔχουσα, διὰ τοῦ μονογενοῦς λόγου ἀποκαλυφθεῖσα τῷ γένει
545 *καὶ πρεσβευθεῖσα πᾶσι διὰ τῆς χάριτος· ὁ δὲ πρὸ τοῦ μυστηρίου καὶ τῆς θείας οἰκονομίας καιρὸς εἰς δόξας ἑτερογνώμονας τὸν τοῦ πρώτου αἰτίου λόγον κατέτεμεν, καὶ οὐδεὶς τῶν πάντων ἀνέφελον πάντῃ τὸν τῆς δικαιοσύνης ἡμῖν κατηύγαζεν ἥλιον. διὰ ταῦτα αὐτὸς ὁ προαιώνιος*
550 *λόγος, ὁ μονογενὴς υἱὸς τοῦ μεγάλου πατρός, τὸ ἀπαύγασμα τῆς ἐκείνου δόξης, ὁ τῆς ὑποστάσεως αὐτοῦ χαρακτήρ, ὁ τῆς μεγάλης βουλῆς τοῦ πατρὸς ἄγγελος τῆς πρὸ πάντων μὲν προορισθείσης αἰώνων, ἐπ' ἐσχάτων δὲ τῶν*

548–549 Malach. 3,20 **550–551** Heb. 1,3 **552–553** Is. 9,5 **553–554** 1 Petr. 1,20

531 *αὐτῇ* Ow *τοιαύτη* B **539** *τελείῳ* Ow om. B **546–547** *δόξας ἑτερογνώμονας* Ow *δόξαν ἑτερογνώμονα* B **548** *πάντων* BO *τοσαύτων* w *ἀνέφελον* w *ἀνέφελε* BO *δικαιοσύνης* Ow *διοκ-* B **553** *προορισθείσης* Ow *προρισ-* B **553–556** *αἰώνιων – διενεργηθείσης* om. w

χρόνων φανερωθείσης, καὶ διὰ τῶν προφητῶν μὲν προκηρυχθείσης καὶ δι' ἀγγέλων καταγγελθείσης, ὑπ' αὐτοῦ δὲ 555
τοῦ υἱοῦ διενεργηθείσης, καὶ πρὸ τούτου μὲν ἐν σκιαῖς προμηνυθείσης, εἶτα δὴ ἐκφανθείσης ἡλίου λαμπρότερον, ὁ συναΐδιος τῷ πατρὶ λόγος – ὢ τῆς ἐμῆς ἀγνωμοσύνης καὶ τῆς ἐκείνου φιλανθρωπίας, ὢ παραδόξου μὲν λόγου, παραδοξοτέρου δὲ πράγματος – ὁ πρὸ παντὸς καὶ ὑπὲρ τὸ 560
πᾶν καὶ ἀχώρητος τῷ παντί, ὁ ἀνείδεος, ὁ ἀσχημάτιστος, ὃν ὑποπτήσσει τὰ χερουβὶμ καὶ φρίσσει τὰ σεραφίμ, κλίνας τοὺς οὐρανοὺς εἰς γῆν καταβέβηκεν, αὐτάγγελος ἑαυτοῦ καὶ τοῦ πατρὸς γενησόμενος καὶ τὸ θεῖον φανερώσων πνεῦμα, τὴν μίαν τῆς τριάδος ὁμοτιμίαν καὶ συμ- 565
φυΐαν. καὶ τῶν πατρῴων κόλπων μὴ χωρισθείς, οὐσιωδῶς καθ' ὑπόστασιν ἐν γαστρὶ χωρεῖται παρθενικῇ καὶ ἄνθρωπος γίνεται τέλειος, μὴ ἐκστὰς τῆς τελείας θεότητος, ἀλλ' ἑαυτῷ μᾶλλον συναλλοιώσας τὴν τοῦ δούλου μορφήν, οὐ μεταλλάξας τὴν φύσιν, ἀλλὰ θεώσας τὸ πρόβλημα, 570
οὐδὲ φαντάσας τὸ σῶμα – ἀπέστω γὰρ καὶ τοῦ λόγου τὸ βλάσφημον – ἀλλ' ἑαυτῷ σάρκα ὑποστήσας ἐμψυχωμένην ἐκ τῶν φυσικῶν ἀρχῶν, τῶν παρθενικῶν αἱμάτων φημί, καὶ γενόμενος ὅπερ ἐγὼ κατὰ φύσιν, ἵνα με θεὸν ὑπὲρ φύσιν ὁ κατὰ φύσιν ἀποδείξῃ θεός. 575

562–563 cf. Ps. 17,10 **569** cf. Phil. 2,7

559 *τοῦ* post *ὢ* add. Gtr. *λόγου* Ow *λόγος* B **560** *πράγματος* Ow *θαύματος* B **563** *εἰς γῆν* om. B **564** *ἑαυτοῦ* Ow *ἑαυτῷ* B **565** *τὴν* B *τῆς* O **571** *φαντάσας* w *φαντασίας* O lac. B *καὶ* om. w **572–573** *ἐμψυχωμένην – φυσικῶν* Ow *ἐκ τ. φυσ. ἐμψ.* B **575** *ὁ* B *οὐ* O

Καὶ ὅρα τὴν θαυμασίαν τῶν ἐκείνου πρὸς τὰ ἡμέτερα πάθη ἀντίθεσιν. ἐπειδὴ γὰρ ἐκ σωματικῆς ἡδονῆς τοῖς προπάτορσιν ἐγεγόνει τὰ τῆς συλλήψεως καὶ ὁ τούτων συνδυασμὸς φυσικήν τινα εἶχε προηγουμένην ἀρχήν, ἀναι-
580 *ρεῖ τὸ πάθος θεός, καὶ ὑπὲρ φύσιν ἄνευ συλλήψεως ἐν παρθενικῇ νηδύϊ τεχθείς, εἶτα καὶ τὴν ἑπομένην τῇ ἡδονῇ ὀδύνην ἀνεῖλε, γεννηθεὶς μὲν ἐκ τῆς ὠδινησάσης τοῦτον μητρός, τῶν δ' ἐπὶ ταῖς ὠδῖσι πόνων τὴν τεκοῦσαν ἐλευθερώσας, καί, τό γε παραδοξότερον, αὐτὸν τὸν τόκον σφρα-*
585 *γῖδα παρθενίας τῇ γεννησαμένῃ πεποιηκώς. τίς ἐπίστευσε τῇ ἀκοῇ ταῦτα; τίς εἶδε τοιοῦτον θέαμα; τίνι δὲ τῶν πάντων καθαρῶς οὕτως ἀπεκαλύφθη τὸ θεῖον μυστήριον; ἢ πολλοῖς μὲν προέγνωστο τὸ θαῦμα, ἀμυδρῶς δὲ καὶ ὡς ἐν συμβόλοις· τὸ γὰρ ἐσφραγισμένον βιβλίον καὶ ἡ κεκλει-*
590 *σμένη πύλη καὶ ὁ καινὸς τόμος καὶ ὅσα τούτοις ἀκόλουθα τὴν παρθενικὴν νηδὺν καὶ μετὰ τὸν τόκον ἐκήρυττον. ἐντεῦθεν ἄγγελοι προμηνύοντες ἄνωθεν τοῦ λόγου τὴν γέννησιν καὶ ποιμένες τὸν παράδοξον εὐαγγελιζόμενοι τόκον καὶ πρῶτοι καταγγελλόμενοι τὴν σωματικὴν τοῦ θεοῦ πρόοδον,*
595 *τὸν μέγαν ποιμένα τῆς ἱερᾶς ποίμνης ἐξεικονίζοντες· ἐν-*

585–586 Io. 12,38 **589–590** cf. Is. 29,11 et Ezech. 44,2 et. Is. 8,1 **591–595** cf. Luc. 2,8–20 **595–599** cf. Matt. 2,1–12

576 *τῶν* om. w **577** *ἐπειδὴ* Ow *ἐπεὶ* B **579** *προηγουμένην* Ow *προηγμένην* B **583–584** *ἐλευθερώσας* B *ἐλευθερώση* O **584** *παραδοξότερον* O *-ότατον* w lac. B **584–585** *σφραγῖδα* Ow *σφραγῖδι* B **585** *γεννησαμένῃ* B *γενησαμένῃ* O **586** *ταῦτα* O *ταύτῃ* B *εἶδε* BO *οἶδε* w **588** *προέγνωστο* w *προέγνωσται* O lac. B **591** *καὶ* om. w **591–592** *ἐντεῦθεν* w *ἐνταῦθα* O lac. B **593** *τόκον* Ow *λόγον* B **595** *μέγαν* B *μέγα* Ow

τεῦθεν ἀστέρος νεοφανοῦς ἔλλαμψις καὶ Μάγων γνῶσις ἢ πρόγνωσις καὶ δορυφορία πρὸς τὸν τεχθέντα καὶ προσκύνησις ἔντιμος, καὶ ἡ δορυφορία λαμπρὰ καὶ τὰ προσενηνεγμένα δῶρα σύμβολα μειζόνων θεωριῶν· ἐντεῦθεν Ἡρῴδου παιδοφονία καὶ τὰ καινὰ σφάγια, προτελέσματα 600
οἷον τοῦ ὑπερφυοῦς καὶ καινοῦ θύματος, καὶ ἄγγελος χρηματίζων καὶ τὴν εἰς Αἴγυπτον τοῦ τεχθέντος ἀπαγωγὴν τῷ μνηστῆρι καὶ τῇ τεκούσῃ ἐγκελευόμενος καὶ αὖθις ἐξ Αἰγύπτου καλῶν, ἵνα κἀνταῦθα ἡ προφητικὴ πέρας λάβῃ φωνή· ἐντεῦθεν ἡ ἀναγωγὴ τοῦ μεγάλου παιδὸς καὶ ἡ 605
πρὸς τὴν τεκοῦσαν ὑποταγὴ καὶ ἡ καινὴ προκοπὴ τοῦ τελείου τὴν πνευματικὴν ἡλικίαν καὶ τὴν θείαν σοφίαν καὶ τὴν χάριν ὑπερτελοῦς· ἐντεῦθεν τὰ μικρὰ θαύματα καὶ πρόδρομα τῶν μεγάλων καὶ ἡ κατὰ βραχὺ τῆς ἀκριβοῦς λαμπηδόνος ἔκφανσις καὶ προμήνυσις· διδάσκει ἐν ἱερῷ, 610
αὐτὸς ὢν νομοθέτης τοῦ γράμματος, μᾶλλον δὲ τῆς διπλῆς νομοθεσίας, τῆς ἐμφανοῦς καὶ τῆς ἀφανοῦς, ὅση τοῦ προβεβλημένου καὶ ὅση τοῦ κεκρυμμένου, καὶ διαιρεῖ τὸ γράμμα καὶ ἀναχωννύει τὸ πνεῦμα καὶ ἀναπτύσσει τὰ νομικὰ δόγματα, ἵνα τὰ πνευματικὰ δείξῃ θεσπίσματα. 615

Χαρίζεταί τι τῇ μητρὶ καὶ πρὸ τοῦ καιροῦ τῶν θαυμάτων καὶ θαυματουργεῖταί τι τῷ ἐν Κανᾶ γάμῳ πρὸ τῆς τελεωτέρας αὐτοῦ ἀναδείξεως, ὁμοῦ τε καὶ τὴν τεκοῦσαν τι-

599–605 cf. Matt. 2,16–23 **605–608** cf. Luc. 2,40 **610–615** cf. Luc. 2,46

597 *δορυφορία* Ow *δωροφορία* B **598–599** *προσενηνεγμένα* BO *-ην-* om. w **600** *προτελέσματα* B *προσ-* O **601** *θύματος* Ow *θαύ-* B **603** *ἐγκελευόμενος* w *-μενον* O lac. B **608** *τὴν* om. B *τοῦ* post *χάριν* add. w **608–609** *θαύματα καὶ πρόδρομα* Ow transp. B

μῶν τῷ καινῷ θαύματι καὶ τὴν ἑαυτοῦ παραδεικνὺς
620 *δύναμιν, καὶ τρίτον διὰ τοῦ συμβόλου τὴν τῆς ἀνθρωπίνης*
φύσεως ἐπὶ τὸ κρεῖττον προκαταγγέλλων μεταβολήν. τὸ
γοῦν ὕδωρ οἶνον ποιεῖ, καὶ οἱ μετρηταὶ πλήρεις τοῦ θαύ-
ματος, καὶ ἡ μεταβολὴ θαυμασία, ἀκραιφνὴς οἶνος τὸ κα-
θαρώτατον ὕδωρ· ἔδει γάρ ποτε καὶ τὴν ἡμετέραν φύσιν,
625 *ἐξίτηλον καὶ διάρρυτον γενομένην, σύστασιν πνευματικωτέ-*
ραν λαβεῖν καὶ θερμοτέραν γενέσθαι πρὸς τὸ καλὸν πνεύ-
ματος.

Ἔχω καὶ περὶ τοῦ καιροῦ τῶν τριάκοντα φιλοσοφῆσαι
ἐτῶν, ἐφ' οἷς ἡσύχαζεν ὁ κύριος, καὶ τέως ἐπέχει τὰ πα-
630 *ράδοξα τῆς ἡμετέρας σωτηρίας μυστήρια. ἔδει γὰρ αὐτόν,*
ὥσπερ ἐν προκοπῇ τελείᾳ διὰ τὴν τοῦ προσλήμματος φύ-
σιν, καὶ χρόνον ὑπεραναβῆναι καὶ αἴσθησιν καὶ τὰ τοῦ
μέλλοντος αἰῶνος φιλοσοφῆσαι, ἣν ὀγδόην οἶδεν ὁ λόγος
καλεῖν, εἶτα δὴ ὡς ἐν ἀριθμῷ τελείῳ τῇ δεκάδι πάντα πε-
635 *ριλαβεῖν καὶ τὸν ἀφωρισμένον τῇ ἀναγωγῇ χρόνον ἀπαρτί-*
σαι, ἵνα τέλειος ἐν τελείᾳ συνέσει καὶ ἀριθμῷ τελείῳ τῶν
τῆς τελειώσεως θαυμάτων ἀπάρξηται. ἐντεῦθεν γοῦν ἡ
ἀνάδειξις καὶ τὰ ὑπερφυῆ πράγματά τε καὶ θαύματα·

622–623 cf. Io. 2,6 **628–629** cf. Luc. 3,23 **632–633** cf. Psell. or. min. 4,181–184 Littlewood et supra 1 A, 134–136 **634–635** cf. Arist. met. 986 A 8 ed. V. Rose

622 *μετρηταὶ* O *μετρητὸν* B **623** *οἶνος* B *-ον* O **626** *τὸ* om. w **629** *οἷς* Ow *οἷν* B *ἡσύχαζεν* O *ἡσυχάζει* B **632** ⟨*οὐχ*⟩ post *χρόνον* Gtr. *τὰ* Ow om. B **633** *φιλοσοφῆσαι* O *φιλοφῆσαι* B *φιλοφῆναι* w **634–636** *τῇ – τελείῳ* om. w **636** *τῶν* Ow *τῷ* B **637** *ἀπάρξηται ἐντεῦθεν γοῦν* Ow *ἀπάρξῃ γοῦν τὰ ἐντ.* B

ὕδατι καθαιρόμενος ὁ μὴ γνοὺς ἁμαρτίαν, μηδέ τινος καθαρσίου δεόμενος, καὶ μεταδιδοὺς μᾶλλον οἷς ἐκαθαίρετο 640 *τῆς οἰκείας λαμπρότητος ἢ ἐκεῖθεν μεταλαμβάνων καθάρσεως καὶ πνευματικῇ φωνῇ ἄνωθεν καὶ πνεύματι μαρτυρούμενος· εἶτα δὴ καὶ ὑποπτευόμενος τῷ πονηρῷ δαίμονι καὶ διὰ ταῦτα παντοδαπῶς πειραζόμενος, ἵνα γνωσθῇ πότερον θεὸς ὢν κρύπτεται σώματι ἢ ἄνθρωπος ὢν θειοτέ-* 645 *ραν εὐτύχησεν ἕνωσιν, καὶ τὸν πειραστὴν νικῶν μέν, ἀμφίβολον δὲ αὖθις ἐῶν, ἐπεὶ καὶ ἀνθρώπων πολλάκις θεοειδῶν ἥττηται· εἰ δ' οὐχ οὕτω λαμπρῶς, ἀλλ' ἔτι αὐτὸν ἡ προσληφθεῖσα σὰρξ ἀμφιγνωμονοῦντα εἰργάζετο.*

Διὰ ταῦτα πολλάκις ἀποπειρᾶται τοῦ φαινομένου, ἵνα 650 *γνῷ τὸ κρυπτόμενον. καὶ θαυμάζει μὲν τὰ ὑπερφυῆ θαύματα – πῶς γὰρ οὔ; – νεκροὺς αὐτίκα ζωοποιουμένους ὁρῶν καὶ θάλασσαν στερεὰν φύσιν ἀνέχουσαν καὶ τυφλὸν ὀμματούμενον καὶ λεπρὸν καθαιρόμενον καὶ παράλυτον λόγῳ καὶ κελεύσματι συσφιγγόμενον καὶ τὴν αἱμόρρουν* 655 *ἁφῇ μόνῃ κρασπέδου τὴν ῥύσιν ἰαθεῖσαν τοῦ αἵματος, ἀμφιβάλλει δὲ αὖθις ἐφ' οἷς ἔγνωκε, δακρύοντα βλέπων καὶ προσευχόμενον καὶ ἐμβριμώμενόν τε καὶ ταραττόμενον καὶ ὅσα τοῦ σώματος σύμβολα καὶ μηνύματα· ἔμελλε γὰρ*

639–643 cf. Matt. 3,13–17 = Mar. 1,9–13 = Luc. 3,21–23 = Io. 1,28–34 **639** cf. II Cor. 5,21 **643–648** cf. Matt. 4,1–11 **651–653** cf. Matt. 14,27 **653–654** cf. Mar. 8,22–26 **654** cf. Matt. 8,2–4 **654–655** cf. Mar. 2,3–12 **655–656** cf. Matt. 9,20 **657–658** cf. Io. 11,33–38

639–640 *καθαρσίου* Ow *καθαρσίαν* B **646–647** *ἀμφίβολον ... ἐῶν* w *ἀμφίβολ. ... ἐών* B *ἀμφίβολος ... ὢν* O **656** *μόνῃ* BO *μονοῦ* w **658** *καὶ*[2] om. w

660 *αὐτὸς ἐξ ἑαυτοῦ τὴν ἀκριβῆ λαβεῖν γνῶσιν τοῦ πράγματος, πολιορκούμενος ἐν ᾅδου καὶ ἃς εἶχεν αἰχμαλωτεύσας ψυχὰς ἀφαιρούμενος καὶ τὰ αἴσχιστα πάσχων, συντριβόμενος καὶ δεσμούμενος καὶ τὸ πολὺ τῆς δυνάμεως ἀφαιρούμενος καὶ τηνικαῦτα γινώσκων τοῦ σαρκωθέντος τὴν δύναμιν, ἣν*
665 *ἀμφίβολον εἶχε πρὸ τῆς εἰς ᾅδην αὐτοῦ καταβάσεως.*

Ἀλλ' οὔπω ταῦτα, καὶ ὁ λόγος βραχύ τι τοῖς τοῦ Ἰησοῦ ἐμφιλοχωρείτω θαύμασι· τί γὰρ οὐκ ἐτελεῖτο τῶν παραδόξων; τί δὲ οὐκ ἐγίνετο τῶν ὅσα ψυχῇ θεογνωσίαν ἐπίσταται ἐμποιεῖν; πεπηρωμένα διωρθοῦντο σώματα, δαίμονες
670 *ἀπηλαύνοντο, ψυχαὶ τῶν μολυσμάτων ἐκαθαίροντο, ὁ φίλος αὐτοῦ Λάζαρος ἐκεκοίμητο ἢ μᾶλλον, ἵνα τὴν ἐκείνου εἴπω φωνήν, ἐτεθνήκει, καὶ αὐτίκα παρῆν ὥσπερ ἐξυπνίσων τὸν φίλτατον, καὶ συγχεῖ μὲν ἐπὶ τῷ τεθνηκότι τοῖς δάκρυσιν, ἐπέχει δὲ φερομένην τὴν σάρκα καὶ*
675 *στομοῖ τῇ θεότητι, καὶ διὰ ταῦτα τὴν ἐπιτίμησιν ἐκείνη μὴ φέρουσα ταράττεται τῇ δυνάμει τοῦ κρείττονος. καὶ τίς ἂν ἀκριβῶς ἐξείποι τὸ θαῦμα; τίς δὲ οὐκ ἂν ἐκπλαγείη τὸ γεγονός; διελέλυτο μὲν γὰρ ἤδη ὁ Λάζαρος, οὐ μόνον τῆς ψυχῆς αὐτοῦ χωρισθείσης τοῦ σώματος, ἀλλὰ καὶ αὐτοῦ*
680 *τοῦ ἐκ τῶν στοιχείων κράματος πρὸς φθορὰν ἤδη καὶ σηπεδόνα συρρέοντος, ἀλλὰ φωνὴ μία τοῦ λόγου καὶ βραχὺ πρόσταγμα καὶ ὁμοῦ ἥ τε ἀποπτᾶσα ψυχὴ τῷ σώματι συνεζεύγνυτο καὶ τοῦτο διαρρέον συνειστήκει καὶ συνεσφίγ-*

670 cf. II Cor. 7,1 **670–672** cf. Io. 11,11

660 *αὐτὸς* Ow om. B **661** *ᾅδου* codd. *ᾅδῃ* Gtr. **665** *ἀμφίβολον* B *ἀμφίβολος* O **666–667** *τι – θαύμασι* BO *τι ἐμφ. τοῖς τοῦ Ἰη. θαύμασι* w **673** *ἐπὶ* Ow lac. B del. Gtr. **676** *φέρουσα* B *φέρουσαν* O **680** *κράματος* O *κράμματος* B **682** *ἀποπτᾶσα* B *ἀποπνοῦσα* O

γετο, καὶ ὁ τετραήμερος νεκρὸς ἐξανίστατο, ὥσπερ ἄρτι πρὸς ὕπνον κατακλιθεὶς ἀρτιώτατος καὶ τὸ σῶμα καὶ τὴν 685 *ψυχὴν καὶ μηδὲ τῆς φυσικῆς αἰσθόμενος διαλύσεως.*

Ἀλλὰ τὸ μέγα τοῦτο καὶ ὑπερφυὲς θαῦμα ἄγγελοι μὲν ἐξεπλάγησαν ἄνωθεν καὶ δαίμονες ἔπτηξαν θεασάμενοι. ὁ δὲ παῖς τοῦ θαυματουργήσαντος Ἰσραήλ, ἡ περιπόθητος αὐτοῦ μερὶς καὶ ἐπίλεκτος, ὑπὲρ οὗ τὰ πολλὰ ἐκαινοτο- 690 *μήθη τεράστια, καὶ τὰ μὲν ἐγεγόνεισαν, τὰ δὲ ἔμελλον, καὶ δι' ὃν Αἴγυπτος μὲν ἐμαστίζετο, θάλασσα δὲ εἰς διαιρέσεις ἐτέμνετο, κατὰ τὸν θεῖον φάναι Δαυίδ, καὶ Ἀμαλὴκ ἐτροποῦτο χειρῶν ἐκτάσει Μωσαϊκῶν, τὸν σταυρὸν σχηματιζουσῶν καὶ τὴν ἀνίκητον αὐτοῦ δύναμιν, καὶ τῶν ἐθνῶν* 695 *τὰ μὲν μεθίστατο, τὰ δὲ καὶ πάντῃ διώλλυτο, ὁ τῶν προφητικῶν κατακούσας λόγων τὴν τοῦ κυρίου προμηνυόντων ἐπιδημίαν καὶ τὴν διὰ σαρκὸς τούτου οἰκονομίαν καὶ αὐτὸν τὸν καιρὸν ὁριζόντων τοῦ μυστηρίου καὶ τὰ κατὰ μέρος αὐτοῦ διηγουμένων θαυμάσια, τὴν ἄνευ ἀνδρὸς σύλ-* 700 *ληψιν, τὴν ἄνευ ὠδίνων γέννησιν, τὴν παρθενικὴν καὶ μετὰ τόκον νηδύν, τὴν εἰς Αἴγυπτον καὶ ἐξ Αἰγύπτου ἐκεῖ μὲν φυγήν, ἐνταῦθα δὲ ἐπάνοδον, καί, ἵνα μὴ πάντα καθεξῆς λέγω, ὁ καὶ τὸν σταυρὸν ἐκείνου προακηκοὼς καὶ τὸν θάνατον καὶ ὡς αὐτός ἐστιν ὁ νομοθετήσας αὐτοῖς ἐν εἰ-* 705 *σαγωγῇ μὲν τὰ τοῦ γράμματος, αὖθις δὲ ἐν τελειώσει καὶ τὰ τοῦ πνεύματος· δέον πρότερον μὲν τὸν νόμον, ὕστερον*

692–693 Ps. 135,13 **693–696** cf. Exod. 17,11–13 **696–700** cf. Acta 26,22–23

685 *ὕπνον* Ow *ὕμνον* B *κατακλιθεὶς* B *κατακληθ'* O **695** *ἀνίκητον* Ow *ἀκίνητον* B **698** *ἐπιδημίαν* BO *οἰκονομίαν* w corr. *ἐπιδο-* **701** *καὶ* om. w **703** *μὴ* om. B **707** *μὲν* om. w

δὲ καὶ αὐτὸν τὸν νομοθέτην δεξαμένους ἐπιγινώσκειν τὸν δεσπότην καὶ ἀγνωμονεῖν τῇ οἰκονομίᾳ καὶ ὑπερεκπλήττε-
710 *σθαι τὸ μυστήριον, οἱ δὲ καὶ ἐμεμήνεσαν κατὰ τοῦ νομοθέτου καὶ τῶν θαυμάτων τούτῳ ἐβάσκαινον καὶ οὗ τὰς νομοθεσίας ἐξεθείαζον, τοῦτον ἐν χεροῖν ἔχοντες ἔσκωπτον, προσωνείδιζον, λίθοις ἔβαλλον, τελευταῖον καὶ φονικὴν γνώμην διὰ τὰ ἐκείνου θαυμάσια ἐπ' ἐκεῖνον ἐλάμ-*
715 *βανον καὶ ὅτι τὴν τοῦ πνεύματος αὐτοῖς παρεγύμνου χάριν καὶ κατωλιγώρει πολλάκις τοῦ γράμματος, ἐβάσκαινον, διερρήγνυντο καί, διότι ὑπὸ τὴν σκιὰν αὐτοὺς καθημένους ἐπὶ τὸν ἥλιον μετεβίβαζε καὶ τὸν τύπον ἐξεχομένοις ἀλήθειαν παρεδείκνυεν, οὐκ εἶχον ὅτι καὶ γένοιντο, σφαδάζον-*
720 *τες τῷ θυμῷ καὶ τῷ διδασκάλῳ ἐμπικραινόμενοι, οἱ Φαρισσαῖοι ταῦτα καὶ γραμματεῖς, οἱ δευτερωταὶ τῶν νόμων καὶ καινοὶ τῶν γεγραμμένων διδάσκαλοι, ὧν τὰ λαμπρὰ φυλακτήρια καὶ τὰ καινὰ κράσπεδα, ὧν αἱ ἀκριβεῖς ἀποδεκατώσεις καὶ αἱ τῶν σωματικῶν πρωτοτόκων καθιερώ-*
725 *σεις, οἱ τὴν ἀκάθαρτον καταπίνοντες κάμηλον καὶ τὸν βραχὺν διυλίζοντες κώνωπα, οἱ τοῦ γράμματος προϊστάμενοι, τὸ δὲ πνεῦμα ἢ μὴ νοοῦντες ἢ μὴ δεχόμενοι, οὗτοι γὰρ μὴ φέροντες ὑπὸ τοῦ Ἰησοῦ παρευδοκιμούμενοι καὶ ὑπὸ τῆς ἐκείνου γλώττης ἐπιστομιζόμενοι· δέον ἠπίως τοὺς*
730 *ἐλέγχους φέρειν καὶ τὴν κρείττονα διδασκαλίαν προσίεσθαι καὶ τὸ πνεῦμα λαμβάνειν ἀντὶ τοῦ γράμματος, οἱ δὲ ἐπισυ-*

717–718 cf. Ps. 106,10 **722–723** cf. Matt. 23,5 **725–726** cf. Matt. 23,24

708 *δεξαμένους* codd. *-μενον* Gtr. **708–709** *τὸν δεσπότην* codd. *τὴν δεσποτείαν* Gtr. **709** *ἀγνωμονεῖν* codd. *εὐγν-* Gtr. *ὑπερ-* om. B **717** *διερρήγνυντο* B *-νυτο* O **721** *καὶ* BO *οἱ* w **724** *αἱ* om. w **724** *σωματικῶν* om. w **726** *βραχὺν* B *βραχὺ* O **729** *ἐκείνου* B *ἐκείνων* O

στάσει τοῦ σωματικοῦ νόμου τὸν τούτου δοτῆρα ἀνελεῖν διεσκέψαντο, καὶ ταῦτα ἐν ἱερομηνίαις καὶ ἐν καινοῖς θαύμασιν, ἐν τῇ πρώτῃ τῶν ἑορτῶν, ἐν τῇ τοῦ ἀμνοῦ θυσίᾳ, ἐν τῇ ἀναμνήσει τῆς ἐξ Αἰγύπτου ἐλευθερίας, ὡς καθαρῶς 735 *τοῦ καθαροῦ καλλιερήματος ἐφάπτεσθαι ἔμελλεν· οἵα γὰρ αὐτῶν ἡ προκάταρξις φονικῶν σκεμμάτων κατάρχουσα. καὶ συκοφαντίαν κατὰ τοῦ Ἰησοῦ πλάττουσί τε καὶ συναρτύουσι, καὶ ὃν κολάζειν ἔμελλον προφάσει παρανομίας, τοῦτον διὰ τῆς τοῦ μαθητοῦ προδοσίας ὑφαρπάζειν πει-* 740 *ρῶνται.*

Καὶ οὗτοι μὲν ἐν τοῖς τοιούτοις βουλεύμασιν ἐξητάζοντο, συγκεχυμένοι τὰς γνώμας καὶ τοῖς οἰκείοις ἐναντιούμενοι λογισμοῖς καὶ μικροῦ δεῖν ἐξεστηκότες τὸν νοῦν, ὃν ἐν χερσὶν εἶχον καὶ ὃν προσιόντα τούτοις ἀπεπέμποντό 745 *τε καὶ διεκρούοντο, τοῦτον ἑλεῖν συντασσόμενοι, καὶ κατὰ λόχους ἢ φάλαγγας συνιστάμενοι, οὐχ ἵνα πολεμίοις ἐπιοῦσι μαχέσαιντο, ἀλλ' ἵνα τὸν σωτῆρα καὶ ἐλευθερωτὴν τοῦ παντὸς γένους πολέμιον ἑαυτοῖς ἀπεργάσαιντο. καὶ οὗτοι μέν, ὡς προειρήκειν, τὰ μὲν τοῖς λογισμοῖς συνε-* 750 *χέοντο, τὰ δὲ αὐτίκα ἔμελλον δράσειν, ἅπαξ κατὰ τοῦ σωτῆρος λυττήσαντες. ὁ δὲ πρὸς μὲν τὴν φονῶσαν αὐτῶν γνώμην οὐδὲν τέως ἀντέπραττε, τὸ δὲ γράμμα καὶ πρὸ τοῦ, μεθ' ὃ τὴν νομικὴν πᾶσαν ἐνηργήκει διάταξιν, ἵνα μὴ δόξῃ ἀντίθεος, μηδὲ τοῖς ἑαυτοῦ νόμοις ἐναντιούμενος,* 755 *ἀλλὰ πληρώσῃ πᾶσαν δικαιοσύνην, τότε μᾶλλον διαδείκνυται σαφέστατα τοῦτο ποιῶν.*

Οὐδὲ τὸν καιρὸν τοῦ νομικοῦ θύματος ἀναμείνας, οὐδὲ

736 *ἔμελλεν* codd. *ἔμελλον* Gtr. 748 *καὶ* om. O
753 *γνώμην* BO *γώμην* w 755 *ἀντίθεος* B *ἀντίθεσιν* O
756 *πληρώσῃ* O *πληρώσας* B

τῷ παμφαεῖ τῆς σελήνης κύκλῳ προσσχών, ἥλιος ὢν αὐτὸς
760 νοητὸς καὶ τοῦ αἰσθητοῦ ἡλίου δημιουργός, προλαμβάνει
τὴν ἑορτήν, καὶ οὐ τὸν καιρὸν μετατίθεται μόνον, ἀλλὰ
καὶ τὸν τρόπον τῆς βρώσεως· οὐδὲ γὰρ συνειστήκει τοῖς
μαθηταῖς, οὐδὲ τὰς ὀσφύας ἀνέζωστο, ὥσπερ δὴ νόμιμον
ἦν, ἀλλ' ἀνακείμενος ἀνακλιθεῖσιν τοῖς μετόχοις τοῦ δεί-
765 πνου συνεστιᾶτο, ἀπάγων ἤδη σαφῶς τοῦ γράμματος καὶ
τῶν ἐπὶ τὸ πάσχα συμβόλων. τί γὰρ ἔδει τούτων αὐτοῖς
τῆς ἐκβάσεως τῶν τύπων γεγενημένης; τίνες μὲν οὖν οἱ
λόγοι τῆς θείας ἐκείνης τραπέζης τοῦ τε νέκταρος καὶ τῆς
ἀμβροσίας, εἰ χρὴ οὕτως εἰπεῖν, καὶ τίς μὲν ἡ πανδαισία,
770 τίς δὲ ὁ κρατήρ, ἥ τε μετάδοσις καὶ ἡ πλήρωσις, εἰδεῖεν
ἂν μόνοι οἱ τότε κεκοινωνηκότες τοῦ θύματος καὶ ξεν-
οδοχηθέντες εἰς τὸ ἐστρωμένον ἐκεῖνο ἀνώγεων. ἐμοὶ δὲ
τοσοῦτον εἰπεῖν ἀρκέσει πρὸς τὴν ὑπόθεσιν, ὅτι αὐτὸς ὁ
τοῖς φίλοις θύων τὸν σιτευτὸν ἐκεῖνον ἀμνὸν οὐκ ἄλλος τις
775 ἦν παρὰ τὸ ἱερὸν θῦμα, ἀλλὰ τοῦ τε οἰκείου σώματος
ἐνεφόρει τοὺς μαθητάς, ἔκ τε τῶν κρατήρων τοῦ αἵματος
ἐκίρνα τούτοις τὴν πόσιν, ὁμοῦ τε στηρίζων καὶ εὐφραίνων
τὰς καρδίας αὐτῶν. ἅμα δὲ οὐδὲ ἀλληγορεῖν νῦν ἐπιβέβλη-
μαι οὔτε τὸν κρατῆρα οὔτε τὴν τράπεζαν, ἀλλὰ πανηγυρί-
780 ζειν ἐπὶ τοῖς τοῦ Ἰησοῦ πάθεσι, δι' ὧν ἐγὼ τὴν ἀπαθεστά-
την εὗρον ζωήν.

763 cf. Is. 32,11 **764–765** cf. Matt. 26,20–21 **767–769** cf. Hom. Od. 5,92–93 **771–772** cf. Luc. 22,12 = Mar. 14,15

759 *προσσχών* Fr. *προσχῶν* codd. **762** *γὰρ* Ow om. B **764** *ἀνακλιθεῖσιν* Gtr. *ἀνακληθεὶς* codd. **767** *τῶν* om. O **770** *κρατήρ* Ow *χαρακτήρ* B **774** *ἄλλος* Ow *ἄλλο* B **778** *νῦν* B *νοῦν* O

Οἱ μὲν οὖν ἄλλοι τῶν μαθητῶν ὁμοῦ τε τῆς θυσίας κεκοινωνήκασι καὶ τὴν ἱερὰν τράπεζαν αἰδεσθέντες συνῆσαν τῷ ἑστιάτορι· Ἰούδας δὲ μόνος, τοῦ πρώτου χοροῦ τῶν μαθητῶν ὢν καὶ τὴν δωδεκάριθμον τούτων ἀναπληρῶν φάλαγγα, καὶ πρῶτον μὲν οὐ πάνυ τι προσεῖχε τῷ διδασκάλῳ, ἀλλὰ τὰ μὲν ἐλλοχῶν ἦν αὐτῷ καὶ ἐπιβουλεύων, τὰ δὲ καὶ προδήλως ἀντέκειτο καὶ κατῃτιᾶτο τὰ δόξαντα καὶ πεπιστευμένος τὸ ἱερὸν ταμιεῖον περί τε τὸν πιστεύσαντα κακοήθης καὶ περὶ τὸ πιστευθὲν πονηρότατος διεδείκνυτο. τότε δὲ καὶ πλέον – ὢ τῆς ἐκείνου πωρώσεως, ὢ τῆς τοῦ διδασκάλου μακροθυμίας – τότε γοῦν, ὁπηνίκα τούτῳ τοῦ δείπνου συνεκοινώνησεν, ὁπηνίκα τοῦ θείου συνεπεγεύσατο θύματος, ἐμεγάλυνεν ἐπ' αὐτὸν πτερνισμόν, ἰσόψυχος ὢν αὐτῷ, ὡς τῆς αὐτῆς ἐκείνῳ κεκοινωνηκὼς φύσεως καὶ γνωστὸς τὰ μάλιστα ὡς μαθητὴς οἰκειότατος. ἀλλ' οἷον κακὸν ἡ φιλαργυρία· τύφλωσίς ἐστιν αὐτόχρημα τῆς ψυχῆς, πώρωσις τοῦ νοός, ἐν δευτέρῳ τίθεται τῶν χρημάτων καὶ γένους ἀναγκαιοτήτας καὶ φιλίας θεσμούς, ἀρετήν τε σύμπασαν καὶ δικαιοσύνην, ὥσπερ δὴ τότε κἀκεῖνος τὸν χρυσὸν τοῦ κυρίου προτετίμηκεν, μᾶλλον δὲ ἀργυρίων ὀλίγων τὸν τῆς θείας σοφίας καὶ γνώσεως πέπρακε θησαυρόν. θαυμαστῶς γοῦν αὐτὸς φθάσας Ἱερεμίας ἱστόρηκε καὶ ὀνομαστὶ μνημονεύσας καὶ ἀκριβῶς στηλιτεύσας, ἁμαρτία, γάρ φη- 785 790 795 800

789–790 cf. Io. 12,6 **794** cf. Ps. 40,10 **796–797** cf. I Tim. 6,10 **801–802** cf. Matt. 26,15 **804–807** Ierem. 17,1 in Orig. Hexapla, II p. 616 Field

787 *αὐτῷ* B *αὐτῶν* O **790** *πονηρότατος* B *-τάτοις* O **792–793** *τούτῳ τοῦ δείπνου* BO *τ. δειπ. τούτῳ* w **795** *αὐτῆς* Ow *αὐτοῦ* B **799** *ἀναγκαιοτήτας* Gtr. *-οτάτας* O *-ότατα* B **800** *τότε* Ow om. B **802–803** *θαυμαστῶς* Ow *-τὸς* B

805 *σιν, Ἰούδα γέγραπται ἐν γραφείῳ σιδηρῷ, ἐν ὄνυχι ἀδαμαντίνῳ ἐγκεκολαμμένη ἐπὶ τοῦ στήθους τῆς καρδίας αὐτῶν καὶ τοῖς κέρασι τῶν θυσιαστηρίων ὑμῶν· ἴσως μὲν οὖν καὶ προσωμίλησε τῇ τοιαύτῃ γραφῇ καὶ εἶχον ἂν ἐγκεκολαμμένον ἐπὶ στήθους τὸ γράμμα, ἀλλ' ὑπὸ τοῦ πάθους*
810 *τηνικαῦτα περιέφθαρτό τε καὶ διεσκότωτο.*

Καὶ τὰ μὲν τοῦ δείπνου τέλος εἶχε τοῦ Ἰησοῦ, ἄρχεται δὲ τὰ τῆς ἐπιβουλῆς καὶ τῆς σταυρώσεως, καὶ ὑποχωρεῖ τι βραχύ, τοῦτο μὲν καὶ διδοὺς χώραν τῇ μετανοίᾳ, τοῦτο δὲ καὶ νομοθετῶν ἡμῖν τὸν τοῦ μαρτυρίου σκοπόν· τὰ δ' ἐν-
815 *τεῦθεν οἷα; σὺ δέ μοι θαύμαζε τὸ μυστήριον καὶ τὸ διπλοῦν τῶν φύσεων ἐν ταῖς διτταῖς καὶ ἀναλογίαις καταμάνθανε πράξεσι· ἀπεύχεται τὸ τοῦ θανάτου ποτήριον καὶ πάλιν ἐπὶ τῇ βουλήσει τοῦτο τῇ πατρικῇ τίθησιν· ἀγωνιᾷ ὡς ἐπὶ δεινῷ μέλλοντι καί, ἐξὸν μὴ παθεῖν, πρὸς τὸ πάθος*
820 *ἐπείγεται· τούτων δὲ τὰ μὲν τῆς θείας μηνύματα φύσεως, τὰ δὲ τῆς ἀνθρωπίνης γνωρίσματα· οὕτω γὰρ καὶ ἐν τοῖς πρὸ τοῦ πᾶσιν ἐνήργει, ἀεὶ τῷ θείῳ παραμιγνὺς τὸ ἀνθρώπινον· ἐξ ὧν γὰρ ἥνωτο, ταῦτα ταῖς ἐνεργείαις ἐγνώριζεν· ἐν μὲν γὰρ τῷ πεινῆν καὶ διψῆν καὶ δακρύειν τῆς χείρονος*
825 *φύσεως τοὺς χαρακτῆρας ἐδίδασκεν, ἐν δὲ τῷ ἐπιτιμᾶν πνεύμασι καὶ πεζεύειν πέλαγος καὶ νεκροὺς ἀνιστᾶν καὶ τἄλλα ποιεῖν ὅσα τούτοις ἀκόλουθα τὴν θείαν παρεδήλου*

817–818 cf. Matt. 26,39

805 *Ἰούδα* BO *Ἰούδας* w **806** *ἐπὶ* B *μετὰ* O **809** *τοῦ* post *ἐπὶ* add. w *ἐπὶ – γράμμα* BO *τὸ γρ. ἐπὶ τ. στ.* w *τοῦ* Ow om. B **812** *ὑποχωρεῖ τι* B *-χωρεῖν τι* O *-χωρεῖται* Gtr. **814** *νομοθετῶν* w *-θέτης* B *-θετ* O **816–817** *καταμάνθανε πράξεσι* B transp. O **817** *ἀπεύχεται* B *ἀπέχεται* O **818** *βουλήσει* Ow *βουλῇ* B **822** *τῷ θείῳ* Ow *τὸ θεῖον* B **826** *πνεύμασι* B *πατέρασι* O

φύσιν καὶ τὴν θαυματοποιὸν αὐτοῦ δύναμιν καὶ ἐνέργειαν· ἐν οἷς δὲ καὶ ἡ ἐπαφὴ τῆς χειρὸς ὑπὲρ φύσιν ἐθαυματούργησεν, σαφέστατα τὴν τοῦ προσλήμματος ἐδίδασκε θέωσιν, 830 *καὶ ὡς μία ὁ αὐτὸς ὑπόστασις ἦν, ἄνθρωπος ὁμοῦ καὶ θεὸς ὤν τε καὶ ὀνομαζόμενος, πρόσωπον ἓν ἐν δυοῖν φύσεσι σύνθετον. καὶ ὁ μὲν αὐτόχρημα ζωὴ ὢν τὸ τοῦ ἰδίου θανάτου ᾠκονόμησε μυστήριον, ὥσπερ αὐτῷ βουλητὸν ἦν· Ἰουδαῖοι δὲ ὡς ψιλοῦ ἀνθρώπου κατέτρεχον καί, ὥσπερ* 835 *δεδοικότες συνοῦσαν ἐκείνῳ παρεμβολὴν κρείττονα, στρατιωτικάς τινας σπείρας καὶ τάξεις ἐπ' ἐκεῖνον συνέταττον καὶ χαρακώματα ἔβαλλον καὶ περιεκύκλουν, ἵνα μὴ διαδράσῃ ὁ σωτὴρ αὐτῶν ἢ πολέμιος, ἢ τάχα καὶ ἐδεδίεσαν ὡς κρείττονα φύσιν· οὐ γὰρ ἂν μετὰ πολλῶν ἑνὶ προσέ-* 840 *βαλλον. πῶς οὖν τὸν οὕτως ὑπειλημμένον ἑλεῖν διεσκέψαντο; τοιοῦτόν ἐστι νοῦς πλανώμενος ἑαυτῷ καὶ τοὺς ὁμιλοῦντας πλανῶν. τίς γοῦν αὐτῶν οὐ καταγελάσειε καὶ τῆς ἐπιβουλῆς καὶ τῆς προσβολῆς; ὃν γὰρ εἶχον ἐντὸς ἑαυτῶν ὥσπερ ἐν ἀπολιορκήτοις φυλαττόμενον τείχεσι διὰ* 845 *προδοσίας λαβεῖν ἐμελέτησαν, καὶ ᾧ μηδεὶς εἰς συμμαχίαν παρειστήκει, ἐπὶ τούτῳ σύνταγμά τι στρατιωτικὸν συνετάξαντο, τάχα καὶ ἐπικουρικὸν ἔξωθεν εἰς συνασπισμὸν τούτοις παρακαλέσαντες. ὡς ὑπερφυὲς δὲ καὶ τῆς προδοσίας τὸ σύνθημα, φίλημα μαθητοῦ καὶ προσφώνησις φιλική, μί-* 850 *σους καὶ ἀπεχθείας ἐκφαντικὴ καὶ παντελοῦς διαστάσεως, καὶ ἐπιγάννυται τῷ κλέμματι ὁ προδότης, ὡς ἤδη συνηρη-*

833 cf. Io. 14,6 **835–837** cf. Io. 18,3 **849–850** cf. Luc. 22,48

829 *ἡ* om. w **836** *δεδοικότες* BO *δεδιότες* w **841** *ὑπειλημμένον* Ow *ἐπει-* B **844** *προσβολῆς* B *-βουλῆς* O **851** *ἐκφαντικὴ* B *ἐμφατικὰ* O *παντελοῦς* BO *πανταχοῦ* w

κὼς τὸν ἀνάλωτον. πόθεν σὺ τοῦτον ὑπεξελών, ἀγνωμονέστατε πάντων ἀνθρώπων ἢ ἀσεβέστατε; ἐκ ποίων φρου-
855 *ρίων; ἐξ οἵων τειχῶν; ποίᾳ δὲ καὶ σκεπτόμενον φάλαγγι ἠπάτησας; ὑπεκδραμὼν τοῦ συνασπισμοῦ, κἀντεῦθεν τοῖς πολεμίοις προδέδωκας. ὡς θαυμάσιόν σου τὸ κλέμμα καὶ ὑπερφυὲς τὸ μηχάνημα. ἀλλ' ἔργον καὶ τοῦτο, μᾶλλον δὲ σύμβολον τῆς Ἰουδαϊκῆς ἀνοίας παμμέγεθες, ἧς αὐτὸς κα-*
860 *τετρύφησας, προδεδωκὼς τούτοις, εἰ χρὴ οὕτως εἰπεῖν, ἢ παραδοὺς ὃν ὥσπερ ἠγνόουν κατέχοντες ταῖς χερσίν. ἀλλ' ἑταῖρε, ἐφ' ᾧ πάρει, ἐρῶ γάρ σοι καὶ αὐτὸς τὴν τοῦ κυρίου φωνήν, ἄφες τὸ σχῆμα τῆς ὑποκρίσεως, τὸ προσωπεῖον ἀπόθες καὶ τὸ τῆς κακοηθείας ἡμῖν εἶδος παρά-*
865 *δειξον.*

Συλλαμβάνεται γοῦν τοῖς ἐπ' αὐτὸν στρατεύσασιν ὁ Χριστός, καὶ τὰ ἐπὶ τούτοις φρυάττονται κατ' αὐτοῦ ἔθνη καὶ λαοὶ μελετῶσι κενά. καὶ Πιλᾶτος τὰ μὲν ἀπομάχεται πρὸς τὸν Ἰσραήλ, τὰ δὲ συντίθεται· καὶ τὴν μὲν θείαν οὐκ ἐπι-
870 *γινώσκει φύσιν, ἀπολογεῖται δὲ πρὸς Ἰούδαν ὡς ὑπὲρ ἀνεγκλήτου ἀνδρός· καὶ οὐ κοινωνεῖ μὲν τέως τῆς γνώμης αὐτοῖς τῆς φονικῆς, οὐ κωλύει δὲ ἐξὸν τὴν ὠμότητα, ἀλλ' ὡς ἐν συμβόλῳ τοῦ μὴ συνομολογεῖν ἐκείνοις τὰ κατὰ τοῦ θείου λόγου τολμώμενα ὕδατι τὰς χεῖρας ἀπονίπτεται καὶ*

862–863 Matt. 26,50 **867–868** cf. Ps. 2,1 **874–875** cf. Matt. 27,24

853 *ὑπεξελὼν* Ow *ὑπερελὼν* B **853–854** *ἀγνωμονέστατε … ἀσεβέστατε* w *-τατ … -τατ* BO *-τατος … -τατος* Gtr. **856** *ὑπεκδραμὼν* w *-δραμοῦ* B *-δραμ* O **859** *σύμβολον* B *-βουλον* O *ἀνοίας* B *ἐννοίας* O **862** *σοι* Ow om. B **863–864** *προσωπεῖον* w *πρόσωπον* BO **864–865** *παράδειξον* B *-δοξον* O **866** *γοῦν* Ow *οὖν* B **868** *τὰ* BO *τὸ* w

ἀθῷον ἑαυτὸν ἀπὸ τοῦ αἵματος τοῦ Ἰησοῦ ἀποφαίνεται· 875
ὑποπτεύει γὰρ καὶ τὰ τῆς γυναικὸς ἐνύπνια. καὶ βούλεται
μέν τι πλέον περὶ αὐτοῦ φαντασθῆναι, οὐκ ἐφικνεῖται δὲ
τοῦ μεγέθους τοῦ μυστηρίου. διὰ ταῦτα ἀμφίβολός ἐστι
τὴν γνώμην καὶ τὸ καθ' ἑαυτόν· οἰκονομεῖν οἴεται καὶ τὴν
τῆς ἀδικίας γραφὴν ἀποφεύξεσθαι. ὁ δέ γε Ἰησοῦς, δε- 880
σμώτης – οἴμοι, δεσμώτης – ὁ δεσμήσων αὐτίκα τὸν
ἰσχυρὸν καὶ ἁφαρπάσων αὐτοῦ τὰ σκεύη καὶ καταλύσων
τὴν δυναστείαν, ἀλλὰ καὶ ἐν εἱρκτῇ ὁ θρόνον ἔχων τὸν οὐ-
ρανὸν καὶ ὑποπόδιον τὴν γήν, ἐν εἱρκτῇ ὁ πάντων ἀπ-
όλυτος καὶ μόνος ἐλεύθερος καὶ παντάπασιν ἄσχετός τε 885
καὶ ἀνεννόητος, ἐν εἱρκτῇ ὁ καθελὼν τοῦ ᾅδου τὸ δεσμω-
τήριον καὶ πολιορκήσας τὸ ζοφερὸν αὐτοῦ οἰκητήριον καὶ
ἐξαγαγὼν τὰς ἐκεῖσε κατεχομένας ψυχάς. ὢ τῆς ἀρχαίας
ἐμοὶ παραβάσεως καὶ πικρᾶς ἐκείνης γεύσεως, ὢ τῆς δι'
ἐμὲ τοῦ ὑπὲρ ἐμὲ κατακρίσεως, ὡς ὤφελον μὴ ἀνήκοος 890
κατ' ἀρχὰς γενέσθαι τοῦ πονηροῦ ὄφεως, ὤφελον μὴ δέξα-
σθαι τὴν ἐκείνου συμβουλὴν ἢ ἐπιβουλήν, εἰπεῖν οἰκειό-
τερον. τίς ἡ ἐμὴ λιχνεία; τί τὸ ὑπερβάλλον τῆς ἀπληστίας;
μᾶλλον δὲ τί τὸ ὑπερέχον τῆς πρὸς ἐμὲ τοῦ λόγου φιλαν-
θρωπίας; ἀπεστράφην εἰς γῆν, ἐξ ἧς ἐλήφθην· ἀκάνθας 895
αὕτη μοι καὶ τριβόλους ἀνέτειλε κατὰ τὴν ἀπόφασιν. τί
τοῦτο καινόν; ὀλίγα ὧν ἡμάρτηκα μεμαστίγωμαι, μακρὰν
ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου,

876 cf. Matt. 27,19 **881–882** cf. Matt. 12,29 **883–884** cf. Is. 66,1 **895** cf. Gen. 3,19 **895–896** cf. Gen. 3,18 **897** cf. Iob 15,11 **897–898** Ps. 21,2

877 *τι* B O *τοι* w **880** *ἀποφεύξεσθαι* B O *ἀποφθέγξασθαι* w **885** *τε* B *τις* O **889** *καὶ – γεύσεως* om. w **890** *μὴ* om. O

κρείττων ἡ ἁμαρτία μου τῆς ἀφέσεως. ἐγὼ τὴν αἰχμαλω-
900 *σίαν ἑαυτῷ προσήνεγκα· ἐμὲ δεῖ δεσμεῖσθαι καὶ ἐπὶ*
πολλοῖς τοῖς πάθεσι κατακρίνεσθαι. τί δὲ ὁ λυτρωτής; τί
δὲ ὁ ζωοδότης; τί δὲ ἡ τοῦ καλοῦ πηγή; ὁ μόνος ἀγαθὸς
καὶ ὑπὲρ νοῦν ἔχων τὴν ἀγαθότητα ὑπὲρ τῶν ἐμῶν ἐγκλη-
μάτων μαστίζεται καὶ δεσμὰ καὶ θάνατον κατακρίνεται.
905 *τίς ἡ τοσαύτη φιλανθρωπία; τίς ὁ πλοῦτος τῆς ἀγαθό-*
τητος; τίς ἡ ὑπερβάλλουσα κένωσις καὶ ταπείνωσις;
Ἵστατο ὥσπερ κριὸς ἄκακος ἔναντι τοῦ κείραντος
αὐτόν, καὶ οἱ πονηρότατοι τῶν ἀνθρώπων τὸν ἐκείνου πι-
στεύονται θάνατον, Πιλᾶτος καὶ Ἄννας καὶ Καϊάφας. καὶ
910 *οἱ μὲν ἐρωτῶσι δυσμενῶς τε καὶ ἐπιβούλως, ὁ δὲ νῦν μὲν*
σιωπᾷ, νῦν δὲ ἀποκρίνεται σοφῶς ἄμφω καὶ συνετῶς, καὶ
πρὸς τὸν τὴν σιωπὴν δυσχεράναντα καὶ ἐπὶ τῇ κατ' αὐτοῦ
ἀποφάσει μεγαλαυχήσαντα αὐτόθεν ὑπαντᾷ μετὰ τοῦ
προσήκοντος σχήματος καὶ δεικνύει ἄνωθεν αὐτῷ δεδό-
915 *σθαι τὴν κατ' αὐτοῦ ἐξουσίαν καὶ μὴ παρ' ἑαυτοῦ ταύτην*
λαβεῖν· ἐφ' ᾧ δὴ καὶ πλήττεται καὶ ἠρέμα δικαιολογεῖται
πρὸς τὸν ἀναιδῆ ἐκεῖνον καὶ τολμητίαν. εἶτα τί γίνεται;
κυροῦται κατὰ τοῦ Ἰησοῦ θανάτου ψῆφος καὶ τὴν ἐν τῷ
σταυρῷ ἀρὰν κατακρίνεται, ἵνα καθαρῶς ἐν αὐτῷ τὰς ἐξ-
920 *ουσίας καὶ τὰς ἀρχὰς ἀπεκδύσηται, ἃς γνωμικῶς μὲν οὐκ*
ἦν ἐνδυσάμενος, ἐν δὲ τῷ παθητῷ φορέσας τῆς φύσεως,
ἵνα ἐμοὶ ταύτας ἀφέληται, ὥσπερ καὶ πρὸ τούτου ἐν τῷ
βαπτίσματι τὴν ἐμὴν φύσιν ἐκάθηρεν.

907–908 cf. Is. 53,7 **909** cf. Io. 18,13 **914–916** cf. Io. 19,11 **919–920** cf. Col. 2,15

907 *ὥσπερ κριὸς* Ow *ὡς πικρὸς* B **910** *μὲν*[2] om. w **912** *τὸν* om. Ow **918** *τῷ* om. B **922** *ὁ* post *καὶ* add. O

Καὶ τριῶν τότε συνειλημμένων ληστῶν, τῷ μὲν ἀφιᾶσι τὴν τιμωρίαν, τοὺς δὲ τῷ λυτρωτῇ καὶ λόγῳ συγκατακρίν- 925
ουσιν. ἐπέχει μου τὴν γλῶτταν τὰ ἐφ' ἑκάστῳ μυστήρια καὶ οὐδὲ λογισμῷ δύναμαι ἑλεῖν τῶν οἰκονομουμένων τὸ μέγεθος. ἐναγεῖ ἀνδρὶ καὶ φονεῖ συνεξετάζεται ὁ Χριστὸς καὶ ψῆφος περὶ θανάτου ἀμφοῖν ταλαντεύεται, καὶ αἱ πρά-ξεις ἀμφοτέροις ἀντεξετάζονται, καὶ νικᾷ ὁ ληστὴς κατὰ 930
τοῦ σαρκωθέντος θεοῦ, καὶ ὁ μὲν παραλαμβάνεται, ὁ δὲ ἀφίεται. τοῦτο χαλεπώτερον εἰς κατανόησιν καὶ τῆς τῶν ὄντων ἐκ τοῦ μὴ ὄντος παραγωγῆς· τοῦτο οὐδ' ἀγγέλοις ἐφικτὸν εἰς γνῶσιν, οὐδὲ ἀρχαγγέλοις, οὐδὲ ταῖς ἐπέκεινα τάξεσιν, ἀλλὰ κείσθω μετὰ τῶν ἀνεξιχνιάστων ἐκείνων κρι- 935
μάτων καὶ τῆς ἀκαταλήπτου σοφίας καὶ γνώσεως. ἀντι-σταθμᾶται ληστῇ ὁ θεός, ὁ ποιητὴς τοῦ παντός, ὁ ἐν σταθμῷ πάντα καὶ ζυγῷ συστησάμενος, καὶ δοκεῖ ἧττον κεκακουργηκέναι ὁ μιαιφόνος ἀνὴρ τῶν ἐκείνου ἐνεργειῶν τε καὶ πράξεων, ὁ πολλοὺς ἀνελὼν τοῦ πάντας ζωώσαντος, 940
ὁ τοῖς τῶν ἀνῃρημένων αἵμασι τὰς χεῖρας μιάνας τοῦ τῷ ἰδίῳ αἵματι τὴν φύσιν τῶν ἀνθρώπων καθάραντος.

Ἀλλ' οὖν γέγονε ταῦτα. καὶ ὁ τοῦ σωτῆρος σταυρὸς ἐν τῷ Γολγοθᾶ πήγνυται καὶ ἀναρτᾶται ἐπὶ ξύλου ὁ τὴν γῆν μετεωρίσας τοῖς ὕδασι, μᾶλλον δὲ ὁ τὸν σύμπαντα κόσμον 945
ἐν ἀφανεῖ κατέχων δρακί, καὶ διατιτρᾶται τὰς παλάμας ὁ τὴν ἐμὴν προσηλῶν ἁμαρτίαν καὶ τὰς τοῦ πονηροῦ τυ-ράννου χεῖρας ἐπέχων φονώσας κατὰ τῆς ἡμῶν φύσεως,

924–925 cf. Io. 18,39–40 et Matt. 27,38 = Mar. 15,27 **935–936** cf. Rom. 11,33 **937–938** cf. Is. 40,12 **944–946** cf. Is. 40,12

935–936 *ἐκείνων κριμάτων* BO transp. w **939** *κε-* om. B *τῶν* B *τοῦ* O **946** *διατιτρᾶται* Ow *διὰ τὴν ἐκταθῇ* B

καὶ σφίγγεται τοῖς ἥλοις ὁ τῆς ἡμετέρας φύσεως τὴν ὀδύ-
950 *νην τῆς κατακρίσεως ἐξελών.*

Ἀλλ' ὅ με διέλαθεν, ἵλεως δέ μοι εἴη τῷ λόγῳ καὶ ὁ τοῦ
τῶν μαθητῶν κύκλου κορυφαῖος ἀπόστολος καὶ ἀπὸ τῆς
πέτρας ὠνομασμένος, ἐφ' ἧς ἐστήριξε τὴν ἐκκλησίαν αὐτοῦ
ὁ θεὸς καὶ πύλαι ᾅδου ταύτην οὐκ ἰσχύουσι. κινῶ δὲ τὸν
955 *περὶ τούτου λόγον ἵνα δείξω καὶ τοῦ μαθητοῦ τὴν θερμό-*
τητα καὶ τοῦ διδασκάλου τὴν πρόγνωσιν καὶ τὸ ἐκ τῆς ἀρ-
νήσεως τραῦμα καὶ τὸ ἐκ τῆς μετανοίας φάρμακον· τέως
γὰρ ἐδόκει οὗτος περιττός τις εἶναι τὴν πρὸς τὸν θεὸν φι-
λίαν τε καὶ οἰκείωσιν· ἦν γὰρ καὶ γεννάδας τὴν γνώμην
960 *καὶ πάντα ὑπὲρ τοῦ σωτῆρος παθεῖν προτεθυμημένος.*
ὅθεν τοῖς μαθηταῖς πολλάκις προλέγων ὁ κύριος τὸ ἑαυτοῦ
πάθος καὶ τὸν σταυρὸν καὶ ὡς αὐτίκα φεύξονται καὶ ἀπ'
ἀλλήλων διαιρεθήσονταί τε καὶ σκανδαλισθήσονται, οἱ μὲν
ἄλλοι τέως ᾑδοῦντο τὴν πρόρρησιν καὶ οὐδεὶς αὐτῶν
965 *ἐθάρρει τὴν ἐπὶ τούτου ἀντίρρησιν, ὁ δέ γε Πέτρος, οὐκ*
ἐνεγκὼν τὴν τοῦ λόγου πληγήν, δι' ὑπερβολὴν πίστεως καὶ
θερμότητα ἀντιμάχεται τῷ διδασκάλῳ δεινῶς καὶ τὴν ἀφ'
ἑαυτοῦ πρόρρησιν τῇ ἐκείνου ἀντιτιθεῖ, καὶ μήτε λιπεῖν
ἐκεῖνόν ποτε διαβεβαιούμενος μήτε ἀρνήσασθαι, κἂν
970 *πολλάκις δεήσῃ τοῦτον ἀποθανεῖν. ἀλλ' ὁ πάντα εἰδὼς*
πρὶν γενέσεως αὐτῶν οὐ μόνον προλέγει τούτῳ τὴν ἄρνη-
σιν, ἀλλὰ καὶ σύνθημα δίδωσι τῆς τοιαύτης ἀλληγορίας
καὶ τὸν καιρὸν ἀφορίζεται τῆς ἀρνήσεως καὶ διαριθμεῖται

952–954 cf. Matt. 16,18 **960–974** cf. Matt. 26,31–35 = Mar. 14,27–31 = Luc. 22,33–34 = Io. 13,37–38

949 *καὶ – φύσεως* om. B **953** *ἧς* B *οἷς* O **963** *διαιρεθήσονται* Ow *διερεθι-* B **968** *τῇ* Ow *τὴν* B **970** *τοῦτον* BO *τούτων* w **971** *τούτῳ* om. w **973–974** *διαριθμεῖται – φωνάς* BO *διαρ. τὰς τῆς ἀγν. φω. αὐτῷ* w

αὐτῷ τὰς τῆς ἀγνωμοσύνης φωνάς. ὡς δ' οὖν ὁ κατὰ τοῦ σωτῆρος πόλεμος κατερράγη καὶ ἤδη ἁλώσιμος ἐγεγόνει ὁ 975 *Ἰησοῦς, οἱ μὲν ἄλλοι τῶν μαθητῶν δρασμὸν κατὰ τὴν τοῦ κυρίου φωνὴν ἐβουλεύσαντο, καὶ οὕτω δὴ σεσώκασιν ἑαυτούς· Πέτρος δὲ καὶ Ἰωάννης τοῖς τοῦ κυρίου συμπαραμένουσι πάθεσιν, ὁ μὲν ὡς καὶ γνωστὸς τῷ ἀρχιερεῖ κἀντεῦθεν τὸ θαρρεῖν ἔχων ὡς οὔτ' ἂν ἁλοίη, οὔτε μὴν* 980 *κατασταίη εἰς ἔλεγχον, ὁ δὲ ὡς μηδὲ κατὰ βραχὺ δεδιὼς τὴν Ἰουδαϊκὴν φάλαγγα, ἀλλ' εἰ δεήσει, καὶ τὸν συνασπισμὸν αὐτῶν διαρρήξων αὐτίκα καὶ μόνος ἀρκέσων τοῖς πλήθεσιν· ἦν γὰρ καὶ τὴν ψυχὴν γενναῖος καὶ τὴν γνώμην δραστήριος καὶ τῷ θερμῷ ζέων τῆς πίστεως, κἀντεῦθεν* 985 *πάντα τολμᾶν καὶ ὑπομεῖναι θαρρῶν, καὶ γενναῖα τέως αὐτῷ τὰ πρῶτα νεανιεύματα· οὐ γὰρ ὑποστέλλεται τὴν Ἰουδαϊκὴν σπεῖραν, οὐδὲ ἀποδιδράσκει τὴν φάλαγγα, ἀλλ' ἐπειδὴ συνείληπτο ὁ Ἰησοῦς καὶ ἐντὸς ἀρκύων ἐγεγόνει τὸ θήραμα, καὶ φονῶσιν ἀνδρᾶσι καὶ πονηροῖς ἀνεμίγνυτο* 990 *καὶ τὰ κατ' αὐτὸν ὠλιγώρητο, ἣν ἀπῃώρητο σπασάμενος μάχαιραν, ἕνα τῶν περὶ τὸν ἀρχιερέα τοῦ δεξιοῦ ἀφαιρεῖται ὠτός, καί, εἰ μὴ ὁ σωτὴρ αὐτῷ τὴν τόλμαν ὠνείδισε καὶ ἀνεῖρξε τοῦ ἐγχειρήματος, πολλοὺς ἂν τῶν καιρίων ἠκρωτηρίασεν.* 995

Ἐπεὶ δὲ καὶ ἐντὸς τῆς αὐλῆς ἐγεγόνει, καὶ ὁ μὲν κατὰ

976–977 cf. Matt. 26,56 = Mar. 14,50 **979** Io. 18,15 **991–994** cf. Io. 18,10–11

980 *ὡς οὔτ'* BO *ὥστ'* w **981** *εἰς* Ow *τὸν* B **982** *δεήσει* Ow *δεήσεται* B **986** *τολμᾶν* Gtr. *τολμᾷ* codd. **992** *τὸν ἀρχιερέα* w *τὸν ἀρχιέρεως* B *τῶν ἀρχιέρεων* O **994** *καὶ* Ow om. B *ἂν τῶν καιρίων* Ow *τῶν καιρ. ἂν* B **996** *καὶ*[1] om. O

τοῦ Ἰησοῦ θάνατος ἤδη κεκύρωτο, ὑπέληγε δὲ τούτου τὰ τῆς θερμότητος καὶ ὁ τῆς ψυχῆς τόνος ὑποχαλᾶν ἤρξατο καὶ μαλακωτέρον ἐγενόνει τὸ οἴημα, αὐτίκα προσβάλλει
1000 *τούτῳ ὁ πειραστής, ὃς δὴ καὶ σινιάσαι ὡς τὸν σίτον ᾐτήσατο, καὶ πρόσεισί τις ἀναπυνθανόμενος τοῦτον καὶ ἀνιστορῶν ὡς τεθεαμένος αὐτὸν ἐπὶ τῇ τοῦ Ἰησοῦ προδοσίᾳ καὶ ἀκριβῶς ἀπελέγχων· ὡς δὲ καὶ αὐτίκα ἔμελλεν ἐμφανῆ καταστῆσαι τοῖς φονευταῖς, ἀρνήσει τὸν ἔλεγχον ἀπεκρού-*
1005 *σατο. εἶτα δὴ ἐρωτᾷ ἕτερος καὶ αὖθις ἄλλος καὶ ἑκάστη προσθήκη τῶν ἐρωτήσεων προσθήκην εἶχεν ἀρνήσεως· καὶ δάκρυσι θερμοῖς ἐξιᾶτο τὸ πάθος καί, πρὶν ἢ τὸ σύμπτωμα πῆξιν λαβεῖν, τὸ φάρμακον ἐπιτίθησι καὶ ὑπεκτέμνει τὸ τῆς ἀρνήσεως βλάστημα, ἄρτι τῆς ψυχῆς ἐξανθῆσαν*
1010 *καὶ τὴν ῥίζαν ἔχον νεοπαγῆ, καὶ γίνεται αὐτῷ ἡ τοιαύτη ἧττα νίκης ἀρχὴ καὶ ἡ ἄρνησις συγγνώμης πρὸς τοὺς ἁμαρτάνοντας ἀφορμὴ καὶ ἡ δοκοῦσα τέως πρὸς τὸν εὐεργέτην ἀγνωμοσύνη συμπαθείας καὶ φιλανθρωπίας ὑπόθεσις.*

B

Καὶ ὁ μὲν περὶ τοῦ Πέτρου λόγος, βραχύ τι παραδραμὼν τὸν προτεθειμένον σκοπόν, ἐνταῦθα κατέληξεν. ἡμεῖς δὲ μὴ ἀποστῶμεν μηδὲ ἀνηρτημένου τοῦ Ἰησοῦ, ἀλλὰ συμ-

1000–1001 Luc. 22,31 **1001–1007** cf. Matt. 26,69–75 = Mar. 14,66–72 = Luc. 22,54–62 = Io. 18,17–18 et 25–27

997 *θάνατος* Ow *-ον* B *τούτου* B *τούτῳ* w *τούτ* O **1002** *Ἰησοῦ* O *σταυροῦ* B **1004** *φονευταῖς* B *φονοταῖς* O **1006** *ἐρωτήσεων* Ow *-ησῶν* B **1007** *θερμοῖς* om. w *ἐξιᾶτο* O *-ται* B
2 *βραχύ τι* BO *βράχει* w **3** *προτεθειμένον* Ow *-τιθέμενον* B

παραμείνωμεν τῷ σταυρῷ καὶ βραχύ τι τῷ λόγῳ κακοπαθήσωμεν, μὴ ὡς Ἰουδαῖοι τὰς ἀναβολὰς αὐτοῖς μεριζόμενοι, μηδὲ κλῆρον ἐπὶ τῇ διαιρέσει τούτων ποιούμενοι, ἀλλ' ἀνέπαφα ταῦτα φυλάσσοντες καὶ ἠρέμα συμπτύσσοντες· τὸν δέ γε ἄνωθεν ἐξυφασμένον χιτῶνα μὴ ἀνάγνοις ἰδεῖν τολμήσωμεν ὄμμασι, μηδὲ ἀνίπτοις τούτου προσψαῦσαι χερσί· τὸν γὰρ ἐπὶ τοῦτον κλῆρον οὐδὲ ὁ ἀγνώμων τετόλμηκε Ἰσραήλ. εἰ δέ τις ὑμῖν ἀντεπενέγκοι τὰς τοῦ σωτῆρος πρὸς τὸν πατέρα φωνὰς ὡς ἐγκαταλελειμμένου καὶ ἐπιλελησμένου παντάπασιν, τὸν τῆς οἰκονομίας τούτῳ λόγον ἀνθυποβάλλετε καὶ τὴν ἀνθρωπικὴν φύσιν ἀντεπενέγκατε, δι' ἣν τέως ἐγκαταλελεῖφθαι δοκεῖ καὶ δεῖται τῆς πατρικῆς κλήσεως· ἐμοὶ γὰρ καὶ μεμαλάκισται καὶ τετραυμάτισται καὶ δι' ἐμὲ τῆς ἄνωθεν δεῖται χειρὸς καὶ τῆς θείας ἐπικουρίας· αὐτὸς γὰρ τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ περὶ ἡμῶν ὀδυνᾶται καὶ αὐτὸς ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν, ἵνα τῷ μώλωπι αὐτοῦ τῆς ἰάσεως τύχωμεν, καὶ ὅ φησιν ὁ θεῖος ἀπόστολος περὶ τοῦ μεγάλου λέγων πατρός, ὅτι τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν· ὡραῖος μὲν γὰρ ἦν κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων καὶ δόξῃ καὶ τιμῇ

6–9 cf. Io. 19,23–24 **10–11** cf. Matt. 15,20 = Mar. 7,2 **13–14** cf. Matt. 27,46 = Mar. 15,34 **14–15** cf. Luc. 16,2 et Io. 17,9–10 **19–22** cf. Is. 53,4–5 **24–25** cf. Rom. 8,32 **25–26** cf. Ps. 44,2 **26–27** Ps. 8,6

7 *μήδε* BO *μὴ* w **8** *καὶ* Ow om. B **11** *τοῦτον* Gtr. (cf. Io. 19,24) *τούτων* codd. **12** *ὑμῖν* Ow *ἡμῖν* B **16** *τέως* Ow *τελέως* B **20** *περὶ* BO *ὑπὲρ* w **23** *λέγων* om. w

ἐστεφανωμένος, ἔλαιόν τε κεχρισμένος ἀγαλλιάσεως, ἀλλ' εἴδομεν, φησίν, αὐτόν, ὁ προφήτης, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἐκλεῖπον παρὰ τοὺς υἱ-
30 *οὺς τῶν ἀνθρώπων. ἐκεῖνα τῆς νοητῆς ὡραιότητος, ταῦτα τῆς ἐπὶ τοῦ σταυροῦ ἀμορφίας· ἐκεῖνα τοῦ ὕψους, ταῦτα τῆς ταπεινώσεως· ἐκεῖνα τῆς κρείττονος φύσεως, ταῦτα τῆς χείρονος· ἐσταυρώθη γὰρ ἐξ ἀσθενείας, κατὰ τὸν θεῖον ἀπόστολον, καὶ ζῇ ἐν δυνάμει θεοῦ καὶ ἐν μορφῇ*
35 *θεοῦ ὑπάρχων, ἐταπείνωσεν ἑαυτὸν καὶ ἐκένωσεν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.*

Οὐδὲν γάρ ἐστιν ὧν ἐπεπόνθει ὃ μὴ προειρήκει ταῖς προφητικαῖς γλώσσαις ἀποχρησάμενος εἰς τὴν πρόρρησιν. ὤρυξαν αὐτοῦ χεῖρας καὶ πόδας προσηλοῦντες τοῦτον οἱ
40 *στρατιῶται, καὶ ἦν τὸ γινόμενον πρόρρησις τοῖς ἔργοις ἐκβαίνουσα· δεῖται περὶ ἑαυτοῦ τοῦ ἰδίου πατρὸς ὁ σταυρούμενος κύριος, καὶ Δαυὶδ τὴν δέησιν ἐν τοῖς τοιούτοις προσεσκίασε ῥήμασιν, αὐτὸν τὸν λόγον ὑποκρινόμενος· ῥῦσαι, γάρ φησιν, ἀπὸ ῥομφαίας τὴν ψυχήν μου καὶ ἐκ*
45 *χειρὸς κυνὸς τὴν μονογενῆ μου. παρῆν ἄγγελος ἐνισχύων αὐτὸν καὶ παρακαλῶν ταῖς πατρικαῖς συμμαχίαις, καὶ αὐτὸς ὁ προφήτης σαφῶς τοῦτο ἐκ προσώπου τοῦ παρακαλουμένου παρίστησιν· οὐκ ἐξουδένωσε γὰρ οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἔστρεψε τὸ*
50 *πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν ἐπήκουσέ μου· εἰ δέ σε θράττει ὁ τῆς ἐγκαταλείψεως λόγος καὶ τῶν πολλῶν τότε θαυμάτων ἀφέμενος*

27 cf. Ps. 44,8 **28–30** cf. Is. 53,2–3 **33–34** cf. II Cor. 13,4 **34–36** cf. Phil. 2,6–8 **42–45** Ps. 21,21 **45–46** cf. Luc. 22,43 **46** cf. Matt. 26,53 **48–51** Ps. 21,25

47 *σαφῶς* O *σοφῶς* B **48** *ἐξουδένωσε* Ow *ἐξεδύνωσε* B

κακουργεῖς περὶ τὰς ἀναβολὰς ὧν ἀγνοεῖς λέξεων, διδάχθητι ὡς οὐκ ἂν ἐξηγοράσθημεν τῷ αὐτοῦ αἵματι, εἰ μὴ ὁ τρόπος τῆς ἐγκαταλείψεως ἐγεγόνει. 55

Οἷς οὖν ἐκεῖνος ἐγκαταλέλειπται, ἐγὼ προσῳκείωμαι καὶ ὑπερφυοῦς προνοίας τετύχηκα· σὺ δὲ τὰς μὲν τῆς οἰκονομίας περιεργάζῃ φωνάς, τὰς δὲ τῶν θαυμάτων οὐ πτήσσεις ὑπερβολάς. τίνα ταῦτα; ἥλιος σκοτιζόμενος, πέτραι ῥηγνύμεναι, σχιζόμενον καταπέτασμα καὶ διχῇ διαιρούμενον, ἵνα 60 *τὰ τέως ἄδυτα φανερὰ πᾶσι γένηται καὶ μὴ πολλὰ εἴη θυσιαστήρια, μηδὲ τὸ μὲν ἅγιον κοσμικὸν καλῆται, τὸ δὲ λατρείας σκηνή, τὸ δὲ μόνως ἄδυτον, μηδὲ ἀπείργηται τοῦ ἱερέως τὸ πλῆθος, ἀλλὰ τῷ ἀρχιερεῖ συνεισέρχηται, καὶ μία πᾶσιν οἰκοδομηθῃ ἐκκλησία, ἕνα θεμέλιον ἔχουσα τὸν* 65 *Χριστόν, τὸν αὐτὸν καὶ λίθον ἀκρόγωνον τὰ διεστῶτα συνδέοντα καὶ ἑαυτῷ καὶ ἀλλήλοις συνάπτοντα. ὁποῖος δ' ἐστὶν ὁ ἀκριβέστατος τῶν ἑνουμένων δεσμός; ἐπίσχες βραχὺ καὶ ὄψει καὶ τὰ τούτων μείζονα καὶ θαυμασιώτερα, τὸ τοῦ ᾅδου καταλυόμενον φρούριον καὶ τὸν θάνατον τοῖς* 70 *θνητοῖς ἡμῖν κατολιγωρούμενον καὶ τὸν ἀντικείμενον δαίμονα τὰ ἔσχατα πεπονθότα δεινὰ σώματά τε ἁγίων ἀθρόον συνδεσμούμενά τε καὶ συμπηγνύμενα καὶ μετὰ τῶν οἰκείων ψυχῶν ἐγειρόμενα καὶ αὖθις ἐπὶ τὰς αὐτὰς ἰόντα*

54–55 cf. Gal. 3,13 **57–58** cf. Luc. 23,46 **59–60** cf. Matt. 27,45–52 = Mar. 15,38 = Luc. 23,44–45 **64–67** cf. Eph. 2,20–22 **72–75** cf. Matt. 27,52

58 *περιεργάζῃ* Ow *-γάζει* B **62** *μὲν* om. B *καλῆται* Gtr. *καλεῖται* codd. **64** *τὸ πλῆθος* Ow *τῷ πλήθει* B *συνεισέρχηται* BO *-χεται* w **65** *οἰκοδομηθῇ* w *-μηθ* O *-μῆσθαι* B **67** *δ'* om. B **68** *ἀκριβέστατος* B *-τατον* O

75 *ταφὰς ἤ, ὅ φασιν, ἐπὶ τὰς ὁμοίας λαβὰς καὶ εἰς τὴν προτέραν λύσιν ἀναλυόμενα.*

Πηλίκον δέ σοι καὶ πρὸ τούτων τὸ μεσημβρίας ἐκλελοιπέναι τὸν ἥλιον φαίνεται; μήποτε καὶ τοῦτο τοῖς νέφεσι δίδως καὶ τῇ τούτων ὑποδρομῇ· ἀλλ' οἵ γε τηνικαῦτα τὴν 80 *ἐπισκότησιν θεασάμενοι ὀφθαλμοῖς αὐτοῖς τὸ ἀπόρρητον μυστήριον διεγνώκεισαν. ἣν μὲν τότε τὴν τελείαν ἀπόστασιν ἀπὸ τοῦ ἡλίου ἡ σελήνη ποιησαμένη· κατὰ γὰρ διάμετρον ἐσχηματίζετο πρὸς αὐτόν, καὶ ἐπειδὴ ὁ τῆς μέσης ἐνειστήκει καιρός, ὁ μὲν κατὰ τὸ μεσαίτατον τοῦ ὑπὲρ κε-* 85 *φαλὴν οὐρανοῦ, οὕτως εἰπεῖν, ἐστηρίζετο, ἡ δέ γε σελήνη ὑποχθόνιος τηνικαῦτα οὖσα ἐτύγχανεν· οὕτω γὰρ αὐτὴν ἐφίστα τὸ σχῆμα. καὶ ἐπειδὴ ἤδη πλησιφαὴς ἐγεγόνει καὶ ἔμελλεν αὐτοῦ τὸ φῶς ὑπολείπειν, κατὰ βραχὺ μεθίησι τοῦ φυσικοῦ δρόμου καὶ τοῖς ἀριθμοῖς ἀναλύσασα καὶ ὥσπερ* 90 *ὑπό τινος κινηθεῖσα ἀκαμάτου δυνάμεως ἀνταναλύει, καὶ τὸν ἀνατολικὸν ὑπερβαλοῦσα ὁρίζοντα ἐλαύνει ἀθρόον πρὸς ἥλιον καὶ ὑπιοῦσα τοῦτον ὥσπερ ἐξεπίτηδες ἢ ἀπὸ συνθήματος κρείττονος, χθαμαλωτέρα ἑαυτῆς γίνεται καὶ καταβαίνει ταπεινουμένη καὶ ὅλην τὴν ἡλιακὴν σφαῖραν* 95 *τῷ ἑαυτῆς ἡμῖν κύκλῳ ἀπολαμβάνει καὶ κωλύει ἀφικνεῖσθαι πρὸς γῆν τὰς ἐκείνου αὐγάς. καὶ ἐπειδὴ ἀρκούντως εἶχε τοῦ σκότους ἡ συμπάσχουσα τῷ θεῷ κτίσις, αὖθις ἡ σελήνη τὴν προσταχθεῖσαν αὐτῆς ὑπηρεσίαν ἀποπληρώσασα, ὅθεν τῷ ἡλίῳ προσῆλθεν, ἐκεῖθεν ἐπάνεισιν, καὶ τὸν* 100 *αὐτὸν μὲν ὁρίζοντα κάτεισιν, ἐπὶ δὲ τὸ σημεῖον ἀφικνεῖται ὃ καταλέλοιπεν ἀναλύουσα καὶ τῆς οἰκείας πάλιν πορείας οὐκ ἐπιλέληστα ι.*

74–75 cf. Plat. Phdr. 236 b 9–10 **77–78** cf. Matt. 27,45 = Mar. 15,33 = Luc. 23,44

88 *αὐτοῦ* post *φῶς* add. B **97** *εἶχε* Ow om. B

Ἔστι μὲν οὖν καὶ τὸ κατὰ τὸν Ἰησοῦν τοῦ Ναυῆ καινοτομηθὲν τότε κατὰ τοὺς φωστῆρας παράδοξον ὡς ἀληθῶς καὶ πᾶσαν ὑπερεκπλῆττον διάνοιαν· ἔστη γὰρ τότε 105 *ὁ δρόμος ἀμφοῖν, καὶ ὁ μὲν ἥλιος ἀντικρὺ κατὰ Γαβαὼ ἐστηρίχθη, ἡ δὲ σελήνη ἐξ ἐναντίας ἔληξε κατὰ φάραγγα, καὶ τότε πρῶτον τῆς ἀεικινήτου καὶ ἀναγκαιότητος οἱ φωστῆρες παῦλαν ὑπομεμενήκασιν. ἀλλὰ τὸ ἐπὶ τοῦ κυρίου σταυρουμένου γενόμενον πολὺ τούτου παραδοξότερον· εἰ* 110 *γὰρ τὸ στῆναι τῆς πρώτης φορᾶς τοὺς φωστῆρας εἰς ὑπερβολὴν ἀρκεῖ θαύματος, τὸ μὴ στῆναι μόνον ἀλλὰ καὶ ἀναλύειν τοῖς τοῦ δρόμου ἀριθμοῖς τὴν σελήνην πῶς οὐχ ὑπερβάλλει μακρῷ τὸ προλαβὸν θαῦμα, τὴν καινοτομίαν ταῖς ἀντιθέτοις ἐπαυξάνον κινήσεσι; καὶ τότε μὲν ἔστησαν* 115 *οἱ φωστῆρες ἐπὶ τῆς μοίρας, ἣν ἕκαστος τηνικαῦτα ἐπέχοντες ὤφθησαν, καὶ τὰ τούτων φῶτα οὐδὲν παρ' ἀλλήλων διελυμάνθησαν· ἐνταῦθα δὲ μὴ φέρων ὁρᾶν ὥσπερ ὁ ἥλιος τὸν οἰκεῖον δεσπότην σταυρούμενον καὶ βουλόμενος, ἵν' οὕτως εἴπω, τὸ οἰκεῖον ἀποβαλεῖν φῶς καὶ* 120 *ὥσπερ τινὰς τρίχας τὰς ἰδίας ἀκτῖνας ἀποκεκάρθαι, ἐπειδὴ οὐκ ἦν αὐτῷ ἡ λαμπηδὼν οἷον ἀπόθετος, ἀλλ' ὥσπερ εἶδος τὴν σφαιρικὴν ὕλην ἐμόρφωσεν, ἐπισπᾶται οἷον πρὸς ἑαυτὸν τὴν σελήνην, ἵν' ὑποδράμῃ τοῦτον καὶ ἐπίσχῃ τὴν αὐτὴν πρὸς γῆν ἀκοντίζεσθαι· ἀλλὰ τοῦτο μὲν ἴσως βιαιό-* 125 *τερον πως δοκεῖ, τὸ δέ γε ἀληθέστερον· καὶ ᾧ μάλιστα ἐγὼ συντίθεμαι, αὐτὸς ὁ τῆς κτίσεως δημιουργὸς καὶ τῷ*

105–107 cf. Ios. 10,12–13

103 *καὶ τὸ* Ow om. B **106** *γαβαὼ* O *γαβαναὼ* w *γαναὼ* B **111** *πρώτης* BO *πρόσω* w **113** *ἀναλύειν* BO *-λύσαι* w **119** *ὁρᾶν* post *οἰκεῖον* add. O **121** *ἰδίας* Ow *οἰκείας* B **125** *ἴσως* om. w **126** *μάλιστα* BO *μᾶλλον* w **127** *κτίσεως* BO *κινήσεως* w

ἡλίῳ τὸν δρόμον ἐφίησι καὶ τῇ σελήνῃ ἐγκελεύεται τὴν τῆς πορείας ἀνάλυσιν, ἵνα τὸ οἰκεῖον παραστήσῃ ἀξίωμα
130 *καὶ τὸν κεκρυμμένον γνωρίσῃ θεὸν καὶ δείξῃ πᾶσιν ὅτι ᾧ προστάσσοντι ἐκ τοῦ μὴ ὄντος ὑπέστη, τούτῳ αὖθις κελεύοντι τὴν καινοτομίαν ἐφίστανται.*

Ἀλλ' ἥλιος μὲν καὶ σελήνη οὕτω πρὸς ἄλληλα φυσικὰ σώματα καὶ ψυχῆς ἔρημα, ὁ δὲ λόγῳ τετιμημένος Ἰσ-
135 *ραήλ – ἀλλὰ τοῦτο μὲν αὐτῷ καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους κοινόν, ὃ δὲ ἴδιον αὐτῷ καὶ ἐξαίρετον – ὁ ἐξῃρημένος τῷ κρείττονι παρὰ τοὺς μετόχους αὐτοῦ ὥσπερ οἱ τῶν τεμενῶν ὅροι, ὁ προφητείᾳ τετιμημένος καὶ ἱερατείᾳ δεδοξασμένος, ὁ νόμοις θείοις τὴν τῶν συμφερόντων καὶ*
140 *μὴ διάκρισιν εἰληφώς, οἱ τὸν ἐσταυρωμένον θεὸν ἐν ταῖς ἑαυτῶν βίβλοις ἀνάγραπτον ἔχοντες διάδοχον ἀκριβῶς τοῦ Μωσαϊκοῦ ἀξιώματος καὶ ἤδη τοῦτον ὁρῶντες, ὃν Μωυσῆς προεφήτευσεν αὐτοῖς ἀναστήσεσθαι, ἠλλάξαντο τὴν ἑαυτοῦ δόξαν, οὕτως εἰπεῖν, καὶ τὰ πρῶτα λογίων εἶναι οἰόμενοι*
145 *καὶ λογίοις θείοις ἐντεθραμμένοι, ἀλογώτατα περὶ τὸν λόγον διενοήθησαν. καὶ ἄλλος ἄλλον νικᾶν ταῖς περὶ τὴν τοῦ κυρίου ὕβριν φιλοτιμίαις διεσπουδάκασιν· ὁ μὲν γάρ τις αὐτῷ προσωνείδιζε τὰς ὑπερφυεῖς περὶ ἑαυτοῦ φωνάς τε καὶ ὑπολήψεις, ὁ δὲ ἔσκωπτε καὶ ἄλλος ἐχλεύαζε καὶ*

137 cf. Ps. 44,8 **142–143** cf. Acta 3,22 (Deut. 18,15) **143–144** cf. Rom. 1,23 (Ps. 105,20) **146–154** cf. Matt. 27,39–44 = Mar. 15,29–32 = Luc. 23,35–37

129 *ἀνάλυσιν* Ow *-λωσιν* B **131** *ὑφέστη* O *-έστησε* B **134** *λόγῳ* B *λόγος* O **135** *αὐτῷ* Ow *αὐτὸ* B **138** *προφητείᾳ* w *προφήτ* O *προφήτης* B **139** *τὴν* Ow *τοῖς* B **143** *ἑαυτοῦ* w *ἑαυτ* BO *ἑαυτῶν* Gtr. **145** *ἀλογώτατα* Ow *ἀναλο-* B **146** *καὶ* om. w **148** *αὐτῷ* O *αὐτῶν* B

ἕτερος ὕβρεσιν ἔπλυνε, καὶ ὁ μέν τις ἐκίνει τὴν κεφαλὴν 150
ἐπ' αὐτῷ ὥσπερ ἐπιτωθάζων ἢ καταμεμφόμενος ἐφ' οἷς
ἑαυτὸν υἱὸν θεοῦ ἀνηγόρευεν, ὁ δὲ κατητιᾶτο τῆς τῶν
Μωσαϊκῶν νομίμων καταφρονήσεως, καὶ ἄλλος ἄλλο τι τῶν
δεινῶν ἢ λέγων ἢ πράττων ἦν. ἐζήτει πιεῖν καὶ παραμυθ-
οῦνται τὴν δίψαν αὐτοῦ κακῷ χείρονι, μεστὸν χολῆς κρα- 155
τῆρα τούτῳ κεράσαντες.

Οἱ δὲ τῶν ἀγγέλων λεγεῶνες τέως ἠμέλουν καὶ τοὺς
ἀσεβεῖς οὐκ ἠμύνοντο· οὐ γὰρ ἦν αὐτοῖς τότε προστεταγ-
μένον παρὰ τοῦ κρείττονος. ἀλλ' αἱ μὲν πλείους τῶν ἀγγε-
λικῶν τάξεων καὶ παντάπασι τὴν γέννησιν ἠγνοήκασιν· 160
ὅσοις δὲ καὶ ἐπιστεύθη τὸ θεῖον μυστήριον, οὗτοι τὸν τῆς
οἰκονομίας λόγον εἰδότες ὑπέπτησσον, τὴν ἄκραν ἐκ-
πληττόμενοι τοῦ θεοῦ συγκατάβασιν. πῶς δ' ἂν καὶ ἐγνώ-
κεισαν, οἷς ἡ τοῦ μυστηρίου μὴ ἐδέδοτο γνῶσις, τὴν ἐπὶ
γῆς τοῦ θεοῦ κάθοδον; οὐ γὰρ ἐλελοίπει τὸν ἄνω τόπον 165
ἐπὶ τὴν γῆν καταβεβηκώς, ἀλλ' ὁμοῦ τῷ πατρικῷ θρόνῳ
συνεδοξάζετο καὶ τῷ σταυρικῷ ξύλῳ ἠτιμοῦτο καὶ καθυ-
βρίζετο· ἦν γὰρ σῴζων τὸ ἀπερίγραπτον καὶ περιγράπτῳ
οὐσιωδῶς καθ' ὑπόστασιν ἡνωμένος σώματι. ὁ γὰρ τοῦ
θείου γενόμενος ἔρωτος καὶ πρὸς θεὸν ὅλως ἀναδραμὼν 170
οὐκέτι περιγράφεται τόπῳ, ἀλλ' ὁ αὐτὸς ἐν σώματί τέ ἐστι
καὶ ὑπὲρ τὸν οὐρανὸν ἕστηκε καὶ τῷ πανταχοῦ παρόντι
πανταχοῦ παραγίνεται. πόσῳ γε μᾶλλον ὁ καὶ κατ' οὐσίαν

154–156 cf. Io. 19,28–29 et. Matt. 27,34

152 *υἱὸν θεοῦ* Ow transp. B **153** *νομίμων* Ow *-ίκων* B **155** *δὲ* post *παραμυθοῦνται* add. B **155–156** *χολῆς κρατῆρα* transp. w **159** *τότε* post *προστεταγμένον* add. B **160** *καὶ – γέννησιν* bis B **164** *ἐδέδοτο* Ow *ἐδέδετο* B **169** *ὁ γὰρ τοῦ* BO *εἰ γὰρ ὁ τοῦ* w **170** *ὅλως* BO *ὅλος* w

τοὺς τῆς περιγραφῆς ὅρους ἐκβεβηκὼς οὐκ ἐν τῷ παντί τε
175 εἴη καὶ ὑπὲρ τὸ πᾶν σταίη, οὐ μέρει μέρος τῆς ἑαυτοῦ οὐ-
σίας διδούς, ἀλλ' ὅλος ἐν ὅλῳ, ὅλος ἐν μέρεσιν, οὐ πλα-
τυνόμενος, οὐ στενούμενος, ἀλλ' ἑαυτὸς ἑαυτῷ ὢν ἀνεκφοί-
τητος τῆς ὑπερφυοῦς κρυφιότητος καὶ πάντα ποιῶν
καταπολαύειν αὐτοῦ κατὰ τὴν ἀναλογίαν τῆς φύσεως. ὅταν
180 οὖν πολυμερὴς τοῖς διοικουμένοις ὑπ' αὐτοῦ γένηται, οὐκ
αὐτός ἐστιν ὁ μεριζόμενός τε καὶ διαιρούμενος, ἀλλ' ὁ
κατὰ τὸ οἰκεῖον μέτρον κατατρυφῶν τῆς ἐκείνου θεότητος.
οὗτος γοῦν ἐστιν ὁ περὶ τὸ ἓν καὶ τὸ τῶν ὄντων ἁπλού-
στατον μεριζόμενος, ἀλλ' οὐκ ἐκεῖνο μερισμὸν ὑφίσταται
185 καὶ διαίρεσιν.

Ἀλλ' οὐκ οἶδ' ὅπως ἄλλο με ἐξ ἑτέρου τῶν τοῦ κυρίου
παθημάτων παραλαβὸν ἀπήνεγκε τῆς τούτου μητρὸς καὶ
τοῦ θαυμασίου μαθητοῦ τε καὶ ἀδελφοῦ Ἰωάννου, φημὶ
τοῦ υἱοῦ τῆς βροντῆς· οἱ δὲ γὰρ καὶ μόνοι βραχεῖά τις
190 τέως παραμυθία τῷ Ἰησοῦ κατελείφθησαν, ἠρέμα δα-
κρύοντες καὶ τὴν ψυχὴν φλεγόμενοι μέν – πῶς γὰρ οὔ; –
ταῖς δὲ κρείττοσιν ἐλπίσι παραμυθούμενοι καὶ ταῖς ἀκρι-
βέσι περὶ τὸν κύριον ὑπολήψεσιν. ἀλλ' ὅμως τὴν τοῦτον
τεκοῦσαν πρὸ τῶν ἐσομένων ἐλπίδων κατέφλεγε τὸ ὁρώ-
195 μενον καὶ πόνος ἀπαρηγόρητος τῆς καρδίας αὐτῆς καθι-
κνεῖτο καὶ πῦρ ἐν τοῖς ἐγκάτοις αὐτῆς ὑπανήπτετο, ὃν ἐμ-
μελῶς ἠγκαλίζετο καὶ οὗ μετὰ σεβάσματος ἔψαυε, τοῦτον
ἀνεσκολοπισμένον ὁρῶσα καὶ τὸν τῶν κατακρίτων ὑπο-

177–178 cf. Psell. opusc. theol. 93,63 Gautier
188–189 cf. Mar. 3,17

180 *γένηται* BO *γενοῖται* w **184** *οὐκ* Ow om. B
187 *τῆς* bis w **188** *θαυμασίου* Ow *-σίων* B **190** *τέως* O
om. B

μένοντα θάνατον. εἰ γὰρ καὶ τὸ περὶ αὐτὴν θαῦμα καὶ ἡ τῆς παρθενίας σφραγὶς καὶ ὁ ἀνώδυνος τοκετός, ἥ τε χω- 200 *ρὶς ἀνδρὸς σύλληψις καὶ ἡ ὑπερφυὴς τοῦ παιδὸς δύναμις ἐδίδου τὰ κρείττω περὶ τούτου φαντάζεσθαι καὶ ὡς οὐκ ἂν ἁλωτὸς τῷ ᾅδῃ ὁ σταυρούμενος γένοιτο, ἀλλ' αὐτίκα ἀναβιῴη κατὰ τὰς ἀψευδεῖς ἐκείνου προρρήσεις, ἀλλ' αὐτό γε τὸ ἐπὶ τοῦ σταυροῦ σχῆμα καὶ ὅσα τῶν ὕβρεων καὶ ὅσα* 205 *τῶν τωθασμῶν καὶ τἄλλα μέσην αὐτῆς διέκοπτον τὴν ψυχήν.*

Τοῦτο ἄρα ἦν, ὦ μῆτερ τοῦ λόγου καὶ θεομῆτορ ὁμοῦ καὶ παρθένε, ἡ μόνη ἀμίαντος καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν μετά γε τὸν σὸν υἱὸν καὶ δεσπότην, ἡ καὶ πρὸ τῆς ἐπι- 210 *σκιάσεως τῆς τοῦ ὑψίστου δυνάμεως καὶ πρὸ τῆς τοῦ ἁγίου πνεύματος ἐπελεύσεως εἰς σὲ καὶ πρὸ ἑτοιμασίας πᾶσαν ὑπερβάλλουσα φύσιν τῷ μεγέθει τῶν ἀρετῶν, οὐ τὴν κάτω καὶ ὑπὸ γένεσιν, ἀλλὰ καὶ τὴν ἄνω καὶ ὑπερφυῆ, καὶ μετὰ τὴν τοῦ λόγου ὑποδοχὴν ἔτι μᾶλλον μειζό-* 215 *νως ἐναπαστράψασα καὶ οὐ τῷ τῆς ψυχῆς μεγέθει καὶ κάλλει τὰς ὑπερκοσμίους τάξεις νικήσασα, ἀλλὰ καὶ τῇ φύσει τοῦ σώματος πρὸς τὰς ἀσωμάτους οὐσίας αὐτὸν ἀντερείσασα καὶ ὑπερβαλοῦσα μακρῷ, ἧς τὰ φθάσαντα θαύματα ἀμυδροὶ τύποι καὶ σύμβολα, πρὸς ἣν τὸ οὐράνιον* 220

199–200 cf. Psell. supra 2,168–169 **200** cf. Psell. supra 2,316–317 **200–201** cf. Psell. supra 2,267–289 **203–204** cf. 2 Macc. 7,9 **210–211** cf. Luc. 1,35

204 *γε* codd. *τε* Gtr. **206** *αὐτῆς* codd. *αὐτὴν* Gtr. **208** *καὶ θεομῆτορ* Ow in mg. B **210** *τῆς* O om. B **213** *πᾶσαν* O om. B *ὑπερβάλλουσα* B *-ουσαν* O **214** *ὑπὸ* Fr. *ὑπὲρ* codd. **215** *τοῦ* Ow om. B **218** *αὐτὸν* O *αὐτὰς* B

παραβαλλόμενον μέγεθος κέντρον ἐστὶν ὡς ἀληθῶς πρὸς ἄπειρον κύκλον, ἧς ἡττᾶται ἥλιος τοῦ κάλλους καὶ τῆς λαμπρότητος, ἧς οὐδὲν τῶν πάντων ἀντάξιον, ἀλλ' οὐδ' ὅσον παραβάλλεσθαι ἢ συγκρίνεσθαι. ἀλλὰ τί ἂν εἰπών σε
225 *τοσοῦτον εἴποιμι ὁπόσον βεβούλημαι; εἰ γάρ μοι καὶ ὁ νοῦς φαντάζεταί τι τῶν εἰρημένων ἐπέκεινα, ἀλλ' ἀσθενὲς ὁ λόγος τῆς νοήσεως ὄργανον.*

Ἀλλ' εἰς ὅ μοι ὁ λόγος ἐξ ἀρχῆς ὥρμηται, τοῦτο ἄρα ἦν ὅπερ ὁ Συμεὼν ἐν τῷ ναῷ προειρήκει, ὁπηνίκα τὸν κύριον
230 *τεσσαρακονθήμερον τῷ ἱερῷ προσήνεγκας βήματι, βρέφος μὲν ἔτι ὄντα καὶ ἐν διηριθμημέναις ἡμέραις, τοὺς δὲ τῆς σοφίας καὶ τῆς γνώσεως θησαυροὺς πλήρεις ἐν ἑαυτῷ περιφέροντα· μετὰ γὰρ τὰς τοῦ παιδὸς προφητείας, μᾶλλον δὲ μεθ' ὃ τοῦτον ἡρμήνευκεν εἰς πτῶσιν καὶ ἀνάστασιν ἐν*
235 *τῷ Ἰσραὴλ κείμενον καὶ εἰς σημεῖον ἀντιλεγόμενον, εἰς σὲ τὸν λόγον μεταβαλών, καὶ σοῦ, φησιν, αὐτῆς τὴν καρδίαν διελεύσεται ῥομφαία, ἕως ἂν ἐκ πολλῶν ἀποκαλυφθῶσι καρδιῶν διαλογισμοί. καὶ τότε μὲν ἴσως ὑπεψιθύρισας ἄν τι πρὸς τὴν τοιαύτην φωνήν· ἐδόκει γὰρ ἀναξία τῆς σῆς*
240 *ὄντως μεγαλειότητος καὶ τοῦ μετὰ τὸν τόκον παρθενικοῦ ἀξιώματος, τῶν τε ἐπὶ τῷ γεννηθέντι ἐλπίδων καὶ τῆς θείας ἐκείνου καὶ ἀκηράτου φύσεως, εἰ θεὸς ὢν τέλειος καὶ μετὰ τὸ προσλαβεῖν τὴν τοῦ ἀνθρώπου μορφὴν οὐκ ἐξαιρήσεταί σε παντὸς δυσχεροῦς, οὐδ' ἐπαμυνεῖται, οὐδὲ*

229–238 cf. Luc. 2,25–36 **231–232** cf. Col. 2,3 **234–238** cf. Luc. 2,34–35

222 *ἧς* B *οἷς* O **224** *παραβάλλεσθαι* BO *-βαλέσθαι* w **226** *ἀσθενὲς* w *ἀσθενὴς* O lac. B **234** *ἡρμήνευκεν* Ow *-κα* B **237** *ῥομφαία* Ow om. B **242** *ἐκείνου* Ow *ἐκείνης* B *εἰ* Ow *εἷς* B

φλογίνῃ ῥομφαίᾳ τὴν ἐπὶ σὲ ῥομφαίαν διατεμεῖται. τότε 245
μὲν οὖν ταῦτα ἂν περὶ σεαυτῆς ὑπείληφας καὶ εἰκότως ὡς
ἀκατάφλεκτος βάτος, ὡς πυρίμορφος θρόνος, ὡς οὐ μόνον
ἀνάλωτος τῷ πυρί, ἀλλὰ καὶ στίλβουσα πλέον ἐντεῦθεν καὶ
πρὸς αὐτὸ τὸ ἡλιακὸν φῶς ἀνταυγάζουσα. ἀλλ' ἀληθεῖς
ὕστερον τὰς τοῦ πρεσβυτέρου φωνὰς ἔδειξεν ὁ καιρός, καὶ 250
διελήλυθεν ἡ περὶ τῆς τοῦ παιδὸς λύπης ῥομφαία τὴν σὴν
ἱερωτάτην ψυχὴν καὶ ἔπληξεν οὕτω σφοδρῶς ὡς αὐτοῦ
δεῖσθαι σε καὶ μόνου τοῦ πάσχοντος θεοῦ εἰς παράκλησιν.
ὁ δὲ καὶ προσέσχε σοι σκυθρωπαζούσῃ καὶ ἠρέμα προσέ-
βλεπε καὶ παραμυθεῖταί σε εὐθὺς τῇ πρώτῃ φωνῇ· μητέρα 255
γάρ σε καλεῖ ὁ μονογενὴς υἱὸς τοῦ μεγάλου πατρός, ἐπα-
ληθεύων μὲν τὴν κλῆσιν, ἀλλ' ἡδὺς ὁ λόγος πρὸς τὸν
καιρόν· εἶτα δή σε καὶ τῷ μαθητῇ καὶ υἱῷ ἐπαφίησιν. οὐκ
εἰς μακρὰν δὲ καὶ εἰς οὐρανὸν ἀναβιβάσει καὶ τῷ πατρὶ
προσαγάγῃ, ἄνθος ὄντως ὡραῖον καὶ τοῦ ἀνθρωπικοῦ μὲν 260
λειμῶνος, τῆς θείας δὲ ἀρδείας καὶ ἐπιμελείας τοῦ
κρείττονος. οὕτω δὲ τιμᾷ καὶ τὸν μαθητὴν καὶ τὴν πρὸς
τὴν μητέρα αὐτοῦ ὑποδοχὴν καὶ ὑπηρεσίαν παρακελεύε-
ται· ὃν γὰρ ᾔδει ἐπιπεσόντα τοῖς στήθεσιν ἑαυτοῦ καὶ τὴν
θείαν γνῶσιν ἐκεῖθεν σπασάμενον, τὰ δὲ καὶ ἑτοιμαζό- 265
μενον πρὸς νεωτέρας ὑποδοχάς, τούτῳ καὶ τὴν μητέρα
ὡσανεὶ παρακαταθήκην δίδωσι καὶ πιστεύει τὰ φίλτατα.
Ἀλλὰ τὰ μὲν περὶ τῆς τοῦ κυρίου μητρὸς καὶ τοῦ φίλου

245 cf. Gen. 3,24 **247** cf. Exod. 3,2–3 et Ephr. Syr. or ad deipar. Asseman Opera 3,529 D 8 **247** cf. Dan. 7,9 et anon. precat. in PO 18 (1924) p. 436,6–7 **255–258** cf. Io. 19,26–27 **264** cf. Io. 13,25

250 *πρεσβυτέρου* B O *προφήτου* w **254–255** *προσέβλεπε* O *-έβλεψε* B **261** *τοῦ* B *τῆς* O

τέως καὶ μαθητοῦ οὕτω τε καὶ τοιαῦτα· ἀκούσωμεν δὲ καὶ
270 *τῶν ἐφ' ἑκατέρου μέρους συνεσταυρωμένων τῷ κυρίῳ λη-*
στῶν. ἀγνώμονες δὲ οὗτοι ἄμφω τὰ πρῶτα καὶ οὐ χάριν
τοῖς ἐσταυρωκόσιν ἔχοντες ὅτι τῆς αὐτῆς τούτους τῷ Ἰη-
σοῦ ἠξιώκασι κατακρίσεως, ἀλλ' ἀποδυσπετοῦντες καὶ δυ-
σχεραίνοντες εἰ θεὸς εἶναι σεμνολογούμενος, μήθ' ἑαυτῷ
275 *μήτ' ἐκείνοις τὴν ἐλευθερίαν μνηστεύοιτο, ἔπειτα, τῶν περὶ*
αὐτὸν γεγονότων θαυμάτων καὶ τοῦ σκότους πᾶσαν τότε
τὴν γῆν συγκαλύψαντος, ὃ δὴ νύκτα καὶ οὐχὶ νύκτα ὁ
προφητικὸς λόγος φθάσας ὠνόμασε, τὸ μὲν διὰ τὴν ἐπι-
σκότησιν, τὸ δὲ διὰ τὸν τῆς μέσης καιρόν, ἅτερος μὲν αὐ-
280 *τῶν ὥσπερ ἐξ ἀρχῆς, οὕτω καὶ μέχρι παντὸς ἔμεινε*
πονηρός, ὥσπερ νόμον τὴν ἀγνωμοσύνην συντετηρηκώς, ὁ
δέ γε λοιπὸς ἐπιστατικώτερος ἑαυτοῦ ἐγεγόνει καὶ τοῖς
θαύμασι συνετώτερος καὶ ὑπὸ τῶν παραδόξων συνεγνωκὼς
ὡς ὁ τῆς δόξης κύριος αὐτοῖς συνεσταύρωται.

285 *Τῷ μὲν ἑτέρῳ φονεῖ δικαίως τῆς βλασφημίας ἐπιτιμᾷ,*
ὅτι μὴ ὑποπτήσσει καὶ πέπηγεν, ἐν τῷ αὐτῷ κρίματι ὢν
τῷ θεῷ, ὁ πανανομώτατος τῷ ἐννομωτάτῳ, τῷ παναγε-
στάτῳ ὁ ἐναγέστατος. εἶτα δὴ καὶ πρὸς τὸν τέως ἀνηρτη-
μένον ἐπὶ τοῦ ξύλου στραφείς, τὴν θαυμασίαν ἐκείνην φω-
290 *νὴν ἀπεφθέγξατο· μνήσθητί μου, κύριε, ἐν τῇ βασιλείᾳ*
σου. ὢ ὑπερφυοῦς καὶ ἀπείρου συνέσεως, ὢ γλώττης πᾶ-
σαν μεγαλοφωνίαν ὑπερβαλλούσης, ὢ μακαρίας φωνῆς πᾶ-

273–275 cf. Matt. 27,40–44 et Luc. 23,39 **277–278** cf. Zach. 14,7 **280–281** cf. I Cor. 2,8–9 **284** cf. I Cor. 2,8 **285–287** cf. Luc. 23,40 **290–291** Luc. 23,42

270 *ἑκατέρου* B *ἑκάστου* O **271** *οὐ* om. O **276** *πᾶσαν τότε* BO transp. w **286** *ὑποπτήσσει* Gtr. *-πτήσει* codd. **287** *τῷ ἐννομωτάτῳ* om. w

σαν ὑπεραναβάσης καὶ φύσιν χρόνου καὶ πρώτην κίνησιν καὶ δύναμιν πᾶσαν καὶ κατανόησιν. ὃν γὰρ ὁ ἀντικείμενος δαίμων ἀσωμάτου καὶ ταῦτα τυγχάνων φύσεως οὔπω γινώ- 295 *σκει, ἀλλ' ἔτι ταῖς ὑπολήψεσιν ἐνδυάζων, ἐτύγχανεν ὢν καὶ οὔτε καθαρῶς μετὰ τῶν ἀνθρώπων συνέταττεν, οὔτε θεὸν τελεώτερον κατελάμβανεν, ἀλλὰ τῆς κατασπώσης ἐγίνετο πλάστιγγος καὶ πυκνὰ μετετίθετο, συναλλοιούμενος τοῖς καιροῖς καὶ τοῖς πράγμασι, τοῦτον ἐκεῖνος ἐπὶ τοῦ σταυροῦ* 300 *καθορῶν καλάμῳ τυπτόμενον, γελώμενον, χλευαζόμενον, ἐπικουρίας θείας ἢ ἀνθρωπίνης δεόμενον, κύριόν τε ὠνόμασε καὶ ὡς βασιλέα τετίμηκε καὶ ἀξιοῖ μὴ λήθην αὐτοῦ λαβεῖν ἐπὶ τοῦ βασιλείου θρόνου καθήμενον καὶ τοῖς ἀξίοις διανέμοντα τὰς τιμάς. εἰ μὲν οὖν εἶδε μεταμορφούμενον ἢ* 305 *ὑπὲρ ἥλιον λάμψαντα, ἢ ἐγνώκει τὴν τούτου σύλληψιν, εἰ βίβλοις τέως προφητικαῖς περὶ αὐτοῦ καθωμίλησεν, εἰ εἶδεν ἀβρόχοις ποσὶ πεζεύοντα τὴν ὑγράν, εἰ συμπαρῆν ἀνιστῶντι τὸν Λάζαρον, οὐκ ἄν τις αὐτὸν τοσοῦτον τῆς μεγαλοφωνίας ἐθαύμασε. νῦν δὲ πόθεν ἄν τις ἀναδήσαιτο* 310 *τοῦτον; ποίοις ἐγκωμίοις κατακοσμήσειεν; οὐκ ἔχω θαυμάσαι τὸν ἄνδρα τοῦτον ἀξίως τῆς ὑψηλοτάτης συνέσεως. διὰ ταῦτα γοῦν καὶ ὁ κύριος αὐτίκα τούτῳ τὸν παράδεισον ἐπηγγείλατο καί, τό γε θαυμασιώτερον, τῆς μετ' αὐτοῦ τοῦτον καταξιοῖ διαγωγῆς καὶ ὡσανεὶ συμβιώσεως. ἐπιζη-* 315 *τεῖ δὲ ὁ λόγος πῶς ὁ μὲν λῃστὴς μεμνῆσθαι τούτου ἐπὶ τῆς ἰδίας βασιλείας τὸν κύριον ἐξῃτήσατο, ὁ δὲ τὸν παράδεισον τούτῳ κατεπηγγείλατο καὶ ταῦτα τήμερον, οὔπω*

306 cf. Acta 26,13 **308** cf. Matt. 14,25 **308–309** cf. Io. 11,43 **313–315** cf. Luc. 23,43

293 *καὶ* post *φύσιν* add. w **296** *ἐνδυάζων* O *ἐνδοι-* B **306** *ἢ* codd. *εἰ* Gtr. **318** *κατ-* om. w

τῶν ἐπαγγελιῶν διακληρωθεισῶν τοῖς ἁγίοις, πῶς δὲ καί,
320 *βασιλείαν ἡμῖν ἐπαγγειλαμένου τοῦ σαρκωθέντος θεοῦ, ὁ*
παράδεισος τῷ λῃστῇ εἰς κλῆρον ἀπομερίζεται. τριῶν οὖν
ὄντων ἐπὶ τῷ λόγῳ ἀπορημάτων, ἀπὸ τοῦ πρώτου καὶ δὴ
τὰς ἐπιλύσεις ποιήσομεν.

Ὁ λῃστής, εἰ καὶ ἐγνώκει τὸν κύριον, ἀλλ' οὖν οὔπω
325 *διηρθρωμένην εἶχε περὶ τῶν ἀντιδόσεων τὴν διάνοιαν,*
οὐδὲ διελεῖν ᾔδει τίς μὲν ἡ τοῦ θεοῦ βασιλεία, τίς δὲ ὁ
παράδεισος, καὶ ὡς ἡ μὲν τῶν ὑπερφυῶν ἐστι κατανόησις,
ἤ γε τῶν ἐν τῇ κτίσει λόγων διάγνωσις, ὁ δὲ ἢ ὁ ἀφορι-
σθεὶς εἰς κλῆρον τῷ προπάτορι χῶρός ἐστιν ἢ ἡ κοινὴ τῶν
330 *ὁπωσδήποτε τῶν ἐπαγγελίων τευξομένων εὐφροσύνη καὶ*
ἀγαλλίασις. ὅθεν ὡς περὶ λαμπρᾶς τινος ἀρχῆς τῷ θεῷ
διελέγετο καὶ μὴ ἐπιλελῆσθαι τοῦτον ἐξελιπάρει εὐγνωμο-
νήσαντα αὐτῷ ἐπὶ τοῦ σταυροῦ, καὶ βασιλείαν μὲν ὑπει-
ληφότα, κύριον δὲ ὀνομάσαντα. ὁ δέ γε θεὸς ἀπάγων
335 *αὐτὸν τῆς ἐπὶ αἰσθητοῦ βασιλέως κρίσεώς τε καὶ ὑπολή-*
ψεως τὸν παράδεισον αὐτῷ ἐπαγγέλλεται· εἰ γὰρ καὶ μεί-
ζων ἡ βασιλεία τοῦ θεοῦ τῆς ἐν τῷ παραδείσῳ τρυφῆς,
ἀλλὰ τοῦτο τοῖς ὀλίγοις γνωστόν· ἡ δέ γε περὶ τοῦ παρα-
δείσου ὑπόληψις τοῖς πολλοῖς κρείττων καὶ ὑψηλοτέρα
340 *ἐδόκει· καὶ ἡ μὲν τῆς πρώτης ἀπορίας ἐπίλυσις αὕτη.*

Πρὸς δέ γε τὴν δευτέραν φαμὲν ἀπαντῶντες ὡς εἰ καὶ

319–320 cf. Matt. 5,3 et 10 et 19 etc. **337** cf. Gen. 3,23 **340** cf. Io. Chrys. hom. in cruc. et latr. 2,2 (PG 49,409.33–410.60)

320 *ἐπαγγειλαμένου* Ow *ἐπηγγειλάμενον* B **322** *ἀπορημάτων* B *ἀπορρη-* O **323** *ποίησομεν* BO *-ωμεν* w **328** *ἤ γε* Gtr. *ἡ δὲ* codd. **333** *βασιλείαν* B *βασιλ* O *βασιλέα* Gtr. **336** *ἐπαγγέλλεται* B *-γέλεται* O

τοῖς μέλλουσιν αἰῶσι τὰ τῶν ἀντιδόσεων τεταμίευται, ἀλλ' οὐδὲ ὁ ἐνεστὼς οὗτος χρόνος ἀμοίρους παντάπασιν ἀφίησι τῶν θειοτέρων λήξεων τὰς τῶν φιλοθέων ψυχάς, ἀλλ' εἴτε μερίδες τοῦ παντός εἰσιν αἱ θεῖαι μοναί, φωτοειδεῖς τέ εἰσι 345 *καὶ πλήρεις θείων ἐλλάμψεων, εἴτε νοηταὶ καταστάσεις ἔτι μᾶλλον ἀκηρατὸν διδοῦσι τὴν ἡδονὴν τοῖς τετυχηκόσιν αὐτῶν.*

Τὸ δέ γε τελευταῖον ζήτημα οὐδὲ πολλῆς δεῖται τῆς ἐπιστάσεως· τὸ γὰρ τοῦ παραδείσου ὄνομα κοινή τίς ἐστι κα- 350 *τηγορία τῶν κρειττόνων κλήρων καὶ ἀντιδόσεων· ὅθεν κατὰ τοῦτον τὸν λόγον ταὐτόν ἐστιν ἥ τε τῶν οὐρανῶν βασιλεία καὶ ὁ παράδεισος. εἰ δ' ἴσως τις δυσπαρακολουθήτως ἔχει πρὸς ταύτην τὴν ἔννοιαν, μείζονα τὴν βασιλείαν τοῦ παραδείσου οἰόμενος, οἰέσθω ὡς νῦν μὲν ὁ παράδεισος* 355 *εἰς τρυφὴν αὐτῷ δέδοται, ἀπολαβόντι δὲ αὖθις τὸ σῶμα ἐπὶ τῆς κοινῆς τοῦ γένους ἡμῶν ἀναστάσεως βασίλειος αὐτῷ κλῆρος ἀποδοθήσεται.*

Ἐπεὶ δὲ καὶ πρόγραμμά τι ἐπὶ τοῦ σταυροῦ ἔθηκαν οἱ Ἰουδαῖοι Ῥωμαϊκοῖς καὶ Ἑλληνικοῖς καὶ Ἑβραϊκοῖς κατασε- 360 *σημασμένον γράμμασι, τὰ δὲ γράμματα οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων, κερδήσωμέν τινα κἀντεῦθεν ἀπὸ τῶν ἀλλοτρίων ἐφόδια καὶ πρὸς ἀρετὴν καὶ κατανόησιν φύσεως καὶ θεολογίαν προσλάβωμεν· δεῖ γὰρ τὸν εἰς τὸ τάγμα τοῦ*

344–345 cf. Io. 14,2 **359–361** cf. Io. 19,20 = Luc. 23,38 **361–362** Matt. 27,37 = Luc. 23,38

347 *τοῖς* Ow om. B **349** *γε* om. w *πολλῆς* Ow *πολλοῖς* B **358** *ἀποδοθήσεται* Ow *ἀντιδο-* w **359** *ἐπὶ – ἔθηκ.* BO *ἔθηκ. ἐπὶ τ. στ.* w *ἔθηκαν* B *-κεν* O *οἱ* w om. BO **360–361** *κατασεσημασμένον* BO *κατεσημασ-* w **364** *θεολογίαν* Ow *-ίας* B

365 λόγου καταγραφέντα ἢ τὰ τρία συσχεῖν ἢ τά γε δύο ἤ, εἰ
μὴ τοῦτο, πάντως τὸ πρῶτον τῶν ἄλλων καὶ οἷον στοιχειω-
δέστατον· ἢ γὰρ πρακτικὴ ἀρετὴ τὸν ἑλόμενον ταύτην
μετὰ τῆς μερίδος τῶν σῳζομένων ἱστᾷ ἢ μετὰ ταύτης καὶ
ἡ ἀκριβὴς τῶν ἐν τῇ κτίσει λόγων κατάληψις ἢ σὺν ταύ-
370 ταις καὶ περὶ τὴν θεολογίαν τελεωτάτη σοφία. τῆς μὲν οὖν
πρακτικῆς σύμβολον ἀκριβὲς ἡ Ῥωμαϊκὴ γλῶττά τε καὶ
ἰσχύς· πρακτικώτατον γὰρ τὸ γένος καὶ συντονώτατον καὶ
πρὸς ὅ τι τύχοι δραστήριον· τῆς δὲ φυσιολογίας τὸ Ἑλλη-
νικὸν γένος τεκμήριον ἐναργέστατον· πρῶτοι μὲν γὰρ Ἕλ-
375 ληνες τήν τε φύσιν τῶν ὄντων καὶ τῶν μετεώρων τοὺς
λόγους διέγνωσαν· τῆς δέ γε θεολογίας Ἑβραῖοι μάρτυρες
ἀψευδέστατοι· ἀρχαιότεροι γὰρ τῶν Ἑλλήνων καὶ πρῶτοι
διεγνωκότες θεόν.

Ἐγὼ δὲ ὥσπερ ἄν, εἰ τότε παρῆν ὁπηνίκα ὁ τῆς δόξης
380 ἐσταύρωτο κύριος, ἀπεστράφην ἂν τὰς ὄψεις καὶ τοσοῦτον
ἴσως ἐφιλοσόφησα ὅσον μὴ ἰδεῖν σῶμα θεῖον γυμνὸν ἀνηρ-
τημένον ἐπὶ σταυροῦ, οὕτω δὴ καὶ νῦν οὐ πάνυ τι τῷ
λόγῳ σχολάζων περὶ τὸν κύριον, ἀλλ' ἄλλο τι καὶ ἄλλο
τῶν περὶ ἐκεῖνον κατανοεῖν πειρώμενος, τὰ κατ' ἐκείνου
385 τετολμημένα παρίημι. ὁ δέ, ἐπειδὴ πᾶσαν δικαιοσύνην
νόμῳ πεπλήρωκε καὶ ἤδη πρὸς τῷ θανεῖν γέγονε, γενναιό-
τερος ἔτι μᾶλλον καθίσταται ἑαυτοῦ καὶ θαρρεῖ μὲν αὐτὸς
τὴν διαίρεσιν, ὑποστελλόμενον δὲ τὸν θάνατον κατ' αὐτοῦ

365–367 cf. Ps. Iambl. theologum. arithm. p. 77,2–3 De Falco **379–380** cf. I Cor. 2,8 **385–386** et **393–394** cf. Matt. 3,15

367 ἢ codd. ἡ Gtr. *ταύτην* Ow *ταῦτα* B **369** *τῇ* om. w **372** *πρακτικώτατον … συντονώτατον* Ow *-ώτερον … -ώτερον* B **375** *τῶν ὄντων* w om. BO **381** *ἴσως* om. w **388** *δὲ* O *καὶ* B

ἐπιρρώννυσιν· ἐγκελεύεταί τε αὐτῷ προσιέναι δειλιῶντι καὶ ἀποκναίοντι. ὅθεν μεγάλῃ τε φωνῇ κράζει καὶ τὴν ψυχὴν 390
εἰς χεῖρας τοῦ πατρὸς παρατίθεται, κλίνας τὴν κεφαλὴν πρότερον, ἵνα τὴν ἄρρητον αὐτοῦ συγκατάβασιν κἀν τῷ τελευταίῳ παραδείξηται σχήματι. καὶ ὁ μὲν πληρώσας πᾶσαν δικαιοσύνην, ὅση τε νομικὴ καὶ ὅση πνευματική, καὶ συντελέσας ὅσα περὶ αὐτοῦ αἱ προφητικαὶ φωναὶ προκα- 395
τήγγειλαν, ὑπήκοός τε τῷ πατρὶ μέχρι θανάτου γενόμενος, οὕτω γενναίως καὶ ἀνδρικῶς ἐτεθνήκει. Ἰουδαῖοι δὲ πρὸ τῆς τοῦ ἀμνοῦ θυσίας οὐδέν τι παρανομίας εἶδος παρελελοίπεσαν καὶ μετὰ τὴν τελευτὴν ἐκείνην τῆς φονώσης οὐκ ἀπέσχοντο προαιρέσεως· τέως δ' οὖν ὥσπερ εὐσεβεῖν 400
ᾤοντο, εἰ μὴ ἐσταυρωμένα μείνοι τῶν κατακεκριμένων τὰ σώματα· οὐδὲν γὰρ αὐτοῖς παρὰ τοὺς λῃστὰς ἐξαίρετον ἐδόκει ἔχειν ὁ κύριος. διὰ ταῦτα προσίασί τε τῷ Πιλάτῳ καὶ ἐποτρύνουσι τὸ ἔτι ψυχορραγοῦν τούτοις μείζονι συσβεσθῆναι κακῷ, ὥσπερ ἐπικατασφάττειν αὐτοὺς προτεθυ- 405
μημένοι καὶ δὶς ἀναιρεῖν· ἔτι γὰρ ἀναπνεῖν καὶ τὸν κύριον ᾤοντο. πῶς δὲ τοῦτο γενήσεσθαι, συνθραυσθέντων αὐτοῖς τῶν ὀστῶν καὶ βιαιότερον διαρρυέντος τοῦ σώματος; ὡς δ' ἐφῆκεν αὐτοῖς ὁ Πιλάτος τοῦτο ποιεῖν, μονονουχὶ καὶ τὼ

390–391 cf. Matt. 27,50 et Luc. 23,46 et Io. 19,30 **397–402** cf. Io. 19,31 **409–410** cf. Xen. inst. Cyr. 8,4,12

389 *ἐπιρρώννυσιν* w *ἐπιρώ-* BO **390** *ἀποκναίοντι* B *-κταίνοντι* O *-κνέοντι* Gtr. *τε* B *τῇ* O **392** *αὐτοῦ* B *αὐτ* O *αὐτῷ* w **393** *πληρώσας* B *-ώση* O **395** *συν-* om. B GT1 **398–399** *παρελελοίπεσαν* Ow *παρα-* B **399** *φονώσης* B *φονώσεως* O **402** *παρὰ τοὺς λῃστὰς* Ow *περὶ τοῖς λῃσταῖς* B **404** *ἐποτρύνουσι* Ow lac. *ύνουσι* B *ἐπιτράνουσι* Gtr. **404–405** *συσβεσθῆναι* B *συνεσθῆναι* O **406** *δὶς* om. w

410 *χεῖρε κροτήσαντες τὸ μὲν τοῦ Ἰησοῦ σῶμα εἰς τὰς ὑστέρας πληγὰς ἐταμίευον, τοῖς δέ γε λῃσταῖς, αὐτίκα τὰ σκέλη συνθραύουσι καὶ τὸ ἐλλελειμμένον αὐτοῖς τῆς ἀναπνοῆς εὐθὺς ἀφαιροῦνται. ἐπὶ δὲ τὸ τοῦ κυρίου σῶμα μεταρρυέντες, ὡς ἤδη τοῦτο εἶδον ἐκπεπνευκός, τέως μὲν ἐῴκεσαν*
415 *ἀποκνεῖν πρὸς τὸ τόλμημα καὶ τὸ ἀναισθητοῦν πρὸς τὰς ἀλγηδόνας συμπαθεστέρους τούτους εἰργάζετο, ἀλλ' οὐκ ἐξήρκεσαν οὐδ' ἄχρι τοσούτου βραχύ τι τῆς ἑαυτῶν ὠμότητος ὑφελεῖν.*

Ἀλλά τις τῶν τοῦ πονηροῦ ἐκείνου συντάγματος τὰς
420 *πάντων ὥσπερ γνώμας ὑποκρινάμενος, μεμηνὼς τῷ κατὰ τοῦ σωτῆρος θυμῷ καὶ παράφορος καὶ οὐδὲ νεκροῦ πεφεισμένος αὐτῷ τοῦ σώματος, εἰσωθεῖ τὴν λόγχην ἐπὶ τὴν ἐκείνου πλευράν, ἵνα μηδὲν εἴη τῶν ἐκείνου μελῶν ἄτρωτον καὶ ἀνύβριστον, μήτε ζῶντος μήτε μὴν ἀποπνεύ-*
425 *σαντος, καὶ οὐ ναρκᾷ τὴν χεῖρα ὁ θρασὺς ἐκεῖνος καὶ τολμητίας, οὐδ' εἰ μή τι ἄλλο, τῷ νεκρῷ σπένδεται σώματι, οὐδὲ οἰκτείρει τὴν φύσιν, οὐδ' ἐπικάμπτεται τῷ τοῦ ἐσταυρωμένου σχήματι, ἀλλ' ἀνάπτεται μᾶλλον τῷ θυμῷ ἐπὶ ἀπεψυγμένῳ νεκρῷ· καὶ ἐδόκει μὲν ἐφθαρμένον ἤδη*
430 *σῶμα τεμεῖν, ἀναστομοῖ δὲ πηγὴν ζῶντας ἔνδοθεν ἔχουσαν ῥύακας· καὶ βλύζουσιν ἐκεῖζεν διφυεῖς ποταμοί, ἑτεροφυεῖς τε καὶ ἑτερόχροοι, ὁ μὲν ἀτεχνῶς αἱματώδης καὶ φοινικοῦς, ὁ δὲ λευκὸς καὶ καθαρῶς ἠλεκτρώδης, καὶ τό γε θαυ-*

411–412 cf. Io. 19,32 **414–415** cf. Io. 19,33 **422–423** cf. Io. 19,34

419 *τις* Ow *τῆς* B *τῶν* om. B **420** *ὑποκρινάμενος* O *-όμενος* B **421** *τοῦ* w om. BO **422** *αὐτῷ* O corr. w *αὐτοῦ* B **431** *ποταμοί* Ow *-μούς* B **432** *ἀτεχνῶς* B *ἀκριβῶς* O **433** *καθαρῶς* BO *-ὸς* w *ἠλεκτρώδης* B *-νώδης* O

μασιώτερον, ὡς ὁ μὲν ὀφθαλμὸς τῶν ῥευμάτων ἴσος ἑαυτῷ καὶ ὅμοιος, τὰ δ' ἐκεῖθεν διττὰ νάματα διῃρημένα καὶ περιγεγραμμένα καθ' ἑαυτὰ καὶ ταῖς ἐκροαῖς καὶ τοῖς χρώμασι καὶ θάτερον θατέρῳ μὴ νοθευόμενον, καὶ τὸ τοῦ πράγματος παράδοξον παραδοξότερον ἐκαινοτομεῖτο θεάμασιν. ἐκεῖθεν ἐγὼ τὰς τῆς σωτηρίας εὑρίσκω πηγάς, ἐκεῖθέν μοι βλύζει τῆς ἐλευθερίας τὰ νάματα, τούτοις ἐγὼ τοῖς ῥείθροις καθαίρομαι· ἐντεῦθεν θεολογῶ τὸν ἐμὸν Ἰησοῦν καὶ θεὸν εὑρίσκω καὶ ἄνθρωπον. καὶ τοῦτο μὲν οὕτως· τὰ δ' ἐπὶ τούτοις, ἵν' ἐπιτροχάδην ἐρῶ, αἰτεῖται τὸ τοῦ κυρίου σῶμα ὁ ἐξ Ἀριματθαίας ἀνήρ, εὐσχήμων τῷ ὄντι καὶ συνετώτατος βουλευτής, καὶ λαμβάνει τοῦτο τοῦ Πιλάτου κελεύσαντος. συγκοινωνεῖ δὲ τούτῳ τῆς θαυμαστῆς ἐμπορίας καὶ τοῦ καλοῦ κέρδους τοῦ ὑπερφυοῦς μαργαρίτου καὶ Νικόδημος, ὁ καὶ πρῶτον τῷ κυρίῳ παραγενόμενος καὶ τῶν ἐκείνου διακούσας φωνῶν, οὐκ ἀσύμβολος πρὸς τὴν καλὴν ταύτην κοινωνίαν οὐδὲ μὴν ἐπενηνεγμένος οἴκοθεν, ἀλλὰ τὰ κάλλιστα τῶν ἀρωμάτων ἐπιφερόμενος, οἷς εὐωδιάσειν ἅμα καὶ ἐνταφιάσειν τὸν κύριον ἔμελλον. ἠρέμα γοῦν τοὺς ἥλους ὑπεξαγαγόντες τῶν τε χειρῶν ὁμοῦ καὶ ποδῶν, εἶτα δὴ καὶ διαγκαλισάμενοι εὐφυῶς καὶ γενναίως μετεωρίσαντες καθαροῖς τε ἀμφίοις τὸ ἄχραντον ἐκεῖνο σῶμα σεπτῶς ἄγαν ἑλίξαντές τε καὶ περιστείλαντες, ἐν μνημείῳ κατέθεσαν. 435 440 445 450 455

443–457 cf. Io. 19,38–40 **446–447** cf. Matt. 13,45

434 *ῥευμάτων* O *ὑδάτων* B *ἴσος* BO *ἴσως* w **438–439** *θεάμασιν* O *θέαμα* B **440** *βλύζει* Ow *-ζοι* B **448** *καὶ*[1] om. B **449** *ἀσύμβολος* Gtr. *ἀσύμβουλ* O *ἀσύμβουλα* B **452** *ἅμα* post *ἐνταφιάσειν* add. B *τὸν* om. w **453** *τε* om. O

Πάσας μὲν οὖν ἔγωγε τὰς τοῦ Χριστοῦ πανηγύρεις ὑπερφυεῖς ἥγημαι καὶ κρείττονας λόγου καὶ καταλήψεως, πρὸς
460 *ἀλλήλας τε συγκρίνων κατὰ μέρος καὶ καθ' ἑαυτὴν διαγινώσκων καὶ ἑκάστην τούτων ἀρκεῖν ἡγούμενος πρὸς σωτηρίαν τοῦ γένους ἡμῶν· ὅταν δὲ πάσας συλλάβω πρὸς ἓν καὶ τὸ αὐτὸ συμπνεούσας καὶ ἄλλην ἄλλο τι συνεισαγούσας πρὸς μίαν τῆς σωτηρίας συντέλειαν, ἀπόρρητόν τι*
465 *χρῆμα τὸ ἐκ πασῶν εὑρίσκω ἐμπόρευμα· ἀλλὰ τά γε τελευταῖα τοῦ κυρίου πάθη καὶ ὁ σταυρὸς καὶ ὅσα ἐπὶ τούτῳ, τὰ ἐμπτύσματα, τὰ ῥαπίσματα, τά τε ἄλλα καὶ ἡ τῆς πλευρᾶς τρῶσις, ἐξ ἧς καθαρῶς τὰ τῆς ἡμετέρας καθάρσεως ἐρρύησαν νάματα – μακρῷ τῶν ἄλλων αὐτοῦ μυ-*
470 *στηρίων σεμνότερά τε καὶ ὑψηλότερα τίθεμαι. ἡ μὲν γὰρ γέννησις καὶ ἡ διὰ τοῦ βαπτίσματος κάθαρσις, ἥ τε τῆς μορφῆς ἀλλοίωσις ἐπὶ τὸ λαμπρότερον καὶ ὅσα τῶν θαυμάτων καὶ ὅσα τῶν τεραστίων, εἰ καὶ καθ' ἑαυτὰ ἕκαστον ἀποχρῶντα πρὸς τὴν ἐλευθερίαν τοῦ ἀνθρωπίνου γένους*
475 *εἰσίν, ἀλλ' ὅμως ἀρχαὶ καθεστήκασι τέλους τινὸς καὶ οἷον μυστηρίου μείζονος καὶ προεισόδια· τὸ δ' ἐπὶ τοῦ σταυροῦ πάθος αὐτός μοι δοκεῖ ὁ σκοπὸς εἶναι τῆς τοῦ κυρίου ἐνανθρωπήσεως· εἰ γὰρ τοῦτο βουλόμενος κατελήλυθεν, ἐξαγοράσαι ἡμᾶς τῷ ἰδίῳ αἵματι πεπραμένους ὑπὸ τὴν*
480 *ἁμαρτίαν, τοῦτο δὲ τηνικαῦτα ἐκένωσεν, ὁπηνίκα τὰς χεῖ-*

467 cf. Mar. 14,65 **467–469** cf. Io. 19,34 **479–480** Rom. 7,14

458 *ἔγωγε* om. w **461** *ἀρκεῖν* Ow *ἀρχὴν* add. *ει* s. l. B **462** *δὲ* om. O **463** *συμπνεούσας* B *-πνεύσας* O **469** *νάματα* BO *ὕδατα* w **473** *ὅσα* BO *τὰ* w *ἕκαστον* Ow lac. B *ἕκαστα* Gtr. **474** *ἀνθρωπίνου* om. O **476** *καὶ* om. B *προεισόδια* Ow *προσ-* B

ρας προσηλώθη καὶ τὴν πλευρὰν διεκεντήθη, πῶς οὐχὶ τὸ οὗ ἕνεκα τῶν ἕνεκά του θαυμασιώτερον καὶ σεβασμιώτερον;

Διὰ ταῦτα καὶ τἄλλα μὲν τῶν μυστηρίων σεβάσθητι, μάλιστα δὲ τὴν τοῦ Ἰησοῦ νέκρωσιν τίμησον, ἐν τῷ σώματι 485 *ταύτην ἐξεικονίζων, καὶ σταυρωθέντι τούτῳ συσταυρώθητι, ἀλλὰ πρὸ τούτου κοινώνησον τοῦ δεσποτικοῦ δείπνου, τοῦ μεγάλου καὶ σεπτοῦ θύματος, μὴ τυπικῶς ἀλλὰ θεοειδῶς, μὴ αἰσθητῶς ἀλλὰ νοητῶς, μὴ τοῖς τοῦ κόσμου στοιχείοις ἑπόμενος ἀλλὰ προστάσσοντι τῷ δεσπότῃ πειθόμενος. κἂν* 490 *κοινωνόν σε ποίηται τοῦ σώματος, καθαρῶς φεῦγε εἰς ἀνάδοσιν καὶ θρέψιν πνευματικὴν καὶ νεωτέραν πρόσφυσιν καὶ ὁμοίωσιν, καὶ τοῦ αἵματος τίμησον τὸν κρατῆρα, καὶ τοσοῦτον τοῦ πόματος ἐμφορήθητι, ὁπόσον ἀρκεῖ σοι πρὸς τὴν ἐπὶ τὸ κρεῖττον ἀλλοίωσιν τῆς ψυχῆς. κἂν νίψαι σου* 495 *τοὺς πόδας ὁ διὰ σὲ ἄνθρωπος βούλεται καὶ τοσοῦτον συγκαταβῆναι, αἰδέσθητι μὲν τὸ ὑπερβάλλον τῆς χάριτος καὶ τὴν καρδίαν ἀκριβῶς πείσθητι τῷ ὑπερφυεῖ τοῦ μυστηρίου, μὴ ἀπειθήσῃς δὲ τῷ κελεύοντι· ἔχει γὰρ τὸ πρᾶγμα κεκρυμμένον μυστήριον καὶ δεῖ σοι καὶ μετὰ τὸ* 500 *δεῖπνον καθάρσεως. κἂν εἰς παραδείγματος λόγον τὸ γενόμενον τάξῃ σοι, πρὸς τὴν ἰδέαν ἀπεικονίσθητι. εἶτα τί; ὑποχωροῦντι βραχὺ τῷ δεσπότῃ συμμετάστηθι καὶ αὐτός.*

489–490 cf. Gal. 4,3   493–494 cf. Matt. 26,27–28 = Mar. 14,23–24   495–499 cf. Io. 13,5–8

482 *του* Ow *που* B   484 *σεβάσθητι* B *-θητε* O   484–485 *μάλιστα* O *μᾶλλον* B   489 *αἰσθητῶς* codd. *-τικῶς* Gtr.   491 *ποίηται* O *ποιήσῃ* w lac. B   494 *τοσοῦτον* om. B   495 *ἀλλοίωσιν* Ow *ἀναλλ-* B   499 *τῷ* om. O   500 *καὶ*[2] om. B *μετὰ* Ow *μὲν* B   503 *συμμετάστηθι* codd. *-άσθητι* Gtr.

καταφρόνησον τοῦ ἀγνώμονος Ἰσραὴλ ὡς ψευδωνύμου τὴν
505 *κλῆσιν καὶ πρὸς τὴν αἴσθησιν νεύοντος. γνῶθι καὶ τὰ ἐν τῇ νυκτὶ τοῦ δεσπότου μυστήρια καὶ μή σου βαρηθῇ τῷ ὕπνῳ τὰ ὄμματα. αἰδέσθητι τὴν διὰ σὲ ἀγωνίαν, τοὺς θρόμβους τοῦ αἵματος, τὴν τριττὴν πρὸς τὸν πατέρα προσευχήν τε καὶ δέησιν, τοῦ ποτηρίου τὴν δύναμιν καὶ τὸ*
510 *διπλοῦν τῆς θελήσεως· συμπάρεσο μέχρι παντὸς τῷ εὐεργέτῃ· μὴ φοβηθῇς τὸν προδότην, μηδὲ τὴν Ἰουδαϊκὴν σπεῖραν, μηδὲ τὴν στρατιωτικὴν σύνταξιν, ἀλλ' ἔλεγξον μὲν τὴν ὑπόκρισιν τοῦ φιλήματος, ἵνα μὴ ἐγκαυχήσηται κακοῦργος ὢν καὶ λαθὼν σε ταῖς ὑποκρίσεσι, πραΰτερον δὲ*
515 *φιλοῦντα κατάδεξαι· ἀπάγξεται γὰρ μετ' ὀλίγον, τὸν μισθὸν πρότερον τῆς προδόσεως ἀποδοὺς ἀνοήτως τοῖς παρασχοῦσιν. ἂν ἴδῃς ἐπὶ σὲ φονῶντας τοὺς Ἰουδαίους, μὴ ἀντιταχθῇς εὐθὺς τῷ στρατεύματι, ἀλλ' ἠρέμα καὶ ἡμέρως προσομιλήσας, ἐπίδος σαυτὸν ταῖς ἐκείνων χερσί, νικήσας*
520 *τοὺς συλλαβόντας διὰ τῆς τοιαύτης ἡμερότητος. ὕστερον γενοῦ Πέτρος τοσοῦτον, ὅσον ἀκολουθῆσαι συλληφθέντι τῷ εὐεργέτῃ· εἰ δὲ καὶ ἀποτέμειν τὸ τοῦ Μάλχου ὠτίον, βάλλε τὴν μάχαιραν εὐθὺς ἐπὶ τὴν θήκην αὐτῆς, τῷ δεσπότῃ πειθόμενος. ἂν ἐξαιτήσηταί σε ὁ πειράζων, μὴ πάνυ*

506–507 cf. Matt. 26,43 = Luc. 9,32 **507–508** cf. Luc. 22,44 **508–510** cf. Matt. 26,39–44 **511–515** cf. Matt. 26,47–50 = Luc. 22,47–49 **515–517** cf. Matt. 27,3–5 **520–522** cf. Io. 18,15 **522–524** cf. Io. 18,10–11 **525–526** Luc. 22,32

505 *πρὸς* om. O *καὶ*[2] Ow om. B **506** *βαρηθῇ* Ow *-ρυνθῇ* B **508** *αἵματος* BO *ὄμματος* w **514** *πραΰτερον* O *πραοτ-* w *λαμπρότερον* B **519** *ἐκείνων* O *ἐκείνου* B *νικήσας* B *-σεις* O **522** *ἀποτέμεις* B *-τέμαν* O **523** *βάλλε* codd. *βάλε* Gtr. *εὐθὺς* om. B **524** *ἂν* O *ἐὰν* B *ἐξαιτήσηταί* BO *-σεταί* w

σαυτῷ θαρρήσῃς, ἀλλὰ δεήθητι τοῦ δεσπότου, ἵνα μὴ 525
ἐκλίπῃ ἡ πίστις σου. κἂν προαναφωνήσῃ σοι τὴν τρισσὴν
ἐπὶ τοῦ δεσποτικοῦ πάθους ἄρνησιν, μὴ ἀπιστήσῃς τὸ
ἐσόμενον προμηνύοντι, μηδὲ τῇ τῆς ψυχῆς σου θαρρήσῃς
θερμότητι· εὐμετάβολον γὰρ τὸ χρῆμα. κἂν τὴν ἔκβασιν
γνῷς τῆς ἀληθεστάτης προρρήσεως, μὴ ἀπογνῷς τὴν σε- 530
αυτοῦ σωτηρίαν, ἀλλὰ τότε μᾶλλον τὴν ἀκμὴν ἐπίτεινον
τῆς θερμότητος, καὶ μεταβαλὼν κλαῦσον πικρῶς, ἵνα σου
μνημονεύσῃ ὁ δεσπότης εὐθὺς μετὰ τὴν ἀνάστασιν καὶ τὸ
τρισσὸν τῆς ἀρνήσεως ἰσαρίθμοις ἰάσηται ἐρωτήσεσι. μὴ
ἀποδυσπετήσῃς πρὸς ἕκαστον τῶν ὕβρεων, τὸν δεσπότην 535
ἔχων φάρμακον τῶν συμφορῶν καὶ παράδειγμα, δεσμοῖς
ἐλευθερωθέντα τῶν δεσμῶν· οὐ γὰρ ἂν ἐλευθερώσοις
σαυτοῦ τὴν ψυχήν, εἰ μὴ τὰς ἀλόγους κατάσχῃς ὁρμάς. οἴ-
κησον ἡδέως τὸ δεσμωτήριον, ἵν' ἐλευθερωθῇς τῆς ἐν τῷ
ᾅδῃ εἱρκτῆς. ἂν εἰσελθὼν ὁ Πιλᾶτος πυνθάνηταί σου περὶ 540
τοῦ μείζονος ἀξιώματος, μὴ εὐθὺς ὁμολογήσῃς τὸ μέγεθος·
εἰ δὲ ἀρρήτοις ὅρκοις καταναγκάσει σέ, θαρρούντως τὴν
σὴν ἀξίαν καθομολόγησον. ἂν κατακριθῇς θάνατον, μὴ
ὑπεραλγήσῃς πρὸς τὴν ἀπόφασιν, ἀλλ' εἰ βούλει ὁμαλωτέ-
ραν γενέσθαι σοι τὴν κατάκρισιν, πρόλαβε τὸν σταυρόν, 545
κατωμαδὸν τοῦτον ἀράμενος, θάρρησον τῇ τῶν παθῶν νε-

526–529 cf. Matt. 26,34–35 = Mar. 14,30–31 **532** cf. Matt. 26,75 **533–534** cf. Io. 21,15–17 **540–541** cf. Io. 18,33–38

526 *προαναφωνήσῃ* Ow *-νήσοι* B *σοι* om. B **529–532** *εὐμετάβαλον – θερμότητος* om. B **535** *πρὸς* om. B *ἕκαστ τῶν ὕβρεων* O (cf. Psell. or. 25,38 Littlewood et theol. 92,80 Gautier) *ἑκάστου τῆς ὕβρεως* B *ἑκάστῃ τῶν ὕβρεων* Gtr. **537** *ἐλευθερώσοις* B *-ώσῃ* O **540** *πυνθάνηται* BO *-εται* w **542** *σέ* om. B

κρώσει καὶ τὴν τοῦ σώματος νέκρωσιν. ἄν σε τῶν ἱματίων οἱ σταυροῦντες ἀπογυμνώσωσι, μὴ αἰσχυνθῇς τὴν γύμνωσιν. κἂν τὰς τέσσαράς σου περιβολὰς διαμερίσωνται, μόνος
550 *ὁ πέμπτος ἀρκέσει σοι· τοῦτον γὰρ οὐ διακληρώσονται, ἀλλ' οὐδὲ κατατεμεῖν δυνήσονται· ἄνωθέν ἐστιν ὑφαντὸς καὶ ἀμέριστος καὶ μητρὸς ἔργον τῆς γεννησάσης σε. ἀνάβηθι γενναίως ἐπὶ τὸν ὑψηλὸν σταυρὸν καὶ μετέωρον. ἅρμοσόν σου τὸ σῶμα τοῖς ἐκείνου μέρεσι. διάστειλον τὰς*
555 *χεῖρας ἐπὶ τὰ δεξιὰ καὶ εὐώνυμα· κερδανεῖς γάρ τι ἐξ ἀμφοτέρων. σύστησον τοὺς πόδας, ἵνα μὴ διαμερισθῶσί σου τὰ κατὰ θεὸν διαβήματα. εἶτα τί; προσηλωθέντι ἀσφαλῶς ἀλγήσεις μέν, ἀλλ' ἐπὶ βραχύ· εἶτα μετὰ τὴν πικρίαν αἰσθήσῃ ποτὲ καὶ γλυκύτητος. ἀντίθετα μὲν ταῦτα,*
560 *ἀλλ' ἀντακολουθεῖ θαυμασίως πρὸς ἄλληλα καὶ προλαβόντι θατέρῳ ἕπεται θάτερον καὶ ἧλος ἥλῳ ἐκκρούεται, ὁ τῆς ὀδύνης τῷ τῆς ἡδονῆς, ὁ τῆς τῆς ἡδονῆς τῷ τῆς τῆς ὀδύνης· εἰ δὲ καὶ μεταξὺ τοῦ πάθους διψήσεις, αὐτὸ τοῦτο τὸ διψῆν ὁμολόγησον καί, προσενεχθέντος σοι πόματος, δοκί-*
565 *μασον αἰσθητικῇ κρίσει τὴν τούτου ποιότητα· κἂν μὲν εὕρῃς ἡδύ, ἐμφορήθητι τοῦ κεράσματος· εἰ δέ τινα πικρίαν οἱ τὸν κρατῆρα προσενεγκόντες παρέμιξαν, ὡς σταφυλὴν*

550–551 cf. Io. 19,23–24 **556–557** cf. Greg. Naz. or. 8,12 (PG 35,801 C 10) **561** cf. CPG II 116,60 et CPG I 253,16 **563–564** cf. Io. 19,28–29 **565–568** cf. Matt. 27,34 **567–568** cf. Deut. 32,32

550 *οὐ* om. B **551** *ἀλλ'* om. B **555** *τὰ* om. O **557** *προσηλωθέντι* O *-θέντ* B *-θέντα* w **559** *γλυκύτητος* w *-τύττ* BO *-κύτητα* Gtr. **562–563** *ὁ – ὀδύνης* om. B **566** *εἰ* BO *ἢ* w **567** *προσενεγκόντες* Ow *-κότες* B *σταφυλὴν* w *-φυλ* BO *-φυλὰς* Gtr.

πικρίας ἀπόπεμψαι. μηδὲν ἀπόκριναι πρὸς τοὺς μυκτηρίζοντας· καταφρόνησον τῶν κινούντων τὴν κεφαλὴν ὡς ἀστήρικτον τὸ φρόνημα καὶ ὡς τὰς περὶ τοῦ θείου δόξας 570
μεταπιπτόντων ταχύ. τῶν δέ γε ἀντιθέτων λῃστῶν, τοῦ μὲν κατολιγώρησον ὡς ἀγνώμονος, τὸν δὲ ὡς συνιέντα σοι τοῦ μεγέθους καὶ ταῦτα ἐπὶ τῶν ὕβρεων ἀπόδεξαι εὐμενῶς καὶ πρὸς τὸν παράδεισον ὅθεν ἐκπέπτωκε συνεπάγαγε. μηδὲ κατολιγωρήσῃς σου τῆς μητρός, μηδ' ἀπῃωρημένος ἐπὶ τοῦ 575
ξύλου· ἀλλ' ἣν καὶ πρὸ τοῦ τόκου καὶ μετὰ τὸν τόκον τετίμηκας, ἐκεῖ μὲν ἄνευ ἀνδρὸς συλληφθείς, ἐνταῦθα δὲ τὰς τῆς παρθένου αὐτῆς σφραγῖδας μὴ διαλύσας, ταύτην καὶ ἐν τῷ πάθει καὶ μετὰ τὸ πάθος σεβάσθητι, ὧδε μὲν τῷ φίλῳ πιστεύσας καὶ μαθητῇ, ἐκεῖ δὲ καὶ προσαπαντή- 580
σας καὶ προσφωνήσας καὶ μεταδοὺς τῆς ἀκηράτου χαρᾶς. ποίησον σὰ τὰ τοῦ δεσπότου καὶ ῥήματα καὶ παθήματα. σκοτισθήτω καὶ ἐπὶ τοῖς σοῖς πάθεσι καὶ ὁ φλέγων τὰ μεσημβρινὰ ἥλιος, ὅστις οὗτός ἐστιν, οἶμαι δὲ ὁ καυσώδης δαίμων καὶ ὑποκριτὴς τοῦ φωτός, ὃς καὶ τὴν ἐν τῷ σώ- 585
ματι νύμφην παρέβλεπε καὶ μέλαιναν ἀντὶ λευκῆς ἀπειργάσατο. διαρραγήτω σοι καὶ τὸ καταπέτασμα, τὸ προκάλυμμα τοῦ σοῦ ἀδύτου τεμένους ἢ τὸ τοῦ πρώτου θυσιαστηρίου πρόβλημά τε καὶ διατείχισμα, ἵνα καθαρῶς

578–580 cf. Io. 19,26 **583–584** cf. Luc. 23,45 **587** cf. Matt. 27,51 = Mar. 15,38 = Luc. 23,45

568 *ἀπόπεμψαι* O *-πεμψον* B *ἀπόκριναι* BO *-κρινε* w **569** *τῶν κινούντων* om. B **574** *συνεπάγαγε* w *-ηγαγε* B *ἐπανάγαγε* O **576** *τὸν* Ow om. B **578** *τὰς* om. B *αὐτῆς* om. B *σφραγῖδας* O *-γῖδα* B **579** *καὶ*[1] om. B **582** *τοῦ* om. O **588–589** *πρώτου θυσιαστηρίου* O *σοῦ ᾅδου* B **597** *τοῦ* om. B

590 *ἐποπτεύσῃς τὰ ἅγια, ἵνα ἴδῃς τὴν κιβωτὸν καὶ τὸ ἱλαστήριον καὶ τὰ ἑκατέρωθεν χερουβὶμ περισκέποντα ταύτην ταῖς πτέρυξιν, μᾶλλον δὲ τὰ τούτων ὑψηλότερα καὶ σεβασμιώτερα· μέχρι γὰρ τίνος σοι τὰ σύμβολα καὶ τὰ προχαράγματα; ἰδέ ποτε καὶ τὴν τῶν δρωμένων ἀλήθειαν· εἴπω*
595 *τὸ μεῖζον καὶ ὑψηλότερον; παράθες τῷ πάντων πατρὶ τὴν ψυχήν· γενήσεται δὲ τοῦτο πῶς; ἐὰν ἐκδαπανήσῃ σου τὴν ζωήν, ἐπὶ τοῦ σταυροῦ ξύλῳ κρεμάμενος.*

Θαύμασον τὴν εἰς σὲ τοῦ δεσπότου φιλοτιμίαν, κατανόησον τοῦ μυστηρίου τὴν δύναμιν· ὃ γὰρ ἅπαξ γέγονε διὰ
600 *σέ, τὴν θαυμασίαν εὐδοκίας οἰκονομίαν, τοῦτο σοι πολλάκις γινέται, μᾶλλον δὲ πάντοτε ὁμοῦ τε καὶ κατὰ μέρος· γεννᾶταί σοι γὰρ ἀεὶ νοερῶς καὶ βρέφος γίνεται καὶ σπαργανοῦται καὶ φεύγει εἰς Αἴγυπτον καὶ εἰς τὴν Γαλιλαίαν ἐκεῖθεν ἐπάνεισι καὶ τὴν Ναζαρὲτ οἰκεῖ καὶ ἀνάγεται καὶ*
605 *προκόπτει ἡλικίᾳ καὶ χάριτι καὶ διδάσκει ἐν ἱερῷ καὶ βασκαίνεται καὶ θαυματουργεῖ τι πρὸ τῆς ἀναδείξεως. εἶτα τί; ἐν Ἰορδάνῃ καθαίρεται καὶ πειράζεται καὶ νικᾷ τὸν πειράζοντα. τὰ μὲν προοιμιάζεταί σοι, τὰ δὲ ἀριδηλότερα φθέγγεται, κοινωνεῖ σοι τοῦ δείπνου, μεταδίδωσί σοι τοῦ*
610 *μυστηρίου καί, ἵνα μὴ πάντα κατὰ μέρος λέγω, σταυροῦταί σοι, χολῆς γεύεται, παραδίδωσι τὴν ψυχὴν τῷ πατρί, κεντεῖται τὴν θείαν πλευράν, βλύζει σοι τὰς δύο σωτηριώδεις πηγάς, ἐν μνήματι τίθεται, εἰς ᾅδου κάτεισιν, ἀνίστα-*

590–592 cf. Exod. 38,5–8 **605** cf. Luc. 2,52

600 *εὐδοκίας* O *εὐδόκησον* B *εὐδόκησε* w *εὐδοκοῦντα* Gtr. *εὐδοκ. οἰκον.* transp. B **601** *πάντοτε* Ow *πάντως* B **602** *καὶ βρέφος γίνεται* om. B **604** *οἰκεῖ καὶ* O *ἐκεῖ* B **607** *Ἰορδάνῃ* B *-άνου* Ow **608** *ἀριδηλότερα* O *ἐκδη-* B **609** *φθέγγεται* BO *φαίνεται* w **610** *μὴ – λέγω* O *μὴ κατὰ μέρος πάντα σοι λέγω* B **611** *σοι* om. B *τὴν ψυχὴν τῷ πατρί* Ow *τῷ πατ. τὴν ψυχ.* B **612** *σοι* om. B

ταί σοι τριήμερος καὶ τελευταῖον εἰς οὐρανοὺς αἴρεται.
πῶς καὶ τίνα τροπὸν πρὸς τὰς σὰς ἕξεις καὶ δυνάμεις τὰ 615
κατὰ μέρος γινόμενα; ὥσπερ γὰρ πρὸ τῆς σαρκὸς τοῖς μὲν
ὡς γνόφος ὡράθη, τοῖς δὲ ὡς φῶς καθαρόν, καὶ τοῖς μὲν
ὡς ἤλεκτρον, τοῖς δὲ ὡς σάπφειρος, τοῖς δὲ ὡς ἅρμα
πυρὸς καὶ ἄλλοις ὡς νεφέλη δροσώδης τε καὶ σκιάζουσα,
καὶ τοῖς μὲν διὰ εἴδους, τοῖς δὲ ἀνείδεός τε κατὰ τὴν ἑκά- 620
στου δύναμίν τε καὶ κάθαρσιν, οὕτω δὴ καὶ μετὰ τὴν
οἰκονομίαν τοῖς μὲν ἄρτι πλαττομένοις εἰς ἀρετὴν κυοφ-
ορεῖται καὶ διαπλάττεται, τοῖς δὲ τὰς πρώτας ἕξεις τοῦ
καλοῦ κτησαμένοις βρεφουργεῖται καὶ σπαργανοῦται, καὶ
ἀνάγεται μὲν τοῖς προκόπτουσι, καθαίρεται δὲ τοῖς φω- 625
τιζομένοις, σταυροῦται δὲ τοῖς ἀσκητικοῖς ἢ μαρτυρικοῖς
τὴν προαίρεσιν, καὶ νεκροῦται μὲν τοῖς τὰ πάθη νεκρώσα-
σιν, ἀνίσταται δὲ τοῖς τὴν κρείττονα προσλαβοῦσι ζωήν,
τοῖς δέ γε θεωρητικοῖς καὶ ὑψηλοῖς τὴν διάνοιαν εἰς οὐ-
ρανοὺς ἄνεισιν. εἶτα δὴ καὶ σὲ θεὸν γενέσθαι μετὰ σώ- 630
ματος βούλεται καὶ κοινωνεῖ σοι καὶ τῆς γεννήσεως καὶ
τῆς αὐξήσεως καὶ τῆς καθάρσεως, τῆς τε νεκρώσεως καὶ
τῆς εἰς ᾅδου καταβάσεως καὶ τῆς ἀναπλάσεως καὶ τῆς
ὑψώσεως καὶ τῆς εἰς οὐρανοὺς ἀναβάσεως· ὁρᾷς γοῦν
αὐτὸν ὁσημέραι τῷ διορατικῷ τῆς ψυχῆς ὄμματι πάντα 635
γινόμενον, ἵνα σε ποιήσῃ κοινωνὸν καὶ τῶν παθημάτων
καὶ τῆς λαμπρότητος. ἀλλ' οὐδὲ πάντῃ τὰς αἰσθήσεις ἀφῆ-

616–617 cf. Exod. 20,21 cf. Habac. 3,4 **617–618** cf. Ezech. 1,4 cf. Ezech. 1,26 **618–619** cf. 4 Reg. 2,11 **619** cf. Is. 19,1 **634–636** cf. Clem. Alex. paed. 2,9 (PG 8,496 A 8–9) et I Cor. 9,22

616 *πρὸ* Ow *πρὸς* B **622** *πλαττομένοις* Ow *πραττο-* B **624** *κτησαμένοις* Ow *οὔτησα-* B *σπαργανοῦται* OB post corr. s. l. w *διαπλαττ* w **628** *προσ-* om. B **630** *δὴ* codd. *δὲ* Gtr. **633–634** *καὶ*[1] – *ἀναβάσεως* om. B **637** *οὐδὲ* O *οὐ* B

κας, οὐδὲ παντελῶς τοῦ σώματος γέγονας ὑψηλότερος,
ἀλλὰ βούλει καὶ ὀφθαλμοῖς τοῦτον θεάσασθαι καὶ ἰδεῖν, εἰ
640 *οἷόν τε, αὐτὸν ἐκεῖνον ἀνηρτημένον ἐπὶ τοῦ ξύλου γυμνόν,*
ἵνα μᾶλλον συνεπαρθῇς καὶ συσταυρωθῇς.

Ἐγώ σοι καὶ ταύτην τὴν χάριν παρέξω, εἰ καὶ θαυμα-
στὸν τὸ ἐπάγγελμα· προκαταστῆσαι δὲ σὺ μικρόν, καὶ
οὕτω δείξω τὸ περισπούδασμα. οὐ λογικαῖς μόνον φύσεσιν,
645 *ἀλλὰ καὶ ἀψύχοις ἰνδάλμασιν ἐμπνεῖ τὴν χάριν θεός, καὶ*
σύμβολον τούτου κινούμενα πολλάκις εἰκάσματα καὶ φω-
νὴν ἀφιέντα καὶ λογικώτερον τοῖς ὁρῶσι διατιθέμενα, καὶ
δοκεῖ μὲν ἔργα εἶναι χειρός, λεληθότως δὲ καὶ τεχνουργεῖ-
ται τούτοις θεός, εἰ οὕτως εἰπεῖν χρή, καὶ αἰσθητῶς ἐμφαν-
650 *τάζεται, ὀργάνῳ τῇ τοῦ τεχνίτου χειρὶ πρὸς τὴν γραφὴν*
ἀποχρώμενος. ἐπεὶ γοῦν τοῦτο προϋπεθέμην σοι ὥσπερ ἀρ-
χήν τινα λόγου καὶ ἀξίωμά τι ἢ κοινὸν ὁμολόγημα, ἰδού
σοι καὶ τὴν ὑπόσχεσιν ἀποδίδωμι· μετάστρεψον γάρ μοι
τοὺς ὀφθαλμοὺς ἐπὶ τὰ δεξιὰ καὶ θέασαι αὐτὸν ἐσταυρω-
655 *μένον τὸν κύριον. εἰ δὲ ἄπεισιν οἱ ῥαπίζοντες, οἱ κολα-*
φίζοντες, οἱ ἐμπτύοντες, μὴ θαυμάσῃς· ἐκπέπνευκε γὰρ
ἤδη, κἀκεῖνοι ὥσπερ ἀνεπεπνεύκεσαν καὶ ὡς ἀψύχου τοῦ
σώματος καταπεφρονήκασιν· δυσχερὲς δὲ καὶ ἄλλως θέ-

655–656 cf. Matt. 26,67

643 *προκατάστησαι* B *-στήσ* O *-σθήσου* w *σὺ* Gtr. *σοι* BO s. l. w *σε* w **644** *περισπούδασμα* O *-δαστον* B *οὐ* Ow *καὶ* B **645** *ἐμπνεῖ* O *ἐμποιεῖ* B **647** *λογικώτερον* codd. *-τερα* Gtr. **648–649** *τεχνουργεῖται* O corr. w *-γοῦνται* B **649–650** *ἐμφαντάζεται* BO *-νίζεται* w **650** *τοῦ* om. w **652** *ἀξίωμά τι* O *ἀξιωματικὸν* B **653** *μετάστρεψον* O *-στρεψαι* B **655–656** *οἱ ῥαπίζοντες οἱ κολαφίζοντες* BO *οἱ κολ. οἱ ῥαπ.* w **657** *ὥσπερ* om. B *ἀνεπεπνεύκεσαν* O *ἐκπέπνευκε* B **658** *καὶ* om. B *ἄλλως* O *ἄλλο* B

αμα δυσμενὴς ἄνθρωπος καὶ κατὰ τοῦ σωτῆρος τολμᾷ. διὰ τοῦτο οὓς μὲν ἐχρῆν ἀπεῖναι ἡ χάρις οὐκ ἐξεικόνισεν, οὓς 660
δὲ χρεὼν παρεῖναι ἐμψύχους παρέστησεν· ἥρμοσται μὲν οὖν, ὡς ὁρᾷς, ὁ σταυρὸς καὶ συμπεπήγασιν αὐτῷ ἀσφαλῶς τοῖς ὀρθῶς τὰ ἐγκάρσια καὶ ἡ πρὸς ἄλληλα ἀναλογία ἐκ τῶν ἀνίσων συμφωνεῖ πρὸς τὴν ἴσην ἀλήθειαν, καὶ παρὰ βραχὺ διαλλάττον, τὴν πεύκην σοι γνωρίζει καὶ τὴν κέδρον 665
καὶ τὴν κυπάριττον· ἐκ τούτων γὰρ ὁ σταυρὸς κατεσκεύασται καὶ συμπέπηγε. μετεώρισται δὲ βραχύ τι τῆς γῆς, ὅτι μηδὲ βραχύ τι τῆς ἱστορίας ὁ τεχνίτης παρελήλυθε λόγος· ἐσταύρωται δὲ ἐπ' αὐτῷ ὁ τῆς δόξης κύριος, σύμμετρος ἐκείνῳ τῷ παντὶ μεγέθει πλασθείς. εἰ μὲν οὖν μὴ ἤδη ἐτε- 670
θνήκει, μηδὲ τὴν ψυχὴν παρέθετο τῷ πατρί, εἶδες ἂν αὐτὸν ἀλγοῦντα καὶ τῆς πνευματικῆς χρῄζοντα παρακλήσεως, ἤκουσας δ' ἂν καὶ τῆς θείας ἐκείνης φωνῆς καὶ ἐγνώκεις ἂν ὡς οὐχ ἡμετέρα μὲν ἡ διάλεκτος, ἀπὸ δὲ τοῦ ἐπιγράμματος εἴληπται τῆς ἑωθινῆς ἀντιλήψεως· ἐπεὶ δὲ 675
ἀφῆκεν ἤδη τὸ πνεῦμα, ὡς ἐμψύχῳ πρόσσχες νεκρῷ· ἀρκεῖ γὰρ τῷ σώματι ἀντὶ ψυχῆς τῆς ἐμφερείας τὸ ἐναργές. ὡς γὰρ ἤδη πλεῖστον χρόνον κακοπαθῆσαν τῷ Χριστῷ, καὶ αὐτὸ δὴ τὸ αἷμα προαπολέλοιπεν, εἴτε εἰς τὴν καρδίαν

669 I Cor. 2,8 **674–675** Ps. 21,1 **676** Matt. 27,50

659 *τολμᾷ* codd *τολμῶν*? Gtr. **662** *οὖν* om. B **663** *ἐγκάρσια* B *ἐγκάρδια* O *ἀναλόγ* O *ἀναλόγως* B **665** *διαλλάττον* Gtr. *διαλα-* codd. *τὴν*[1] *– κέδρον* O *τὴν κέδ. σοι γν. κ. τὴν πεύκ.* B **666** *καὶ – κυπάριττον* om. B **668** *παρελήλυθε λόγος* transp. B **669** *σύμμετρος* O *-τρον* B **672** *πνευματικῆς* Ow *πατρικῆς* B **675** *ἐπιγράμματος* O *πράγματος* B **676** *ἀφῆκεν* O *ἀν-* B *τὸ πνεῦμα* O *τῷ πνεύματι* B *ἐμψύχῳ* O *ἀψύχῳ* B *πρόσσχες* Fr. *πρόσχες* codd. **678** *κακοπαθῆσαν* Gtr. *-θήσαντες* codd.

680 *συρρεῦσαν, εἴτε συμπιληθὲν ταῖς κοιλότησι τῶν φλεβῶν· ὅθεν ὑπόλευκον αὐτῷ τὸ χρῶμα καὶ πάντῃ ὠχριακός. ἡ δέ γε κεφαλὴ ἠρέμα πως ἐπικέκλιτο οὐ κατὰ τὸ στῆθος, ἀλλ' ἐπὶ θάτερον τῶν μερῶν· οὕτω γὰρ καὶ ἐτετελευτήκει, πρότερον κλίνας τὴν κεφαλὴν κατὰ τὸ αὐτῷ βουλητόν, εἶθ'*
685 *οὕτως ἀφεὶς τὴν ψυχήν· εἰ γὰρ μὴ πρὸς τὴν βούλησιν ἐγεγόνει ἡ νεῦσις, τοῖς στέρνοις ἂν ἐπιπεπτώκει, ὡς ἄψυχον μὲν σῶμα, φυσικῆς δὲ καὶ μετέχον βαρύτητος, τὴν κατ' εὐθεῖαν φορὰν ἐνεχθέν. ὥσπερ δὴ καὶ τὰ ὄμματα οὐκ ἀνεῴγασι τοῖς βλεφάροις, ἀλλὰ συνέσταλται ἀκριβῶς, οὔ-*
690 *τινος αὐτὰ συναρμοσάσης χειρός· αὐτὸς γὰρ ὁ σταυρούμενος κύριος καὶ ταῦτα κατησφαλίσατο ἐμμελῶς, ὥσπερ δὴ καὶ τὸ στόμα συνέκλεισε καὶ πάντα ἀκριβῶς ἐπισυνηρμόσατο· τὸ γὰρ προσῆκον ἑαυτῷ σχῆμα διατυπωσάμενος πρότερον, οὕτω τὸ πνεῦμα ἀφίησι. τὸ δὲ σχῆμα τῆς*
695 *στάσεως, εἰπεῖν δὲ καὶ τῆς τῶν χειρῶν τάσεως, οὐκ ἀκριβὲς οὐδὲ εὔρυθμον, ἀλλ' ἐν τῷ ἀνίσῳ σῷζον μᾶλλον τὸ ἐναργές· οὐδὲ γὰρ δι' ὁμαλοῦ ἡ φύσις ἡμῖν τὰ μέλη ἀποτετόρνευκεν, ἀλλὰ καὶ γλουτοῖς καὶ ὤμοις καὶ μύλοις γονάτων γαστρί τε καὶ πλευραῖς διέφθειρε τὴν ἰσότητα, τὰ*
700 *μὲν εἴσω θεμένη, τὰ δὲ ὀγκώσασα.*
Ἐνταῦθα δέ τι καὶ πλέον ἐστί, μᾶλλον δὲ αὐτὸ τοῦτο τὸ

683–688 cf. Io. Chrys. hom. 85 al. 84,2 (PG 59,462.57–463.4
684 Io. 19,30

682 *ἐπικέκλιτο* Fr. *ἐπικέκλητο* O *ὑπεκλίνετο* B **684** *αὐτῷ* w *αὐτ* BO *αὐτοῦ* Gtr. **686** *ἐπιπεπτώκει* O *ἐπεπ-* B **687** *μὲν* B *καὶ* O *μὲν σῶμα* Ow *τὸ* post *μὲν* add. B **692** *καὶ*[2] om. B *ἐπι-* om. O **695** *δὲ* om. B **696** *σῷζον* B *σῷζων* O **697** *οὐδὲ* O *οὐ* B *ὁμαλοῦ* O *-ῶν* B **698** *μύλοις* B *μήλοις* O **700** *εἴσω* O *ἶσα* B **700–701** *ὀγκώσασα – δέ*[1] om. B

ἔργον τῆς φύσεως, ἵνα μὴ τέχνη ἀλλὰ φύσει ἡ γραφὴ νομισθῇ· ἐπαναβέβηκε γάρ τι τὸ λοιπὸν ἡ γαστὴρ σῶμα καὶ οὐκ ἐξίσωται τοῖς στήθεσιν ὥσπερ ἐν χρώμασιν, ἀλλ' εἰκότως διώγκωτο· ἐξωθεῖ γὰρ αὐτὴν τὰ ὑποκείμενα 705 σπλάγχνα, καὶ αὐτὸ δὲ τὸ σκῦτος τὴν ῥίζαν εὐρύτερον πέπλασται. μήποτε οὖν ὑποκέκρυπται τῷ ὁρωμένῳ καὶ καρδία καὶ ἧπαρ καὶ ὅσα ἐντεῦθεν ἀποφύεται, τὰ μὲν αἵματα, τὰ δὲ περιεκτικὰ πνεύματος ἢ ἀμφοῖν τοῖν μεροῖν. ἀλλ' εἰ μὲν μὴ τοῦ κατὰ τὴν πλευρὰν τραύματος τὸ στόμα ἤδη 710 συμμέμυκεν, ἴσως ἂν ἐκεῖθεν ὥσπερ ἐκ διόπτρας τὸ ὑπονοούμενον διωπτεύσαμεν· ἐπεὶ δὲ ἐμπέφρακται ἡ πηγή, τίς ἄρα τολμητίας τὸ βάθος ἀναπτύξαι τοῦ σώματος; οἵ τε οὖν βραχίονες τὸ μέν τι τῆς τάσεως ἐνδεδώκασι, τὸ δὲ καὶ ἡ γραφὴ ἀκριβῶς τὴν φύσιν ἀπεμιμήσατο· οὐ γὰρ 715 μονοφυὲς τὸ χρῆμα τὸ ἐξ ὤμων ἄχρι κονδύλων, ἀλλ' ὁ τοῦ ἀγκῶνος δεσμὸς διαλυμαίνεται τὴν εὐθύτητα καὶ βραχύ τι ὑποκεχάλασται. καὶ τὸ γόνυ δὲ πρὸς ἰγνὺν ὤκλασεν· ἐπὶ γὰρ τῆς ὀρθῆς στάσεως οὐκ ἀκριβῶς διατενεῖ τις τὼ πόδε· ὅθεν καὶ τῷ μὲν ἐμφύτῳ οἰκονομούμενοι πνεύματι, σῴζ- 720 ουσι τὴν ἀκριβῆ τάσιν, τούτου δὲ διασκιδναμένου, τὸ ἐντεῦθεν σῶμα πρὸς ἑαυτὸ ὑποκάθηται, τῆς τῶν ὀστῶν συμβολῆς ὑποχαλωμένης ἠρέμα. αἱ δέ γε πλευραὶ μικροῦ δεῖν καὶ διηρίθμηνται, ὑπὸ ἀλιπεῖ δεικνύμεναι δέρματι·

720–721 cf. Plat. Phd. 70 b 5

702 τέχνη – γραφὴ O τεχ. ἢ φυσ. ἀλλὰ γραφ. B 703 γαστὴρ σῶμα Ow τὸ post γαστὴρ add. B 705 γὰρ Ow om. B 709 πνεύματος codd. πνεύμονος Gtr. 710 τὴν om. B 712 ἄρα post δὲ add. w 714 τάσεως O στά- B ἐνδεδώκασι O ἐκ- B 717 δια- om. B 718 ἰγνὺν O ἰσχὺν B 720 καὶ om. O 721 διασκιδναμένου O διακρινομένου B 723 ὑποχαλωμένης Ow -μενος B

725 ὁρᾷς δὲ ὅπως καὶ ἠρέμα ἑκάστη κέκαμπται; ἀτημέλητον
δὲ ἔτι τὸ σῶμα, καὶ οὐδεὶς ἔτι τετόλμηκεν ἢ τὰς παλάμας
ἀποκαθᾶραι ἢ τοὺς πόδας τοῦ αἵματος· μένει δὲ ἐπὶ
τοσοῦτον ἡ φύσις ἐφ' ὅσον ἀπερρύη πρὸ τῆς ἐκπνεύσεως·
τὸ γὰρ μετὰ ταῦτα οὐκέτι βλύζουσι τοῦτο αἱ φλέβες, ἀλλ'
730 ἀναχεῖται τὰ ἐρυθρὰ ταῦτα ῥεύματα πρὸς τὴν οἰκείαν πη-
γήν· μετεώρῳ δὲ κουφισθέντι τῷ σώματι τὸ μὲν ὅσον ἐς
πόδας καὶ γόνυ, πλευράς τε καὶ γαστέρα καὶ ὀμφαλὸν πα-
ρέπτυσταί τε καὶ κεκολάφισται, αἱ δὲ περικράνιοι πηγαὶ
ἀνύβριστοι ἢ μᾶλλον πάντῃ ἀθόλωτοι. καθεῖται γοῦν ὁ
735 πώγων ἠρέμα τῇ κεφαλῇ, καὶ οὐδὲν τούτου διεξίεται, ἀλλὰ
συνῆκται τὸ γένειον εἰς ἑαυτὸ ἀκριβῶς, καὶ οὐδὲ οὕτως
περιττῶς, ἀλλὰ συμφωνεῖ τοῖς ἔτεσι τοῦ κυρίου καὶ
ὁμολογεῖ ἄμφω πρὸς ἄλληλα. ἡ δὲ κόμη περιττὴ μέν,
ἀλλὰ τοῦ γένους σύμβολον, οὔτε δὲ καταβοστρυχοῦται
740 οὔτε κατεξίεται, ἀλλ' ἀκριβῶς διωμάλισται, βραχύ τι περὶ
τοῖς ἄκροις ἑλιττομένη, καὶ οὔπω μὲν ἀκριβῶς μέλαινα,
οὐκέτι δὲ ξανθή, ἀλλὰ τὰ μὲν ἀφῆκε τοῦ χρώματος, τὰ δὲ
οὐ προσείληφεν. οἵα δὲ καὶ ἡ πηγὴ τῆς πλευρᾶς, εἰ βούλει
δὲ καὶ ἡ πληγή, ὡς ἐς βάθος ὦσε τὴν λόγχην ὁ θρασὺς
745 ἐκεῖνος ἀνήρ· εἰ γὰρ καὶ μὴ τοσοῦτον νῦν τὸ ἀνεῳγός,
ἀλλ' εἰ βούλει ἐντεῦθεν ἐπαναλῦσαι τοῖς χρόνοις πρὸς τὴν
τηνικαῦτα διαίρεσιν, πολλαπλάσιον τοῦτο τοῦ φαινομένου
κατανοήσεις. οἱ δ' ἐντεῦθεν ῥύακες, τὰ δὲ χρώματα, αἱ δὲ
πρὸς ἄλληλα μίξεις, μὴ γοῦν ποτὲ πρώτως νῦν ἀπορρέου-

729–730 τοῦτο – ταῦτα om. B **732–733** παρέπτυσταί BO παρεμπτ- w **735** διεξίεται Gtr. διέξεται O ἐξίεται B **736** καὶ οὐδὲ οὕτως O οὕτως om. B καὶ … οὕτως om. w **739** κατα- om. O **740** δὲ post οὔτε add. B κατεξίεται Gtr. κατέξεται O κατέξαται B τι Ow om. B **741** μὲν om. B **742** τά[2] B τὸ O **745** νῦν BO ἦν w

σιν, οἷον τὸ ὕδωρ, οἷον τὸ αἷμα, ἀκραιφνῆ ἄμφω ἐκ τῆς 750
αὐτῆς καὶ ταῦτα πηγῆς ἀπορρέοντα. τοιοῦτον μέν σοι τὸ
δεσποτικὸν σῶμα, οὕτως ἀκριβές, οὕτως ἐναργές, οὕτως
ἔμψυχον καὶ νεκρόν, ὡς μὴ αὐτὸ πρὸς παράδειγμα ἀναφέ-
ρεσθαι, τὰ δέ γε λοιπὰ πρὸς τοῦτο ὡς πρὸς παρά-
δειγμα. 755

Ἡ δέ γε τοῦ λόγου μήτηρ οὐκ αὐτὸ ἐκεῖνο τὸ ἔμψυχον
τῶν ἀρετῶν ἄγαλμα; ἀλγεῖ μὲν γὰρ ὑπὲρ φύσιν, ἐκτέτηκε
δὲ ἀθρόον καὶ ἐν ῥισὶν αὐτῇ ἡ πνοή, καὶ ἡ ψυχὴ μὲν ταύ-
την μικροῦ δεῖν ἀπολέλοιπεν, ἡ δὲ οὐδ' ἐν τοῖς πάθεσι τὸ
σεμνὸν ἀπηρνήσατο, ἀλλ' ἀσθμαίνει μὲν ἀδρανὲς δέ, καὶ 760
στενάζει μὲν βύθιον δὲ καὶ δύσηκοον. ἕστηκε δ' ὅμως
ἀκριβῶς συστείλασα ἑαυτὴν καὶ πρὸς τὸ βάθος συννεύ-
ουσα τῆς ψυχῆς, καὶ οὔτε ἀνανεύει πρὸς τὸν υἱόν, οὔτε
τὴν ὄψιν μετέστραπται· τοῦ μὲν γὰρ ἐπωδύνως ἔχει, τὸ δὲ
ὅρμημά ἐστιν ἀνανεύσεως. ἔοικε δέ τι καὶ συλλογίζεσθαι 765
κρυφίως καὶ λανθανόντως· ἐς ἀπορρήτους γὰρ αὐτῇ ἐν-
νοίας τὰ ὄμματα ἵσταται, ἀνελιττούσης ἔνδοθεν τῆς ψυχῆς
ὧν μὲν πρῶτα τετύχηκεν, οἵοις δὲ νῦν περιαντλεῖται κακ-
οῖς, καὶ ὥσπερ συμβάλλει ἄμφω πρὸς ἄλληλα καὶ νικᾷ
τοῖς βελτίοσιν· ὅμως δὲ θαυμάζει τὴν νέκρωσιν ἢ ὅπως 770
μήδε τοῦτο ἀπηξίωσεν αὐτῇ ὁ υἱός.

Τὸν δέ γε μαθητήν, ὥσπερ ἡ πληγὴ τούτου μᾶλλον κα-

749 *μὴ γοῦν ποτὲ* O *μήποτε γοῦν* B **750** *οἷον*[2] om. w *ὄντα* post *ἄμφω* add. B **751** *πηγῆς* Ow *πληγῆς* B **753** *πρὸς* O *τὸ* B **754** *γε* O om. B **756** *οὐκ αὐτὸ* om. B **757** *τῶν* om. B *ἐκτέτηκε* BO *ἐκτήκεται* w **758** *δὲ* B *γὰρ* O *ἡ ψυχὴ* O *τὴν ψυχὴν* B **764** *τοῦ* Ow *τὸ* B **765** *ἀνανεύσεως* O *συνανεύσεως* w *συνανανεύσεως* B **768** *πρῶτα* w *πρ*[.]*τ*[.] O *π*[...] B *προστε-* Gtr. **770** *μὴ* post *δὲ* add. B *θαυμάζει* O *-ζειν* B **772–773** *καθίκετο* Ow *-ήκετο* B

θίκετο, οὕτω δὴ καὶ ἡ γραφὴ ἐναργῶς πρὸς ὃ πέπονθεν ἀπηκριβώσατο· ὃς γὰρ πλέον ἐφιλεῖτο παρὰ τοὺς ἄλλους,
775 *οὗτος κατὰ τὸ ἴσον τοῦ φιλοῦντος ἀντείχετο. ἔτι δὲ νεανίας ὢν καὶ μὴ πάνυ γενναῖος ὑπενεγκεῖν συμφορὰς μηδὲ τοσαύτην προσβολὴν ἢ ὑπερβολὴν ὀδύνης εἰπεῖν, οὐδ' ἀτενίζειν τῷ κυρίῳ μετεώρῳ δεδύνητο, ἀλλ' ὥσπερ οἶμαι κατάκροτος τὰ ὦτα τῇ πληγῇ τῶν ἥλων πρῶτον γενόμενος,*
780 *εὐθὺς ὥσπερ βροντὴν καταρραγεῖσαν οὐκ ἐνεγκὼν νένευκε πρὸς ἑαυτόν, καὶ τὸ δεξιὸν οὖς ἐπισχών. εἰ μὲν θατέρῳ τῶν ὀφθαλμῶν παρορᾷ τι τοῦ μετεώρου σώματος, ἀλλ' ἥ γε γραφικὴ χεὶρ πρὸς τὸ σχῆμα τῆς πλάσεως οὐ παρίστησι τοῦτο· τῷ δέ γε λοιπῷ οὐθ' ὁρᾷ τοῦτο, ἀλλ' οὐδ' ἀτενίσαι*
785 *ποτὲ ἔοικεν, οὔτε ἐκπέπληκται τὸ δεινόν.*

Καὶ τὸ μὲν πάθος αὐτίκα τοῦτον ποιεῖ τεθνήξεσθαι, ἡ δὲ τὴν τοῦ ζωγράφου κινήσασα χεῖρα πρὸς τοῦτο δύναμις αὐτὸ μᾶλλον ψυχοῖ τὸ ἐκπεπνευκός· οὕτως αὐτὸν ἐν μὲν νεκροῖς ζῶντα, ἐν δὲ ζῶσι νεκρὸν ἀπειργάσατο· τά τε γὰρ
790 *κεκαλυμμένα αὐτῷ τῶν μελῶν οὕτως εἰσὶν ἐπαμφότερα, καὶ τὰ φαινόμενα οὐδὲν ἧττον ἀμφίβολα· ἄμφω γὰρ ἄψυχά τε καὶ ἔμψυχα, ὅσα τε ἡ τέχνη συνέστειλεν καὶ ὅσα ἠνέῳξεν· οὕτως οἱ χιτῶνες τοῦ αἵματος, οὕτως εἴ τι λευκόν, οὕτως εἴ τι τοῦ μέλανος, οὕτω νεκρὸς μὲν ζῶν δὲ*
795 *καὶ τῷ σταυρῷ παριστάμενος, καὶ τῷ ὑπερβάλλοντι τῶν ἀλγηδόνων ἀκριβῶς τεθνηκώς, ἔμψυχος δὲ νῦν τῷ ἀκριβεῖ τῆς μιμήσεως, ἢ μᾶλλον καὶ τότε ἄμφω καὶ νῦν οὕτως.*

776 *μὴ* Ow om. B   778 *μετεώρῳ* BO *-ος* w   780 *ἐνεγ. νέν.* Ow *τε* post *ἐνεγκὼν* add. B   782 *μετεώρου* om. B   783 *σχῆμα* O *σῶμα* B   787 *κινήσασα* om. B *χεῖρα* Ow *χεὶρ* B   790 *αὐτῷ* O *-ῶν* B *ἐπαμφότερα* R. Browning *ἐπ' ἀμφ-* Gtr.   791 *ἀμφίβολα* Gtr. *-βολ* O *-βολον* B   792 *τε*[2] O s.l. w *δὲ* B   792–793 *τέχνη – οὕτως*[1] O *τέχ. ἠν. καὶ ὅσα συν. καὶ ὅσα ἠν. ὄντως* B *τέχ. ἠν. καὶ ὅσα συν. οὕτως* w   797 *τότε* O *τὸ* w *τῷ* B

ἀλλ' ἐκεῖ τὸ μὲν ζῆν παρὰ τὴν φύσιν, τὸ δὲ θανεῖν παρὰ τὴν ὀδύνην· ἐνταῦθα δὲ καὶ τοῦτο κἀκεῖνο παρὰ τὴν τέχνην ἢ τὴν χάριν ἧς ἡ τέχνη τετύχηκε. 800

Τί οὖν, ἵστησί σοι τὴν ἐπιθυμίαν ὁ λόγος, ἢ βούλει καὶ τοὺς ἀγγέλους ἰδεῖν; ποδαπὸν αὐτοῖς τὸ σχῆμα καὶ τί τηνικαῦτα ποιοῦντες τοῖς καθαροῖς ὤφθησαν τὴν διάνοιαν; ὅρα γοῦν αὐτοὺς ὑπεριπταμένους τὸν κύριον κατὰ τὸν ἀριθμὸν ὃν αἱ ἀνέκαθεν παραδεδώκασι τῷ καθ' ἡμᾶς βίῳ 805 *γραφαί, ἀρχηγοὺς τούτους τῶν μεγιστάνων τάξεων νομίσασαί τε καὶ ὀνομάσασαι. τί δὲ βούλεται αὐτοῖς τὰ διάφορα σχήματα; ἅτερος γὰρ παρὰ θατέρου ἐφ' ἑκατέρου μέρους, ὁ μὲν ὡς πρὸς ὑποδοχὴν ἡτοίμασται καί τι ἔοικεν ἐνεργεῖν, ὁ δὲ ὑπερεκπέπληκται καὶ μικροῦ δεῖν τῷ σχήματι* 810 *πέπηγεν· ἔοικε γοῦν μοι μυστηρίων εἶναι τὰ τοιαῦτα σχήματά τε καὶ σύμβολα· ὁ μὲν γὰρ Γαβριήλ, ἤδη πεπιστευμένος τὴν τῆς οἰκονομίας διακονίαν καὶ τὰ τῆς ἀπορρήτου κυήσεως τῇ παρθένῳ δοὺς εὐαγγέλια καὶ τὸ ἄρρητον θαῦμα προλαβών, οὐ πάνυ τι ἐνταῦθα θαυμάζειν ἔοικεν* 815 *ἀλλὰ διακονεῖ τι τῷ λόγῳ, πρὸς τοῦτο παρὰ τοῦ μεγάλου ἀπεσταλμένος πατρός· καὶ ὁ Μιχαὴλ δέ, ἰσοστάσιος ὢν ἐκείνῳ κατὰ τὴν ἀρχικὴν τάξιν, ἐδέξατο ἂν καὶ αὐτὸς τὴν περὶ τὸ μυστήριον ἔλλαμψιν, ὅθεν κατ' ἴσον τῷ Γαβριὴλ ἐσχημάτισται· οἱ δέ γε λοιποί, τότε πρῶτον ἰδόντες τὸν* 820 *κύριον σεσωματωμένον ὁμοῦ καὶ σταυρούμενον, οὐκ ἔχουσιν ὅ τι θαυμάσουσι πρότερον, πότερον τὴν παραβολὴν*

799 *παρὰ* O *περὶ* B **804** *αὐτοὺς* om. B **804–805** *κύριον – αἱ* O *κύριον ὃν κατὰ ἀριθμὸν αἱ* B **808** *παρὰ* Ow *περὶ* B **809** *ὑποδοχὴν* B *ὑπηρεσίαν* O *τι* O *τοι* B **811** *μοι* om. B **812** *τε* om. O **815** *ἐνταῦθα* om. B **817** *δέ* Ow om. B **818** *ἂν* om. B **822** *πρότερον* w *πότερ* O *τρόπον* B *παραβολὴν* B *περι-* O

τοῦ παραδείγματος καὶ περιβλήματος ἢ τὸ ἀνηρτῆσθαι καὶ ἐσταυρῶσθαι μετὰ λῃστῶν· μεγεθύνει δὲ τούτοις τὸ θαῦμα
825 *τὸ μηδὲ κενοὺς τοὺς πατρῴους κόλπους τοῦ μονογενοῦς λόγου ὁρᾶν. ἀναβαίνουσιν οὖν ἅμα καὶ καταβαίνουσι τρόπον τινά, ἄνω τε ὅλον ὁρῶντες τὸν κύριον καὶ κάτω τὸν αὐτὸν μετὰ τοῦ προσλήμματος. τὸ δὲ μὴ ἐξηπλῶσθαι τούτους ἀκριβῶς μήτε τοῖς ποσὶ μήτε ταῖς πτερύξιν ἐμφαν-*
830 *τικόν ἐστι τῆς περὶ τὰ θεωρούμενα συστολῆς· μήποτε πάλαι μὲν ταῦτα, νῦν δὲ αὐτὸ τὸ σχῆμα ὑπερθαυμάζουσι τῆς μορφῆς. εἰ δέ μέ τις μὴ περιττότερον ταῖς ἐνθυμήσεσιν οἴεται, δοκεῖ μοι ἐξηπατῆσθαι τούτους ἐπὶ τῷ σχήματι καὶ ὡς αὖθις, ἐναργῶς τοῦ λόγου πάσχοντος, καταβεβήκασιν*
835 *ἀτεχνῶς, οἱ μὲν ὑπηρετήσοντες οἱ δὲ θαυμάσοντες. εἶδες δ' ἄν, εἰ μὴ ἤδη ἐτεθνήκει ὁ λόγος, καὶ τοὺς φωστῆρας εἰς ταὐτὸ παραδόξως συνεληλυθότας, καὶ τὴν μὲν σελήνην παρὰ τὸν καιρὸν ὑποδραμοῦσαν τὸν ἥλιον, τὸν δὲ ἀκριβῶς ἐπηλυγασθέντα καὶ τῶν οἰκείων αὐγῶν τὴν οἰκουμένην*
840 *στερήσαντα· ἀλλὰ πρὸ ὀλίγου ταῦτα, νῦν δὲ ὁ καιρὸς τὴν σύνοδον τούτοις διῄρηκε καὶ πάλιν ἀπ' ἀλλήλων ἀπέστησαν τὴν ἄκραν ἀπόστασιν.*

Ἀλλ' ὅτε μὲν πρὸς ἀκρίβειαν τῆς τέχνης ἠκρίβωται ἡ

823 *παραδείγματος καὶ* om. O **823–824** *καὶ ἐσταυ-* codd. *τὸ* post *καὶ* add. Gtr. **826** *λόγου* om. B **829** *ταῖς* w *τοῖς* BO **830** *τῆς* om. B **831–832** *τῆς μορφῆς* Ow *τῇ μορφῇ* B **832** *ταῖς ἐνθυμήσεσι* O *τοῖς ἐνθυμήμασιν* B **833** *μοι* O *μὴ* B *ἐξηπατῆσθαι* w *ἐξαπα-* BO **835** *ἀτεχνῶς* BO s.l. w *ἀκριβῶς* w **835** *ὑπηρετήσοντες* Ow *-σαντες* B **837** *συν-* Ow om. B **839** *καὶ* Ow *κατὰ* B **840** *ὀλίγου* O *ἡλίου* B **841** *διῄρηκε* O *διῄρησε* w *διῄρεσε* B **843** *ὅτε* codd. *ὅτι* Gtr.

γραφή, χρῷ δῆλον, ἔφησέ τις σοφός· ἔστι δὲ τὸ θαυμαζόμενον οὐκ ἐντεῦθεν, ἀλλὰ τῷ δοκεῖν ἐμψυχῶσθαι σύμπα- 845
σαν τὴν εἰκόνα καὶ μηδεμιᾶς ἀμοιρεῖν τῶν κινήσεων. εἰ γοῦν ἐπερείσει τις τοῖς μέρεσιν ἐφεξῆς ταύτης τὰ ὄμματα, τὰ μὲν αὐτῷ ἠλλοιῶσθαι δόξειε, τὰ δὲ ηὐξῆσθαι, τὰ δὲ μεθίστασθαι, τὰ δ' ἄλλό τι πάσχειν ἢ ποιεῖν, ὥσπερ ἄρτι φυόμενα ἢ φθίνοντα, οὕτω καὶ τὸν νεκρὸν αὐτῆς ἔμψυχον 850
καὶ τὸ δοκοῦν οὕτως ἄψυχον ἀκριβῶς· τὰ γάρ τοι τῆς τοιαύτης γραφῆς σχήματα κἂν ταῖς ἀτέχνοις τῶν εἰκόνων ἴδοι τις ἄν, τὸ οὕτως ὀρθοῦσθαι ἢ κεκλάσθαι, τὸ συγκεκάμφθαι, τὸ δοκεῖν αἵματι ζῆν ἢ αὖθις τεθνᾶναι τῷ ὠχριακέναι, ἀλλ' εἰσὶν ἅπαντα τύπων, ὡς ἄν τις εἴποι, μιμήματα 855
καὶ εἰκασμάτων εἰκάσματα. ἐνταῦθα δὲ οὐκ ἐκ χρωμάτων τὰ τοιαῦτα δοκεῖ συνεστάναι, ἀλλ' ἔοικε τὸ σύμπαν ἐμψύχῳ φύσει καὶ ἀτεχνῶς κινουμένῃ, καὶ οὐδὲ δύναταί τις εὑρεῖν ὁπόθεν οὕτω γεγένηται ἡ εἰκών. ἀλλ' ὥσπερ τὸ κάλλος ἐξ ἀντιλογίας μέν ἐστι καὶ εὐαρμοστίας μελῶν καὶ 860
μερῶν, πολλάκις δὲ καὶ ἡ ἐκ μὴ οὕτω δοκούντων ἔχειν

844 cf. CPG II 130,17 et 727,35 atque nunc praecipue Psell. monod. de M. Radenon, ed. Gautier, REB 36 (1978) p. 123,292–293 et adn. 24

844 *ἔφησέ* O *ἔτι* B *ἔστι* w *ἔστι* Ow *ἔτι* B **846** *τὴν εἰκόνα* O *τῶν εἰκόνων* B **847** *ἐπερείσει* Ow lac. B *-είσῃ* Gtr. *ἐφεξῆς* O *ἐξῆν* B *ταύτης* O *αὐτῶν* B **848** *τὰ μὲν αὐτῷ* om. B **850** *αὐτῆς* O *αὐτοῖς* w om. B **850–851** *ἔμψυχον ... ἄ[..]χον* O *ἄψυχον ... ἔμψυχον* B **851** *τοι* B *τι* O **851–852** *τῆς τοιαύτης* Gtr. *τῆς τοιαύτ* O *τοιαῦτα τῆς* B **854** *τῷ* om. B **857–858** *ἐμψύχῳ φύσει* O *ἔμψυχος φύσις* B **859** *γεγένηται* O *γένηται* B **860** *πολλάκις* post *εὐαρμοστίας* add. B **860–861** *μελῶν καὶ μερῶν* Ow transp. B **861** *πολλάκις* O *οὕτω* B

ὑπερφυῶς ἀπολάμπει, οὕτω δὴ κἀνταῦθα. ἔστι μὲν ἡ ἔμψυχος αὕτη γραφὴ ἐκ τῶν οἷς σύγκειται συντεθειμένων ὡς ἄριστα, τὸ δ' ὅλον ἔμψυχον εἶδος καὶ ὑπὲρ τοῦτο δοκεῖ,
865 *ὡς εἶναι τῇ εἰκόνι διχόθεν τὸ ζῆν, τῷ τε κατὰ τέχνην ἐξωμοιῶσθαι καὶ τῷ κατὰ χάριν ἑτέρῳ μὴ ἐοικέναι. τί τοίνυν καὶ εἰκόνων καὶ σκιῶν ἐστι σύγκρισις; ἀλλ' ἐγὼ ταύτην δὴ τὴν γραφὴν οὐ πρὸς ἑτέρας γραφὰς παραβάλοιμι, οὔτ' εἴ τινες τῶν τῆς ἀρχαίας χειρὸς τοιαύτας ἀνεστηλώκα-*
870 *σιν ἢ πρὸς τὸ ἀρχέτυπον ἀκριβῶς ἀπεικόνισαν, οὔτε μὴν εἴ τινες τῶν καθ' ἡμᾶς ἢ τῶν ὀλίγον πρὸ ἡμῶν ἔνιοι τοιαῦτα εἴδη ἐκαινοτόμησαν· αὐτῷ δ' ἐκείνῳ τῷ ἐμῷ Χριστῷ ἀπεοικέναι ταύτην φημί, ὁπηνίκα Πιλάτῳ παραχωρήσαντι ἡ κατ' αὐτοῦ ψῆφος τῷ φονῶντι λαῷ ἐξενήνεκτο. οὕτω*
875 *γοῦν μοι κἀκεῖνος ἀπῃωρῆσθαι δοκεῖ ἐν ὁμοίῳ τῷ σχήματι, ἐν ὁμοίῳ τῷ χρώματι· καὶ οὐκ ἂν διαμφισβητήσαιμι ὡς κρείττων ἐπιστασία τὴν τοῦ ἐξεικονίσαντος χεῖρα μετὰ καὶ τοῦ ἐπιστατοῦντος νοὸς πρὸς τὴν πρωτότυπον ἐκείνην ἀνήνεγκε γραφήν.*
880 *Τί οὖν, πεπλήρωταί σοι τὰ τῆς ἐπαγγελίας; ἰδοὺ καὶ αὐτὸν θέασαι ἐσταυρωμένον τὸν κύριον, ἀλλὰ μὴ πολλάκις οὕτως τοῦτον ὁρᾶν προθυμοῦ, μηδέ γε θαπτόμενον, ἀλλ' ἀνιστάμενον καὶ ἀναλαμβανόμενον· ἐκεῖνα μὲν γὰρ πράξεως, ταῦτα δὲ θεωρίας τεκμήρια· κἀκεῖνα μὲν ψυχῆς ἐστι*

865 *τὸ* Ow *τοῦ* B **866** *ἐξωμιῶσθαι* Gtr. *ἐξο-* O *ἐξη-* B *ἐξημιοῦσθαι* w *χάριν* Ow *τέχνην* B **867–868** *ταύτην δὴ* O *τοιαύτην δεῖ* B **868** *ἑτέρας γραφὰς* O *ἕτεραν γραφὴν* B **869** *χειρὸς* O *χειρῶν* B **871** *ὀλίγον* Du. *ὀλίγων* codd. **872** *εἴδη* Ow *ἤδη* B **876** *ἐν – χρώματι* om. B **878–879** *ἐκείνην ἀνήνεγκε* transp. O **880** *σοι* BO *μοι* w **884** *τεκμήρια* BO *-ον* w *ψυχῆς ἐστι* transp. B

τὰ πάθη νεκρούσης καὶ καταχωννύσης οἷον εἰς γῆν, ταῦτα 885
δὲ ἀπολυομένης τοῦ σώματος καὶ καθαρῶς ἀνιπταμένης
πρὸς τὸν θέον. ἀλλ' ὥσπερ ἐθεασάμεθα τοῦτον καὶ τι-
κτόμενον καὶ καθαιρόμενον καὶ σταυρούμενον, ἴδοιμεν καὶ
ἀνιστάμενον καὶ εἰς οὐρανοὺς ἀνυψούμενον, καὶ συναναστα-
σταίημεν τούτῳ καὶ συνυψωθείημεν, δοξάζοντες αὐτόν, 890
ὥσπερ ἐν ταῖς νεκρώσεσι τῶν παθῶν, οὕτω καὶ ἐν ταῖς
ἀναστάσεσι τῶν ψυχῶν καὶ ἐν ταῖς ὑψώσεσι τῶν λογισμῶν,
ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ
ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

890 *συνυψωθείημεν* O *συνανυψ-* B **893** *πᾶσα* om. B
894 *τοὺς* om. w

ORATIO DE MIRACVLO IN BLACHERNAIS PATRATO

Beata Maria virgine et deo proxima et amantissima hominum laudata (17ff.), miraculum in Blachernais factum describit Psellus. nam hac in ecclesia simulacrum Mariae (descriptum est a Jean S. Papadopoulos, Les palais et les églises des Blachernes [Thessalonika 1928] 25–27) celat velamentum (112–117) quod constanter vis divina elevat (132–136), sexto vespere veniente (120–122) et ecclesia deserta (122–131). nullo modo autem fieri potest ut explanetur quare hoc miraculum interdum desit (155–160). tunc insolitum accidit de miraculo, cum Leon Mandalus, dux et *spatharius*, atque monachi monasterii *tou kalliou* dissedissent Thraciis de molis (175–179). tum denique postquam uterque multis in iudiciis vicerat (180–181), Gabriel Tzirithon, *disupatus* et magistratus Thraciae, iudicavit ambos molas communicare (187–194). id autem adversarii aegre passi beatam virginem in Blachernais appelaverunt (217), ut iudicaret illo miraculo faciendo quamquam insolito in tempore. nam utroque libuit, omnibus decretis simulacro virginis ostendatis, Leonem Mandalum iudicium victurum esse, si miraculum factum esset atque si non, monachos (220–237). omnibus autem confectis, primo miraculum defuit, ut monachi se victores haberent (243–253), sed deinde factum est miraculum, ut Leon Mandalus iudicium vinceret (260–271). haec victoria denique ab Ioanne *tous Xerous protoproedromo* confirmata est (644–648). Leone praeterea in Bla-

chernais gratias Mariae agente, iterum factum est miraculum (648–659).

Hoc autem in Blachernais arbitrium valde comprobans Psellus suadet ut res magnam in contentionem vocatae hoc modo diiudicandae sint. cuius argumentum duas in partes divisum est. nam miraculum in Blachernais praecipue valere primo arguit Psellus, ominibus oraculisque et paganis et sacris comparatum (356–465). considerat deinde cuius legis exemplo liceat oraculum rem iudicare. nam concludit non solum adversarios miraculo in Blachernais sicut iudice compromissario usos esse (485–577), sed autem fortunam nonnumquam res agendas regere (579–611). Proclum denique sequens miracula explanat Psellus (660–716).

Quo mense (Iulio 1075) hoc miraculum factum est, scripsit Psellus hanc orationem ab imperatore Michaele Duca desideratam (752–757).

4. *Λόγος ἐπὶ τῷ ἐν Βλαχέρναις γεγονότι θαύματι*

Οὐ πολιτικὸν τοῦ πολιτικοῦ ζητήματος τὸ συστὰν δικαστήριον, ἀλλὰ μυστικὸν καὶ ἀπόρρητον τοῦ προτεθέντος προβλήματος τὸ συμβὰν παρὰ τῆς θεομήτορος παρθένου 5 *δικαιωτήριον, οὐδὲ ἀνθρωπικὴ ἡ διάγνωσις. ἀλλὰ μυστικὴ*

V 37ᵛ–48ᵛ; u 147ᵛ–158ᵛ – Bidez 192–210; Siderides 511–519, 539–547; partim Bezobrazov 78–87; Papadopoulos 33–34. Cum u apographum codicis V esset, illius lectiones solas reportavi quae correctiones aut coniecturae utiles sunt.

1–2 *τοῦ αὐτοῦ λόγος–θαύματι* Vu 3–4 *δικαστήριον* u *διακασ-* V

ἡ διαίρεσις, οὐδ' ἐκ δικαστικῶν χειλέων ἡ ψῆφος καὶ ἡ ἀπόφασις, ἀλλ' ἐξ ὑπερφυῶν συμβόλων ἡ κρίσις καὶ ἡ διάλυσις· ἔδει γὰρ πάντως τὴν τὸν ἑαυτῆς τόκον καινοτομή-
10 *σασαν (λεγέσθω γὰρ καὶ τοῦτο θαρρούντως) καὶ ἀνάνδρως ἅμα καὶ ἀνωδίνως τεκοῦσαν τὸν λόγον, καινοτομῆσαι πάντως καὶ τὴν ψῆφον ἣν ἐπιστεύθη καὶ θειότερον τρόπον διελεῖν τὸ ἀμφίβολον καὶ εἰς τὸ ἀναντίρρητον καταστήσασθαι τὸ μαχόμενον. ποιητικοὶ μὲν γὰρ μῦθοι τὴν Δίκην*
15 *ἀπὸ γῆς εἰς οὐρανοὺς ἀναφέρουσι καὶ οὐρανίοις θώκοις ἐγκαθιδρύουσιν ἵνα μὴ παντάπασιν ἡμῖν ὁ βίος ἄδικος ᾖ καὶ πλήρης παρανομίας· οἱ δὲ τῆς ἀληθείας λόγοι ἐκ τῶν οὐρανίων αὐτῶν ἀντύγων τὴν θεοτόκον ἡμῖν κατιέναι φασὶ πρὸς τὸ βέλτιον τὰ καθ' ἡμᾶς ἰθύνουσαν πράγματα, ἤ,*
20 *μᾶλλον εἰπεῖν, ἡ θεία καὶ μακαρία φύσις τῆς θεομήτορος οὔτε τῆς ὑπερκοσμίου ἀφέστηκε λήξεως καὶ τῆς συγγενοῦς οὐκ ἐπιλέλησται φύσεως, ἀλλ' ὥσπερ ὁ ἐξ αὐτῆς γεννηθεὶς οὐσιωδῶς λόγος τῶν πατρῴων οὐκ ἀποστὰς θρόνων ἐπὶ τὴν γῆν καταβέβηκε καὶ ὅλον τὸν ἄνθρωπον ἐνδυσάμενος*
25 *ὅλῃ τῇ φύσει τῆς σωτηρίας μετέδωκεν, οὕτω δὴ καὶ αὐτὴ τῇ πρὸς τὸν υἱὸν ὡς ἐφικτὸν μιμήσει ὅλη τε ἄνω ἐστὶ καὶ ὅλη πρὸς ἡμᾶς κάτεισι. ἐχρῆν γὰρ τῇ ἀπεριγράφῳ ἑνωθεῖσαν φύσει τὴν ὑπερκειμένην καὶ ἀκατάληπτον ἕνωσιν καὶ τῆς χερουβικῆς ὑπερτέραν πρὸς τὸ θεῖον ἀσυγκρίτως ἐγγύ-*
30 *τητος, ἀπερίγραφον καὶ αὐτὴν γενέσθαι καὶ παντὶ τόπῳ ἀπεριόριστον ταῖς νοεραῖς ἐνεργείαις τε καὶ δυνάμεσι.*

14–17 cf. Hes. erga 256–260; cf. Psell. ep. 186 (Sathas V 473,8)

27 *γνωμικόν* add. mg. V 27–29 *τῇ – ὑπερτέραν* V s. l. *ἤγουν τῷ θείῳ λόγῳ τὴν ἁγίαν θεοτόκον ἤγουν τὴν αὐτῆς σάρκα· ἕνωσιν δὲ ποίαν*

Πολλὰ μὲν οὖν αὐτῆς καὶ πανταχοῦ τὰ παράδοξα, τὰ μὲν φαινόμενα, τὰ δὲ νοούμενα, τὰ μὲν ἐν σωματικοῖς συμβόλοις, τὰ δὲ ἐν ἀπορρήτοις διανοήμασιν, ἐν πάσαις πόλεσιν, ἐν πᾶσιν ἔθνεσιν, ἐφ' ἑνὶ καὶ παντὶ καὶ ὁμοῦ καὶ 35 *καθ' ἕνα· αὕτη γάρ, τὰ μὲν ταῖς ὄψεσιν ὑποπίπτουσα, τὰ δὲ ἀφανῶς περὶ ἡμᾶς δρῶσα καὶ συνθήμασιν ἀρρήτοις δεικνῦσα τὰ μὴ φαινόμενα, πᾶσαν τὴν περίγειον λῆξιν τῶν ἑαυτῆς ἐφ' ἑκάστου τῶν καιρῶν χαρίτων καταπληροῖ. οὐ δεύτερον δὲ τῶν μεγάλων αὐτῆς θαυμασίων καὶ τὸ νῦν πα-* 40 *ραδόξως γεγενημένον, περὶ οὗ προϊὼν ὁ λόγος δηλώσει σαφέστατα. αὐτὴν μὲν οὖν τὴν τοῦ γένους ἡμῶν κηδεμόνα καὶ σώτειραν οὔτε οἶδέ τις ὅπη τέ ἐστι καὶ ὁποίας τετύχηκε λήξεως, οὔτε τις τῶν ἐπιγείων ἡμῶν γνώσεται πώποτε, εἰ μή τις ὑπερκόσμιος ψυχὴ γένοιτο καὶ ὑπὲρ τὴν* 45 *χερουβικὴν κατασταίη τάξιν καὶ δύναμιν· ὁπόσοι δὲ ἐν σκιαῖς καὶ ἰνδάλμασι καὶ εἰκόσι ταύτῃ προσκείμεθα, καὶ διὰ τῆς ἀνομοίου, οὕτως εἰπεῖν, ὁμοιότητος τὴν ἀμίμητον φύσιν αὐτῆς φανταζόμεθα. τὸν μὲν γὰρ ἥλιον θεάσασθαί ποτε δυναίμεθα καὶ ἀντωπῆσαι τρανέστερον, ἢ ἀσθενῶς* 50 *τῶν ὄψεων διακείμενοι καθ' ὕδατος κατοπτεύομεν, ἢ τὸν ἀέρα ὁρῶντες καταλαμπόμενον, τρόπον τινὰ ἐκεῖνον ὁρᾶν τεκμαιρόμεθα· τὴν δέ γε παρθένον καὶ θεομήτορα οὐδαμοῦ τις ἂν ἴδοι, οὐκ ἐν αἰθέρι, οὐκ ἐν ἀέρι, οὐκ ἄνω βλέψαντες, οὐ τοῖς κάτω στοιχείοις ἐπαφιέντες τὰς ὄψεις,* 55 *ἀλλὰ πανταχοῦ οὖσαν αἱ πανταχοῦ φύσεις ἠγνόησαν· εἰκο-*

48–49 cf. Procl. theol. Plat. I 16–17 P 44–45 (80,3–5 Saffrey/Westerink) **49–51** cf. Iambl. vit. Pythag. 67 (37,17–21 Deubner/Klein)

36 *τὰ μὲν* iter. V **43** *ὅπη* V *ὅπου* Bi. **46** *ὁπόσοι* Bi. *ὁπόσα* V **47** *καί*[3] secl. Bi.

νίζοντες δὲ καὶ ἐξομοιοῦντες ἐμφαινομένην τοῖς ὁμοιώμασιν ἔχομεν, καὶ μάλισθ' ὅταν μὴ χρώμασι τοσοῦτον τυπῶμεν, ἀλλὰ πόθοις ἀρρήτοις καὶ ταῖς πρὸς αὐτὴν δι' ἀρετῶν
60 οἰκειώσεσι. καὶ τοῖς μὲν τῶν φωστήρων πλάσμασιν οὐκ ἄν τις αὐτὰ ἴδοι τὰ παραδείγματα, εἰ μὴ ὅσον βραχύ τι γνοίη περὶ τῶν ἀρχετύπων ἀπὸ τῶν εἰκασμάτων· τὴν δέ γε παρθένον ὁμοῦ τε γράφομεν καὶ τὴν καρδίαν περὶ τὴν γραφὴν ἐντιθέμεθα καὶ τὰ μὲν ὑπ' ὄμμασι φαινομένην ὁρῶμεν,
65 ὁποῖον δὴ τὸ φαινόμενον, τὰ δὲ ἐν ψυχῇ πάσχοντες ἐντυπούμεθα· οὕτω τις πρὸς αὐτὴν ἡμῖν οἰκείωσις ἐμπέφυκεν ἄρρητος καὶ πρὸς τὸ ἡμεδαπὸν γένος ἐκείνῃ ἀπορρητοτέρα συμπάθεια. καί, ἵνα τι τολμήσας ἐρῶ, πρὸς μὲν τὰς καθάρσεις τῶν ἡμετέρων ψυχῶν καὶ αὖθις πρὸς τὰς ἐκ τῶν
70 παθῶν κηλῖδας θεὸς ἐφέστηκε καὶ ἀφέστηκε, καὶ τρόπον ἐνόπτρου πρὸς τὰς ἐκεῖθεν αὐγὰς καθεστήκαμεν, στίλβοντες μὲν ταύτας δεχόμενοι, ἀμαυρούμενοι δὲ τούτων στερούμενοι· ἡ δὲ συμπαθὴς τῆς θεομήτορος φύσις καὶ τὸ φιλάνθρωπον ὑπερφυὲς ἔχουσα ἅπασιν ὁμοίως ἐμφαίνεται,
75 ὅσοις τε ἡ ψυχὴ διαυγάζει καὶ ὅσοις ὁ νοῦς ἔτι τεθόλωται, καὶ ἴδοι ἄν τις αὐτὴν αὐτοπτήσας ὁπόσον ἰδεῖν δύναιτο, οὐ τῶν ὑψηλῶν μόνον καὶ μετεώρων τὴν ἀρετήν, ἀλλά τι καὶ ἀπερίεργον γύναιον κατόπιν τῇ εἰκόνι αὐτῆς ἑφεπόμενον καὶ οὐδ' ἀκριβῶς τὸν ὕμνον αὐτῇ διαρθροῦν. οὐχὶ
80 γὰρ τὸν ἄριστον χαρακτῆρα τῶν λέξεων, ἀλλὰ τὸν τῶν ψυχῶν ἐπαινεῖ καὶ ἀσπάζεται, οὐδὲ τὴν συνθήκην τῶν ὀνομάτων, ἀλλὰ τὴν ἐμμελῆ ἁρμονίαν τῶν τρόπων ἐξοικειοῦται.

Πολλὰ μὲν οὖν αὐτῇ κατὰ τὴν βασιλίδα τῶν πόλεων τὰ τεμένη, καὶ πάντα θείας πλήρη ὀμφῆς, ἐπιθειάζουσί τε
85 αὐτῇ ἱερέων τε γένη καὶ ὁπόσοι ἐν τούτοις κεκλήρωνται, καὶ τοῖς μὲν ἐν μετεώρῳ τοῦ ἀδύτου εἰκόνισται, ἀγγελι-

80–81 τῶν ψυχῶν V τῆς ψυχῆς Bi.

καῖς ἐν γραφαῖς δορυφορουμένη δυνάμεσιν, τοῖς δὲ κατὰ τῶν τοίχων τετύπωται, ὥστε καὶ προσεγγίζειν τοὺς εἰσιόντας δύνασθαι καὶ τῶν ἐκεῖθεν ἐλλάμψεων ὑπερεμπίπλασθαι. ἔστι δ' οὗ καὶ ἐν ὕλαις ὑποκειμέναις διαφόροις τετύ- 90 *πωται, καὶ τοῖς μὲν χρυσῇ τις εἰκόνισται, τοῖς δὲ ἀργυρᾶ περιγέγλυπται· ἔστι δ' οὗ καὶ σανὶς αὐτὴν ἔχει ἐντύπωτον, καὶ οὐδὲ τὴν ἐσχάτην ὕλην ἀπαξιοῖ. ὥσπερ δὲ ἁπανταχῇ μὲν ὁ ταύτης υἱός, μᾶλλον δὲ ὑπὲρ τὸ πᾶν ἢ καὶ τούτου ἐπέκεινα, τὸν οὐρανὸν δὲ μᾶλλον οἰκεῖν πεπίστευται τοῖς* 95 *πολλοῖς καὶ τοῖς κρείττοσι, καί γε ἐπικαλέσασθαι τοῦτον ἑλόμενοι, εἰς οὐρανὸν εὐθὺς τὰς χεῖρας προτείνομεν, οὐκ ἐκεῖσε τοῦτον περιγράφειν βουλόμενοι, ἀλλ' ὡς κρείττονι τὸν κρείττονα χῶρον ἐξαιροῦντες καὶ ἀφαίρεμα τοῦτον τῆς ὕλης ποιούμενοι, τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ τεκοῦσα* 100 *τοῦτον ὑπερφυῶς ἐν πᾶσι μὲν αὐτῆς τοῖς θείοις σηκοῖς ἐστί τε καὶ ἐμπεφάνισται, μάλιστα δὲ ἐν τῷ περιωνύμῳ τῷ ἐν Βλαχέρναις ναῷ οἰκεῖν τε νομίζεται καὶ τὰς θεοσημίας σαφῶς ἐπιδείκνυται, τὰς μὲν οὐκ ἐν διηριθμημένοις καιροῖς, ἀλλ' εἰσὶν αἱ ἐπιδημίαι ταύτης ἀόριστοι, τὰς δὲ ἐν* 105 *τακταῖς περιόδοις, ἃς ὑπερβαίνειν οὐ θέμις αὐτῇ, εἰ μή τις ἄρρητος αἰτία ἐκ μακρῶν τῶν χρόνων περιόδων τῆς τοῦ θαύματος ἐποχῆς γένοιτο· τὸ δὲ θαῦμα καὶ τὸ τελούμενον ὑπὲρ τὸ θαυμάζειν καὶ δύνασθαι· καί, ἵνα μὴ περιττός τις εἴην τὰ βεβοημένα ἐπεκδιηγούμενος, ἐρῶ τι περὶ τούτου* 110 *βραχύ, τὸ πολὺ τῆς θεότητος συντεμών.*

Εἰκών τις αὐτῇ ἐν δεξιᾷ τοῦ νεὼ τοῖς πρὸς ἀνατολὰς εἰ-

112 cf. Liber Virginalis (ed. V. Grumel, EO 30 [1931] 131–132); cf. Anna Comnena Alexiad 13,2

89 *ἐλλάμψεων* u *ἐλλάψεων* V **92** *ἐντύπωτον* Bi. *εὐτύπ-* V **99** *ἐξαιροῦντες* Bi. *ἐξαίροντες* V **111** *θεότητος* V *θεοσημίας* ci. Bi.

σιοῦσιν ἐκκρέματαί τε ἅμα καὶ ἐνήρμοσται ἀκριβῶς, τὴν ἰδέαν ἀμίμητος, τὴν χάριν ἀσύγκριτος, τὴν δύναμιν ἀπαρά-
115 *μιλλος· καταπέτασμα δὲ αὐτῆς ἐξ ὑφαντικῆς τέχνης ᾐώρηται, ὃ δὴ ὁρμαθὸς εἰκόνων περιλαμβάνει τὴν ὕλην πολυτελῶν· καὶ ἔστιν ἕτερον τὸ κατ' ἐκείνην μέρος θυσιαστήριον, καὶ ἐπιθειάζεται αὐτῇ ὅσα τοῖς τελοῦσι καὶ τελουμένοις νενόμισται· ὕμνοι παντοδαποί, εὐχαὶ ἱλαστήριοι, θύματα*
120 *ἱεροπρεπῆ. ἐξαίρετον δὲ ταύτῃ τῆς ἑβδομάδος τῶν ἡμερῶν τὸ κατὰ τὴν ἕκτην ἡμέραν τελούμενον μετὰ τὴν τοῦ ἡλίου κατάδυσιν. ἐξίασι δὲ τηνικαῦτα τοῦ νεὼ ξύμπαντες, οὐχ ὅσον ἐν δήμοις καὶ πλήθεσιν, ἀλλὰ καὶ εἴ τινες θύται καὶ τελεσταί, καὶ τούτων οὐχ ὅσοι τὸ ἅγιον κοσμικὸν περιθέ-*
125 *ουσιν, ἀλλὰ καὶ ὅστις ἐντὸς γένοιτο τοῦ καταπετάσματος καὶ τὴν ἀπόρρητον ἱερουργοῖ τελετήν. εἶτα τί; ξυναρμόζεται τοῦ τεμένους ξύμπαντα τὰ προπύλαια, τὸ δὲ πλῆθος ἑστήκασιν ἐν τοῖς προτεμενίσμασι τοῦ νεὼ τῶν προθύρων ἐγγύς· τελεσθέντων δὲ ὁπόσα τοῖς ἱεροτελεσταῖς νομίζεται,*
130 *νόμος εὐθὺς ἀνεώγνυσθαι τὰ ἀνάκτορα. καὶ τὰ μὲν ἀνέῳκται, καὶ εἴσοδος τοῖς ἐφεστηκόσι πρὸ τοῦ ναοῦ δέδοται,· καὶ οἱ μὲν εἰσίασι φόβῳ καὶ χαρᾷ συμμιγεῖς, ὁ δὲ περὶ τὴν εἰκόνα πέπλος ἀθρόον μετεωρίζεται ὥσπερ τινὸς αὐτὸν ὑποκινήσαντος πνεύματος, καὶ ἔστι τὸ πρᾶγμα τοῖς μὲν μὴ*
135 *ἰδοῦσιν ἄπιστον, τοῖς δὲ ἰδοῦσι παράδοξον καὶ τοῦ θείου πνεύματος ἄντικρυς κάθοδος. συνεξαλλάσσεται δὲ τῷ τελουμένῳ καὶ ἡ μορφὴ τῆς θεόπαιδος, οἶμαι, δεχομένη τὴν*

124 cf. Heb. 9,1 **135–136** cf. Acta 2,2–4

116 *περιλαμβάνει* Bi. et Pa. *παραλαμβάνει* V **117** ⟨*τὸ*⟩ pro *ἕτερον* ci. Bi. **120** *ἐξαίρετον* u *ἐξαίροντον* V **124–125** *περιθέουσιν* Bi. *παραθέουσιν* V **126** *τί* V *τοι* Pa. **136** *συνεξαλλάσσεται* Bez. *-λάσεται* V

ἔμψυχον ἐπιδημίαν αὐτῆς καὶ τὸ ἀφανὲς τῷ φαινομένῳ ἐπισημαίνουσα. τῷ μὲν οὖν υἱῷ αὐτῆς καὶ θεῷ ἐπὶ τοῦ σταυροῦ ἀπῃωρημένῳ ῥήγνυται τὸ τοῦ ναοῦ καταπέτασμα, 140 *ἵν' ἢ τὴν ἐγκεκρυμμένην τοῖς τύποις ἐμφήνῃ ἀλήθειαν, ἢ ἔνδον τῶν ἀδύτων τοὺς πιστεύσαντας προσκαλέσηται καὶ ἀνέλῃ τὸ διατείχισμα τῆς πρὸς θεὸν ἡμῶν οἰκειώσεως· τῇ δέ γε θεομήτορι ὁ ἱερὸς πέπλος ἀπορρήτως ἐξαίρεται, ἵν' ἔνδον ἑαυτῆς τὸ εἰσιὸν πλῆθος κατακολπίσηται ὥσπερ ἐν* 145 *καινῷ τινι ἀδύτῳ καὶ ἀσύλῳ καταφυγῇ.*

Ὁ μὲν οὖν καιρὸς τούτου τοῦ θαύματος ὥρισται, ὥσπερ μοι εἴρηται· ἐπέχεται δὲ ἔστιν οὗ τὸ δρώμενον καὶ ἔστιν αὐτῇ τοῦτο ὥσπερ ἡλίου τις ἐπισκότισις, ὅταν αὐτὸς ἑνὸς ἐγγὺς τῶν ἐκλειπτικῶν συνδέσμων ἔχῃ τὴν ἐποχὴν καὶ τὸ 150 *τῆς σελήνης αὐτὸν ὑποδράμῃ σῶμα καὶ τὰς πεμπομένας ἐκεῖθεν πρὸς ἡμᾶς ἐπίσχῃ μαρμαρυγάς. ἀλλὰ τῆς μὲν τοιαύτης, οὕτως εἰπεῖν, ἐκλείψεως ἔγνωσται ἡ αἰτία τοῖς ἀστρονομικωτέροις τὴν ἕξιν, καὶ ἔχοι τις ἂν εἰπεῖν τοῦτο τοῦ σχήματος ἀπολογισμόν· τοῦ δὲ κατὰ τὴν θεοτόκον* 155 *θαύματος ἐπιλείψαντος οὐδεὶς ἄν τις εἰπεῖν αἰτίαν τολμήσοι· ἐμοὶ δὲ ᾠκονόμηται τὸ θαυμαζόμενον ἐπεχόμενον, ἵνα μή τις εἰς φυσικὰς αἰτίας ἐμπέσοι τοῦ πραττομένου, καὶ ἔστι τὸ ἐκλεῖπον τοῦ τεραστίου πίστις μᾶλλον ἀκριβεστέρα τοῦ παραδόξου καὶ ὑπερφυοῦς πράγματος. ἔχει μὲν οὕτω* 160 *τὸ θαῦμα, καὶ ἔστιν ὡς ἡμέρα καὶ νὺξ ἐκ διαδοχῆς γινόμενα καὶ ἀπογινόμενα καὶ ὁ τρόπος, ὡς ὁ λόγος εἰρήκει.*

140 cf. Matt. 27,51 = Mar. 15,38 = Luc. 23,45 **141–142** cf. Heb. 6,19 **149–152** cf. Psell. de omn. doct. 128 (Westerink)

154 *τοῦτο* V *τούτου* Bi.

Ἐντεῦθεν δέ τι ἐγεγόνει παραδοξότερον, τὴν μὲν ἀρχὴν
165 ἐκεῖθεν εἰληφός, τῇ δὲ ἀκαιρίᾳ εὐκαιρότερον παραδεῖξαν
τὸ θαυμαζόμενον. τί δή ποτε τοῦτο; περισπούδαστον ἀν-
θρώποις, καὶ μάλιστα τοῖς ἐν ἀγροῖς καὶ χωρίοις, εἴ τις ἐν
αὐτοῖς ὕδωρ τε ἀφθονώτατον ἔχοι καταρρέον καὶ μῦλον
ἀλεῖσθαι ὑπὸ τούτου δυνάμενον, ἵν' ἐκ τοῦ ῥᾴστου ἀληλεσ-
170 μένος ὁ σῖτος τούτῳ καὶ εὐπόριστος γένηται. καὶ πολλοί
γε τῶν ἀγρογειτόνων περὶ ἀμφοῖν ἠμφισβήτησαν καὶ
ὁμόσε ἀλλήλοις ἐχώρησαν, καὶ πλήρη τὰ δικαστήρια τῆς
περὶ τούτων ἀμφισβητήσεως. τῆς δέ γε τοιαύτης χρήσεως
καὶ δύο τινὰ μέρη οὐ πρὸ πολλοῦ τοῦ καιροῦ ἑαλώκεσαν,
175 ὅ τε σπαθάριος Λέων καὶ στρατηγός, ᾧ Μάνδαλος ἡ
προσηγορία, καὶ τὸ μέρος τῆς τοῦ Καλλίου μονῆς· ὁ δέ γε
μῦλος ἐμπέπηκται μὲν κατὰ τὸ Θρακῷον μέρος, ἀφθόνῳ
δὲ κεκίνηται ὕδατι, καὶ ἅτερος τοῖν μεροῖν ἑαυτὸν δε-
σπότην τοῦ ἑτερορρεποῦς ἀναντίρρητον ἐπεγράφετο.
180 πολλάκις μὲν οὖν αὐτοῖς τὰ τῆς δίκης ἐστασιάσθη, καὶ
ἀνὰ μέρος ἑκάτερον μέρος ἐκράτουν τε καὶ ἡττῶντο, τὰ
μὲν κρείττους ἢ χείρους γινόμενοι οἷς ἐδείκνυσαν δικαιώ-
μασι, τὰ δὲ πιθανώτερον τῶν οἰκείων δικαίων ἀντιποιού-
μενοι, τὰ δ' ἴσθι καὶ χειρὶ ἧττον ἢ πλέον διδόναι δυνα-
185 μένῃ παρ' ἑκάστους τῶν καιρῶν καὶ τῶν δικαστῶν τὴν
δεσποτείαν καὶ τὴν χρῆσιν ἀμείβοντες.

Ἀλλὰ μετὰ πολλοὺς ἑτέρους δικαστὰς καὶ εἰς τὸν δισύ-
πατον Γαβριὴλ τὸν Τζιρίθωνα, τὰς κρίσεις τότε πιστευ-

176 cf. Anna Comnena Alexiad 3,4,4; cf. Theodor. Skutariotes (Sathas VII 182,17–20) **188** hanc familiam descripsit V. Laurent (EO 30 [1931] 474 adn. 1)

165 *εἰληφός* Bi. et Si. *εἰληφώς* V **171** *περὶ* Bi. et Si. *παρὰ* V

θέντα τοῦ Θρᾳκικοῦ θέματος, ἡ δίκη καθῆκεν. ἃ μὲν οὖν διαγνοίη δικάζων δικαστής, ἐκεῖνός τε ἂν εἰδείη μᾶλλον 190 *καὶ οἱ τῷ γεγονότι παρ' αὐτοῦ προσομιλήσαντες δικαιώματι. τὸ γοῦν συμπερανθέν, ἐξ ἡμισείας ὁ στρατηγὸς στερεῖται τοῦ πράγματος· τοιοῦτον γὰρ ἡ νομή, ἐπίσης ἀφεστηκυῖα δεσποτείας καὶ παντελοῦς ἀφαιρέσεως· καὶ ἐγεγόνεισαν ἄμφω τὰ μέρη ἡμιδέσποτα, ὡς ἄν τις εἴποι, τοῦ* 195 *ἀμφιβόλου, ἀμφίβολοι αὐτοὶ τὴν κυριότητα, ὁ μὲν στρατηγὸς ἐφ' οἷς οὐκ εἶχεν ἀλλ' ἤλπιζεν ἕξειν, τὸ δὲ τοῦ Καλλίου μέρος ἐφ' οἷς τε εἶχε καὶ ἐφ' οἷς στερήσεσθαι ᾤετο· οὐ γὰρ ἂν ἀποσιωπήσειν τὸν στρατηγόν, παντάπασιν ἠδικημένον, ὥσπερ ἐνόμιζε, καὶ τὸ οἰκεῖον ἀφῃρημένον, ἡμι-* 200 *τελοῦς τῇ μονῇ γενομένης τῆς ἐπὶ τῷ ἀμφιβόλῳ, φημί, δικαιώσεως.*

Ἔνθεν τοι οὐδ' ἠρέμησεν, ἀλλ' ἐπὶ τὰς προτέρας, ὅ φασιν, ἐπανῆλθε λαβάς, καὶ κατασείει τοῖς μοναχοῖς τὸ ὑπόμνημα τοῦ δικάσαντος ὡς ἡμιδεὲς καὶ πρὸς τὴν καταδίκην 205 *οὐ πάνυ πληρέστατον. πολλοὶ μὲν οὖν παρ' ἀμφοτέρων λόγοι καὶ ἐπὶ πολλοῖς καιροῖς ἀντεβλήθησαν, καὶ ἦν αὐτοῖς τὰ τῆς δίκης τέως ἐν ῥήμασι, δικαστήριον δὲ οὔπω μετὰ τὴν νομὴν τοῖς στασιάζουσι συγκεκρότητο. συνηλθέτην δέ ποτε ἄμφω τὼ μέρη ἐπὶ παραδόξῳ συνθήματι, καὶ* 210 *συγκροτοῦσιν ἑαυτοῖς αἱρετὸν δικαστήριον, ἐκ νόμων μὲν πολιτικῶν δεξάμενον τὴν ἀρχήν, οὐ πολιτικῶς δὲ τούτοις συμπεραινόμενον. οὐ γὰρ καθίζουσιν ἑαυτοῖς ἐν ᾧ συνετάξαντο δικαστηρίῳ τῶν τινα δικαστῶν, τὸν μέσον ἢ τὸν ἐξαίρετον ἢ τὸν ὁπωσδήποτε ἔχοντα, ἐπεὶ καὶ τοῦτο νόμος* 215 *καὶ μὴ δικαστῇ πιστεύειν τὰς ψήφους εἰ αἱρετὸς γένοιτο, ἀλλὰ τὴν θεομήτορα ποιοῦνται διαιρέτιν τῆς ὑποθέσεως. τίνα τρόπον; οὔτε αὐτοὶ πρὸς οὐρανὸν ἀνιπτάμενοι, ἐπεὶ*

215 *τοῦτο* V *τούτῳ* Bi.

μηδὲ δυνατόν, οὔτ' ἐκείνην ἐνταῦθα καταγαγόντες, ἐπεὶ
220 *καὶ τοῦτο τῶν ἀδυνάτων, ἀλλὰ τῇ κρίσει τοῦ περὶ τὴν*
εἰκόνα θαύματος τὸ πᾶν ἀναθέμενοι. τολμῶσι δέ τι καὶ
παρὰ τὸν καιρὸν τῆς θεοσημίας, καὶ τὸ δρώμενον ἐπιμε-
ρίζονται (οὐκ οἶδα εἴτε δικαίως εἴτε ἐπιβόλως τοῖς μονα-
χοῖς), ἐπιμερίζονται δ' οὖν οὕτως· στῆναι ἅμα ἡμέρᾳ κατέ-
225 *ναντι τῇ τῆς θεοτόκου εἰκόνι ἐν χερσὶν ἔχοντες ἕκαστον*
μέρος οἷς ἐθάρρουν καὶ ἐπίσχυον δικαιώμασι καὶ περὶ
ταῦτα διεκύμαινον ἀλλήλους καὶ παρ' ἀλλήλων διεκυ-
μαίνοντο, καὶ τοῦτο μὲν δὴ ποιῆσαι καινὸν δικαστήριον
καὶ θεόκριτον, εἶτ' ἐπικαλέσασθαι τὴν ἐν τῇ εἰκόνι παρ-
230 *θένον καὶ θρηνῶδες ἀναβοήσασθαι δικάσαι αὐτοῖς τὴν δί-*
κην καὶ τῷ πέπλῳ τεμεῖν καί, εἰ μὲν ἀκίνητον τοῦτο μεί-
ναι, τὸ κράτος τῆς ὑποθέσεως ἔχειν τοὺς μοναχούς, εἰ δὲ
κινηθείη, τὸν στρατηγὸν τὰ νικητήρια λήψεσθαι καὶ στέ-
φανον ἄλλον ἀναδήσασθαι κατὰ τῶν ἀντιθέτων τροπαίου
235 *στρατηγικοῦ κρείττονα. ὡμολογήθη τὰ δόξαντα, καὶ ἔγ-*
γραφα ἰσότυπα ἐπὶ τοῖς ἀρέσασι γέγονεν ἅπερ εἴωθεν ἐπὶ
τοῖς αἱρετοῖς γίνεσθαι δικασταῖς.

Ἐπεὶ δὲ πάντα συνετελέσθη, ἡ πρὸς τὸν νεὼν εἴσοδος,
ἡ ἐπὶ τῇ εἰκόνι παράστασις, ἡ προσευχή, τὰ δάκρυα, καὶ
240 *ὅσα νομίζουσιν ἐπὶ τοῖς τοιούτοις ἄνθρωποι, ἔστησάν τε*
πεφοβημένοι τὰ μέρη καὶ τὴν κρίσιν ἀπὸ τῆς ἀκινησίας ἢ
τῆς κινήσεως τοῦ πέπλου νομίζοντες.

Ὁ μὲν χρόνος παρέρρει τῆς προσδοκωμένης ψήφου, ὁ
δὲ πέπλος τέως ἀκίνητος· ἐδόκει δὲ καὶ τοῦτο κρίσις τις
245 *καὶ τομή· καὶ ἐκομψεύοντο τὴν νίκην οἱ μοναχοὶ καὶ ὁ*
στρατηγὸς αὐτόθι κατάκριτος ὥσπερ ἐπὶ στρατιωτικαῖς αἰ-

219 *καταγαγοντες* u *καταταγ-* V 223 *ἐπηβόλως* Fr. *ἐπιβόλως* V *ἐπιβούλως* u 226 *περὶ* Bi. *παρὰ* V 231–232 *μείναι* Fr. *μείνοι* V *μένοι* Bi.

τίαις τὴν μέλαιναν ψῆφον λαβών· καὶ θάτερον μὲν ἐπεκρότουν μέρος καὶ ἐκροτάλιζον, ὡς ἂν εἴπῃ τις, τὼ χεῖρε καὶ ἀνεκάγχαζον, ὁ δὲ στρατηγὸς σκυθρωπὸς εἱστήκει καὶ κατηφὴς ὑπὸ θειοτέρας κρίσεως τὴν καταδίκην λαβών· ἔνθεν καὶ ὑπεξίστατο τοῖς μοναχοῖς τοῦ πάλαι ἀμφισβητησίμου πράγματος, καὶ τῶν ἰδίων αὐτοῖς παρεχώρει δικαιωμάτων, ταῖς χερσὶν ἐκείνων ταῦτα κατατιθέμενος. 250

Τί δὲ σὺ ἐπὶ τούτοις, ἡ παρὰ τοῦ Γαβριὴλ κομισαμένη τὰ εὐαγγέλια, ἡ τὸν λόγον ὑπὲρ λόγον ἐγκυμονήσασα, ἡ τῷ θεῷ παρ' ἑαυτῆς τὴν σάρκα δανείσασα; ἆρ' ἠγνόησας (ἀλλὰ μὴ βλασφημίας ἁλοίην) τὴν ἀκριβεστέραν διάγνωσιν, ἢ οὐκ ἠγνόησας μέν, τὴν δὲ γνῶσιν ὑπερέθου ἐνδείξασθαι, ἢ οὐχ ὑπερέθου μέν, ἑτέρῳ δὲ τρόπῳ ἢ τῷ εἰωθότι, ἀλλ' ἀμφιβόλῳ, ἀλλ' ἀσαφεῖ, ἀλλ' οἷον ἐν παρoράματι; οὐμενοῦν οὐδέτερον τούτων, ἀλλ' ὡς ὁ στρατηγὸς διηρίθμει τὰ οἰκεῖα τοῖς μοναχοῖς ἔγγραφα, ὥσπερ κεχρεωστημένα ἀποδιδούς, αἴρεις εὐθὺς τῆς σῆς εἰκόνος τὸ ἔνδυμα καὶ κουφίζεις ὑψοῦ τοῖς ἀρτήμασι καὶ ἐν μέσῳ ἀέρι ἐπαναπαύεις, ἵν' ἡ τομὴ διάδηλος ᾖ. ἀλλοίωσις ἐντεῦθεν τῶν παθημάτων, καὶ οἱ μὲν γελῶντες εὐθὺς ἐσκυθρώπασαν, ὁ δὲ σκυθρωπὸς ἄνετος εὐθὺς καὶ ἐλεύθερος καὶ πλήρης εὐθυμίας καὶ ἡδονῆς· εἰ δέ τι καὶ ἀπαναισχυντεῖν ἔδοξαν τὸ μοναδικὸν μέρος καὶ ὅτι βραδύτερον ἡ ψῆφος ἐγεγόνει πρὸς τὸν χρόνον ἀπηναιδεύσαντο, ἀλλ' ἐγνώκεισαν ὕστερον τὴν ἑαυτῶν ἧτταν καὶ τῷ στρατηγῷ τῆς νίκης ἐξέστησαν. 255 260 265 270

Ἔνιοι γὰρ τῶν ἀντιθέτων, ὅτι μὴ ταχὺ ὁ πέπλος κεκίνηται μηδὲ τὸ τῆς θεοφορίας σύμβολον ἅμα τῇ εὐχῇ ἐγεγό-

247 cf. Sud. s.v. *ψῆφος*; cf. Psell. ep. 204 (Sathas V 498,13)
254 cf. Luc. 1,26ff.

νει, ἀλλ' ὁπηνίκα τοῦ ἀμφιβόλου ἔγγραφα δίκαια ὁ στρα-
275 *τηγὸς ἀπεδίδου, ὑπὲρ ἑαυτῶν τὸ σημεῖον εἰλήφασι, καὶ τὴν*
κίνησιν πῆξιν καὶ στάσιν τῆς δικαιώσεως ἑαυτοῖς ἐνόμισαν.
τοῦτο δὲ ἔλαττον ἢ δεῖσθαι ἀντιλογίας· οὐ γὰρ ἐπὶ τῷ αὐ-
τίκα ἢ μετὰ χρόνον τὴν τοῦ πέπλου γεγενῆσθαι κίνησιν
συνέθεντο οἱ ἀντικρινόμενοι, ἀλλὰ τῶν ἀντιδίκων μερῶν ὁ
280 *μὲν στρατηγὸς τὴν κίνησιν ἑαυτῷ ἀπεκλήρωσε, τὸ δὲ ἀτρε-*
μεῖν τὸν πέπλον οἱ μοναχοὶ ἀπέδοσαν ἑαυτοῖς. εἰ μὲν οὖν
ἠρεμοῦν ἦν μέχρι παντός, καὶ ἀπεληλύθασιν ἀπ' ἀλλήλων
οἱ μαχόμενοι καὶ τοῦ ναοῦ ἐξῄεσαν φθάσαντες, καὶ χρόνος
παρεληλύθει αὖθις μακρός, εἶθ' οὕτως ἐγεγόνει τὸ σύμ-
285 *βολον αὐθημερὸν ἢ ἐς νέωτα, οὐδ' οὕτως ἄμαχον ἦν αὐτ-*
οῖς τὸ κρατεῖν. ἐξῆν γὰρ τῇ δικαζούσῃ παρθένῳ τὸν
καιρὸν ἑαυτῇ ὁρίζειν τῆς ἀποφάσεως, ἐπεὶ μηδὲ πολιτικὸς
δικαστὴς εὐθὺς γινώσκοι καὶ ἀποφαίνοιτο, ἀλλ' ἀναβάλλε-
ται τὴν ψῆφον ἐς ὁπόσον τοῦ καιροῦ μετὰ τὴν διάγνωσιν
290 *βούλοιτο. ἐπεὶ δὲ ἐς βραχύν τινα καιρὸν ἡ ὑπέρθεσις τῆς*
κινήσεως ὥριστο καὶ ἐπὶ τοῦ ἱεροῦ ἐδάφους ἔτι ἑστήκεσαν
αὐτοί τε οἱ ἀμφισβητοῦντες ἀλλήλοις καὶ οἱ παρατυχόντες
τῷ πράγματι, καὶ ἅμα τῇ ἀναδόσει τῶν δικαιωμάτων ἡ
θεία ψῆφος ἐγεγόνει καὶ ἡ κρίνασα παρθένος τὴν ἀπόφα-
295 *σιν καινότερον τρόπον ἐξήνεγκε, τίς ὁ λόγος τῆς ἀντιθέ-*
σεως; οὐ γὰρ αὐτοὶ ταμίαι τοῦ συμβολικοῦ χρόνου, ἀλλ' ἡ
παρθένος ᾔδει τὸν καιρὸν τῆς κινήσεως.

Ναί, φασίν, ἀλλὰ μετὰ τὴν ἀνάδοσιν τῶν δικαιωμάτων
ἡ κίνησις, ἐπιμαρτυρουμένη ὥσπερ τῷ δικαίῳ τῆς ἀναδό-
300 *σεως. ἀλλὰ τὸ μὲν κεκινῆσθαι, φαίη τις καὶ ὁ τυχὼν πρὸς*
αὐτούς, τῷ στρατηγῷ ἐκεκλήρωτο, ὑμῖν δὲ τὸ ἠρεμεῖν. εἰ
μὲν οὖν ἠρέμησε μέχρι παντός, μεθ' ὑμῶν τὸ νικᾶν· εἰ δὲ

281 *τὸν* Bi. *τὸ* V **288** *δικαστὴς* u *διακαστὴς* V

κεκίνηται, τῇ μερίδι τοῦ στρατηγοῦ τοῦτο τέτακται καί, ὥσπερ ὑμεῖς ἐκρατήσατε ἂν εἰ μὴ κίνησις ἐγεγόνει, οὕτως ἐκεῖνος νενίκηκεν ὅτι γέγονεν. ἐγὼ δὲ τὴν τοῦ πέπλου κί- 305
νησιν οὐδὲ ἁπλῶς ἀπόφασιν λέγω, ἀλλ' ἄντικρυς ἀγανάκτησιν. τότε γὰρ τὸ ἔνδυμα σέσεισται ὅτε ὑμεῖς λήψεσθαι τὰ δικαιώματα τετολμήκατε· ἐφ' οἷς οὖν τέλεον ἀπηναισχυντήκατε ἡ παρθένος κεκίνηται, καὶ τὸ σύμβολον τῆς κινήσεως ὁμοῦ τε ψῆφός ἐστι δικαιοῦσα τὸν στρατηγὸν 310
καὶ ὀργῆς σύνθημα ἐπὶ τοὺς ἤδη τοσοῦτον ἀναισχυντήσαντας. οὕτω καὶ θεὸς δικάζειν εἴωθε καὶ τὰς κατακρίσεις ἐπάγειν, οὐχ ὅτε τις παρανομεῖν βούλοιτο, ἀλλ' ὅτε δρῴη ἢ δράσοι τὸ παρανόμημα· ὃν οὖν ἐπὶ τῇ φιλανθρωπίᾳ ἡ μήτηρ μεμίμηται, τούτῳ ἐπὶ τῇ τιμωρίᾳ ἀκριβῶς ἐξεικόνι- 315
σται· καὶ οὐ βίαιος ἡ ἀντίθεσις ὅλως, ἀλλὰ λόγος ἐστὶν ὁμαλός τε καὶ ἀληθέστατος· οὕτως εἰ μή τις τὴν θαυμασίαν δέχοιτο ψῆφον καὶ φρίττοι τὸ γεγονός, ἀλλὰ τὸ θαῦμα περιεργάζοιτο, πλήττοιτο μᾶλλον ταῖς ἀντιθέσεσιν· ὥσπερ εἴ τις πρὸς ἥλιον ἀντωπεῖν τολμῴη ἀσθενῶς ἔχων 320
τῶν ὄψεων περὶ μεσημβρίαν ἑστῶτα, ὥρας οὔσης θερείας, οὔθ' ὁρῴη τοῦτον καὶ στερηθείη ἂν ἴσως τῆς ὁρατικῆς αἰσθήσεως καὶ δυνάμεως.

Τοῦτο τοῖς μὲν ἄλλοις θαύμασιν οὐδ' ἔχοι τινὰ σύγκρισιν, τοῦ δὲ συνήθους ἔμοιγε δοκεῖ ἐκπληκτικώτερον καὶ 325
θαυμασιώτερον· ἐκεῖνο μὲν γὰρ εἰωθός ἐστι, καὶ ὁ καιρὸς τὴν ἀπόδειξιν ἔχει, καὶ οἷον τακτή τίς ἐστι περίοδος ὥσπερ ἡλίου ἀνατολῇ· τοῦτο δὲ τεράστιόν τι δοκεῖ καὶ πρᾶγμα πρώτως νῦν καινοτομηθὲν καὶ νέα πνεύματος ἔμφασις καὶ ἀρτιφανὴς ἐπιδημία τῆς θεομήτορος. οὔπω γὰρ 330
ἐγεγόνει τὸν παρεληλυθότα ὅλον καιρὸν οὕτως οὐδ' ἐπὶ

316 *οὐ* (ex *οὐ*) u *ὁ* V

τοιούτοις συνθήμασιν οὐδ' ἐπὶ τοιαύταις αἱρέσεσιν, ἀλλ' ὥσπερ εἰ καὶ παράδοξον αἱ τοῦ ἡλίου ἀναφοραί, τῷ μέντοιγε συνήθει θεάματι οὐ πάνυ τι θαῦμα ταῖς τῶν ὁρώντων καρδίαις ἐνσείουσιν, ἐκπληττόμεθα δὲ ἀκούοντες ὁπηνίκα, τοῦ Ἰησοῦ τοῦ Ναυῆ τὴν δημαγωγίαν τοῦ Ἰσραὴλ παρὰ θεοῦ δεξαμένου, ὁ μὲν ἥλιος ἔστη κατὰ Γαβαὼ καὶ ἡ σελήνη κατὰ φάραγγα, καὶ τούτου ἔτι μᾶλλον θαυμασιώτερον τὸ περὶ τὸν τοῦ κυρίου σταυρὸν γεγονὸς ἡγούμεθα, ὅταν μεσημβρία μὲν ἐστήκοι καὶ ὁ ἥλιος αὐτὸ τὸ κέντρον ἐπεῖχε τοῦ μεσουρανήματος, τεσσαρεσκαιδεκαταία ⟨δὲ⟩ ἡ σελήνη καὶ ὑπόγειος ἦν, ἔπειτα τοὺς ἑαυτῆς ἀναλύσασα δρόμους ὑπέργειός τε ἐγεγόνει, καὶ ὑποδῦσα τὸν ἥλιον ἀπημαύρωσεν (ἐῶ λέγειν καὶ τὸ περὶ τὸν Ἐζεκίαν τεράστιον, ἀναποδίσαντος τοῦ ἡλίου, ἵν' ἐκεῖνος τὴν τῶν ἐτῶν προσθήκην βεβαιωθῇ), οὕτω δὴ κἀνταῦθα τοῦ πολλάκις γινομένου καὶ ὡρισμένου τὸ ἅπαξ καὶ παρὰ τὸν καιρὸν εἰς ἔκπληξιν ἑτοιμότερον. τίς δ' ἂν εἰδείη εἰ καὶ μελλουσῶν καινοτομιῶν τοῦτο παράδειγμα, καὶ σταίη τὰ ἀνθρωπικὰ δικαστήρια ἐπ' ἀμφιβόλοις βάλλοντα πράγμασι καὶ πολλάκις ἀποτυγχάνοντα τοῦ σκοποῦ, καὶ διαιροῖτο ἡ παρθένος τὰ συμπεπλεγμένα ζητήματα, τὰς γνώσεις καὶ τὰς ἀποφάσεις ὁμοῦ σχεδιάζουσα; οὕτω γὰρ ἂν ὁ βίος ἡμῖν ἀστασίαστος εἴη, καὶ ἥκιστα ἄν τις ἐπιβάλοι τοῖς ἀδικήμασιν, αὐτίκα τοῖς θείοις συμβόλοις ἐλεγχθησόμενος.

Τὰ μὲν οὖν Ἑλλήνων χρηστήρια, ὅσα τε ἐν Δωδώνῃ καὶ

336–337 cf. Ios. 1,1–2 **337–338** cf. Ios. 10,12–13 **339–341** cf. Luc. 23,44 **344–345** cf. Is. 38,8 **345–346** cf. Is. 38,5

340 *μεσημβρία* Bi. *-βρίαν* V **342** ⟨*δὲ*⟩ Bi.

ὅσα Πυθοῖ καὶ ὅσα ἑτέρως εὐδόκιμα, ὁπόσα τε Ἀμφιάρεως καὶ Ἀμφίλοχος ἐν ἀδύτῳ γῆς χρηστηριάζοιεν, αἰνιγματώδη καὶ λοξικὰ καὶ ἀμφίβολα, καὶ τό τε ξύλινον τεῖχος ἀμφήριστον καὶ ἡ μεγάλη ἀρχὴ ἣν Κροῖσος καταλύσειε τὸν 360 *Ἅλυν ποταμὸν διαβάς, ἀμφιλογώτατον ὄνομα καὶ διττὰς ὑπονοίας δεχόμενον, καὶ ὅσα δὲ Βάκις ἢ Σίβυλλα προειρήκεσαν οὐ κατὰ τοῦ προκειμένου σκοποῦ ἀπετόξευσαν, ἀλλὰ κατὰ τοὺς ἐνδόξους τῶν συλλογισμῶν αὐτοῖς ἡ βολή, τὸ δὲ τῆς παρθένου, ἵν' οὕτως εἴπω, χρηστήριον οὔτε φω-* 365 *νὴν ἐπαμφοτέραν ἀφίησιν, ὥσπερ ἐπὶ τοῖς ἐσχηματισμένοις προβλήμασι ποιοῖεν οἱ σοφισταί, οὔτε μαχόμενόν ἐστιν ἑαυτῷ τοῖς αἰνίγμασιν, ἀλλ' ἐφ' ᾧ τις βούλοιτο συνθέμενος τὴν τοῦ πέπλου κίνησιν ἢ ἀκινησίαν, τὸ δ' εὐθὺς ἢ κινοῖτο ἢ μένοι ἐπ' ἀκινήτου σχήματος. καὶ τῷ μὲν Πλάτωνι αἱ* 370 *μανεῖσαι ἱέρειαι καὶ προφήτιδες δύνανται πλείω ἢ εἰ σωφρονεῖν ἕλοιντο, καὶ τοῦτο ἐν Γοργίου τῷ διαλόγῳ πολλαχοῦ ἐκείνῳ σπουδάζεται· ἐγὼ δὲ ἡμιμανὴς εἴην, εἰ μανίαν δεξαίμην σωφροσύνης ὑψηλοτέραν καὶ κρείττονα, αἰσχυνοίμην δ' ἂν καὶ τῇ θεοτόκῳ εἰ σωφροσύνην* 375 *προσμαρτυρήσαιμι, εἴ γε ἡ μέν ἐστι ψυχῆς κατάστασις καταρτυθέντων αὐτῇ τῶν παθῶν, ὥσπερ ἡ ἐγκράτειά ἐστι*

359 cf. Hdt. 7,141,4 **360–361** cf. Arist. rhet. 3,1407 a 37–39 **362–363** cf. Psell. orat. contra Cerul. (Kurtz/Drexl I 243,8–9) **370–372** cf. Plat. Phaedr. 244 A 10–B 3; cf. Psell. orat. contra Cerul. (Kurtz/Drexl I 240,9–12 **373–374** cf. Plat. Phaedr. 244 D 5–7 **375–377** cf. Arist. de virt. et vit. 1250 b 6ff. **377–379** cf. Arist. de virt. et vit. 1250 b 12ff.

357 *Ἀμφιάρε* s. l. ωV *Ἀμφιάρεως* ci. Bi. *Ἀμφιάρεω* u **361** *ἀμφιλογώτατον* s. l. *βολω* V *ἀμφιβολώτατον* u **364** *αὐτοῖς* ci. Bi. *αὐταῖς* V **377** *ἐστι* Bi. et Si. *ἔτι* V

τοῦ λογισμοῦ τὰς ἐπὶ τὸ χεῖρον κινήσεις τῆς ψυχῆς ἀνακρούοντος, ἡ δὲ παρθένος ὑπὲρ σωφροσύνην ξύμπασαν καὶ
380 *αὐτὰς τὰς ἀκρότητας ὑπερβεβηκυῖα τῶν ἀρετῶν. εἰ δέ τινα εἶεν καὶ θεοπρεπῆ χρηστήρια καὶ οὐράνια, ἔνθεν αἱ κρείττους τῶν δυνάμεων τὰς τῶν μελλόντων ἐκβάσεις προαγορεύουσι καὶ ἀφ' ὧν κἀνταῦθα συνθήματα τῶν ἐσομένων διασημαίνεται, τὸ κάλλιστον ἂν ἡ παρθένος ἔχοι*
385 *καὶ ἀληθέστατον, ἀφ' οὗ καὶ τὰ ἐπὶ γῆς αὐτῇ θυσιαστήρια πλήρη τῆς θειοτέρας ἐπιρροῆς καὶ ἐλλάμψεως.*

Ἕλλησι μὲν οὖν κενόσπουδος ἡ περὶ τὰ οἰκεῖα μαντεῖα καταφυγὴ καὶ ἡ τελεστικὴ τούτων παρασκευή, ἀγάλματά τινα πρὸς τὴν ἐκφώνησιν τῶν ἐρωτωμένων καταβακχεύ-
390 *ουσα· ἢ γὰρ ἡμιτελὴς ἡ τελετὴ κατ' αὐτοὺς ἐκείνους καὶ ἀτελὲς τὸ χρηστήριον, ἢ τὸ ἐφεστηκὸς πνεῦμα προσυλότερον ὂν πεπλάνηται περὶ τὸ μέλλον πραχθήσεσθαι, καὶ ἡ Ἑκατικὴ δὲ στρόφαλιγξ μετὰ τοῦ ταυρείου ἱμάντος καὶ τῆς ἰυγγικῆς ἐπικλήσεως ὀνόματα μόνα κενὰ καὶ ἀτέλεστα,*
395 *εἰ δέ τι καὶ τελοῖτο, ἀλλ' ἐκ χείρονος πνεύματος. εἰ δὲ ἐμφορεῖται τούτοις καὶ τὰ χαριέστερα τῶν ζῴων, οἷον περιστεραί τε καὶ φάτται, θείων ἐπιπνοιῶν, καί τι αὐτοῖς κάθηται ὄρνεον ἐν φωνῇ, σχήματι καὶ κινήματι τὸ μέλλον προσημαινόμενον, πῶς οὐχὶ τὴν πᾶσαν ἡμῖν ἀλήθειαν ἡ*

391–392 Psell. orat. de daemon. 22 (Bidez, Catalogue des ms. alchemiques grecs VI 130,12–15 **392–394** cf. Psell. dog. Chald. exp. p. 170–171 des Places (PG 122,1133 A 5–9); cf. Psell. ep. 187 (Sathas V 475,1) **397–398** cf. Psell. *περὶ ὠμοπλατοσκοπίας καὶ οἰωνοσκοπίας* (Philol. 8[1853] 167,13–15)

381 *ἔνθεν* Bi. *εὐθὺς* V **386** *ἐλλάμψεως* u *ἐλλάψεως* V **392** *περὶ* Bi. *παρὰ* V **395** *τι* u *τοι* V **398** *φωνῇ* Bi. *φωνῆς* V

θεοτόκος προαγορεύσειε, καὶ μάλιστα εἴ τις αὐτῆς ἀναρτή- 400
σειε τὰς ἐλπίδας καὶ τὴν τῆς πράξεως ἀναθείη τομήν,
ὥσπερ ἐπὶ τῆς ῥηθείσης πέπρακται ὑποθέσεως; τὸ μὲν οὖν
τοῦ Σωκράτους ἐρρέτω δαιμόνιον, ἀποτρέπον μὲν τὸν
κάτοχον, προτρέπον δὲ οὔ, ὅ τί ποτε τοῦτο εἴη, εἴτε ἠχώ
τις κατόπιν βάλλουσα, εἴτε εἴκασμά τι ὁρώμενον· εἴη δ' ἂν 405
κατὰ τὰς ἀρρήτους τῶν ἐξηγήσεων ὁ εἰληχὼς αὐτὸν δαί-
μων καὶ ὑπερκαθήμενος προσεχῶς, ὃν Πλάτων κυβερνήτην
ὀνομάζει τοῦ νοῦ· τὸ δὲ προτρεπτικὸν τῆς θεομήτορος
σύνθημα ἀπλανής ἐστι λόγος καὶ ἀληθὴς καὶ καινόν τινα
τρόπον γινόμενος. Χρυσανθίῳ δὲ καὶ Μαξίμῳ ἐπέπαιζεν ἐν 410
Ἑκάτης τὰ Ἑλληνικὰ ἀγάλματα ἢ βδελύγματα, καὶ σκυ-
θρωπὰ τὰ σημεῖα ἐδείκνυτο, μάτην δὲ καὶ τῶν φιλοσόφων
ὁ τολμηρότερος τὸν ὅρον μεταβιβάζειν τοῦ παντὸς ἐπεχεί-
ρει, ἵνα πρᾳοτέροις ἐμπελάσειε σχήμασι· παρ' ἡμῖν δὲ
ἀληθεύει τὰ τῆς θεομήτορος σύμβολα, καὶ οὐδεὶς αὐτὰ με- 415
τασχηματίζειν ἐπιβάλοι ἢ ἐπιβαλὼν δυνηθείη ποτέ.

Ἀλλ' αἰσχυνοίμην ἄν, εἰ τοῖς Ἑλληνικοῖς λήροις ἀντιπα-
ραβαλοίμην τὰ ἡμεδαπά τε καὶ κρείττονα. ἀλλ' ἆρά γε ἡ
τοῦ νόμου σκιὰ εἶχέ τινας ἐμφατικωτέρας ἐπισκιάσεις;
λόγιον γὰρ ἐκεῖσε κρίσεως καὶ λίθοι τινὲς δηλώσεις 420
ὀνομαζόμενοι καὶ ἀλήθεια, καὶ ἐπένδυμα ἐπιστήθιον ἐφοὺδ
προσαγορευόμενον κατὰ τὴν Ἑβραΐδα διάλεκτον ἔνθα

403–404 cf. Plat. apol. 31 D 2–4 **406–408** cf. Procl. in Alcib. 74,1–3 et Plat. Phaedr. 247 c 7–8 **410–412** cf. Eunap. vit. sophist. 475,11–12 (Boissonade) **412–414** cf. Eunap. vit. sophist. 476,49–477,7 (Boissonade) **418–419** cf. Heb. 10,1 **420–421** cf. Exod. 28,30

404 *προτρέπον* u *προτρέπων* V **410** *ἐπέπαιζεν* Fr. *ἔπαιζεν* V *ἐνέπαιζεν* Si. **415** *ἀληθεύει* Bi. *ἀληθεύοι* V *ἀληθεύει* s. l. *οι* u

ταῦτα τετύπωται, οὐ μὴν δὲ ἀλλὰ καὶ τὸ ἱλαστήριον ἔνδον τοῦ ἀδύτου ἐφηρμοσμένον τῇ κιβωτῷ τὰς θειοτέρας ἐδέ-
425 χετο τῶν ἐμφάσεων καὶ ἐλλάμψεων, ἀλλὰ καὶ ταῦτα ἧττω τῶν τῆς θεοτόκου ἐμφανειῶν καὶ ἐπισκιάσεων· ἐκεῖνα μὲν γὰρ ἀσαφῆ τὴν δήλωσιν ἔσχε καὶ τὸ χρῶμα μετεποικίλλετο καὶ τὸ φαινόμενον σύμβολον οὐ πάνυ τι κατάδηλον ἦν· ἐνταῦθα δὲ ἀμετακίνητον τὸ κινούμενον περὶ τὴν ἀλή-
430 θειαν, καὶ θεοπρεπὲς μὲν τὸ φαινόμενον, ὑπερφυὲς δὲ τὸ νοούμενον. καὶ μακρὸν ἂν εἴη καταλέγειν ὅσα τε ἐν τύποις καὶ ὅσα ἐν ταῖς παρ' ἡμῖν ἀληθείαις, καὶ μάλισθ' ὁπόσα ἡ θεομήτωρ σημαίνοιτο. οἱ μὲν οὖν περὶ Δαρεῖον τὸν Μῆδον ἵππου χρεμετισμῷ τὴν βασιλείαν ὡρίσαντο καὶ οἱ περὶ Ῥω-
435 μύλον μαντευτοῖς ὄρνισιν ἐν τῇ τῆς Ῥώμης κατασκευῇ, κἀκεῖ μὲν ὁ Δαρείου τοῦ Ὑστάσπου ἵππος χρεμετίζει ἱπποκόμου τέχνῃ τε καὶ σοφίσματι, Ῥωμύλῳ δὲ ἐξ ἀριστερῶν γῦπες κλαγγηδὸν ὑπερπέτανται, ὅθεν ὁ τοῦ ἄξονος πόλος μετεωρίζεται· ἐν δὲ τῷ ὑφηγημένῳ προβλήματι καὶ
440 ζητήματι οὐκ ὄρνεις πιστεύονται τὴν ἀλήθειαν οὐδὲ δύσερως ἵππος τὴν ἡγεμονίαν Περσῶν, ἀλλὰ τῇ τῆς θεομήτορος ψήφῳ τὸ ἀντίρροπον ἐν τοῖς παρ' ἑκατέρων λόγοις ἐπικρέματαί τε καὶ διαλύεται οὕτω λαμπρῶς ὡς μηδὲ καταψηφισθέντας ἀπαναισχυντεῖν ἔτι δύνασθαι.
445 Τοῖς μὲν οὖν δαίμοσι τὰ χρησμῳδούμενα ἐξ οὐρανίων σχημάτων εἶχε τὴν κίνησιν· οὕτω γὰρ οἱ παρὰ τῶν φύσεων

423–425 cf. Exod. 25,21–22 **433–434** cf. Hdt. 3,83,3 **434–438** cf. Dion. Halic. 1,86,3–4 **436–437** cf. Hdt. 3,86,1 et 85,1 **440–441** cf. Hdt. 3,85,3–86,1

434 *χρεμετισμῷ* Bi. et Si. *χρεμμετισμῶ* V **440** *ὄρνεις* Bi. *ὄρνις* V **440–441** *δύσερως* s. l. *ις* V **443** *ἐπικρέματαί* V *ἐπικρίνεταί* ci. Wk. ⟨*τοὺς*⟩ post *μηδὲ* Bi. **446** *σχημάτων* s. l. *σω* V *παρὰ* V *περὶ* Bi. et Si.

αὐτῶν ἐξηγητικοὶ ἐνίσταντό τε καὶ δυσχυρίζονται. γύναιον γάρ τι τῶν ἐπιτόκων ἠρωτήκει μὲν τὸν Ἀπόλλωνα ὅ τι τέκοι, ἄρρενα τόκον ἢ θῆλυ· ὁ δέ φησι τέξασθαι οὔ τι κοῦρον, ἀλλὰ κόρην, καὶ τὸ ἀστρῷον σχῆμα ἐπήνεγκε· 450

Φοίβη γὰρ εὔσκοπος ἤροσεν ἁγνήν
Κύπριν ἐπειγομένην θῆλυν γόνον·

ἀπὸ γὰρ τοῦ σπορίμου τὸ γενησόμενον ἐτεκμήρατο, ὅτι σελήνη ἐπ' Ἀφροδίτην ἐφέρετο. οὕτως αὖθις ὁ Πύθιος περί τινος τὴν περὶ τὸ πολεμεῖν προθυμίαν διερμηνεύων ὁπόθεν 455 *αὐτῷ γίνοιτο·*

Ἄρεα, φησί, κραιπνὸν ἔχει γενεθλήϊον ὅς μιν ὀρίνει.

Καὶ τὰ μὲν δαιμόνια οὕτω τε καὶ ἐκεῖθεν μαντεύεται καὶ τοῖς ἐρωτῶσι χρᾷ τὰ ἐσόμενα· ἡ δέ γε τοὺς οἴακας τῆς ἡμετέρας ζωῆς ἀναδεξαμένη παρθένος καὶ ἄνωθεν 460 *ἡμᾶς κυβερνῶσα, τοῦ μὲν παντὸς ὑπερκαθημένη, πρὸς δ' οὐδὲν τῶν ἁπάντων ἀναβλέπουσα, προαναφωνεῖ τὰ ἐσόμενα, θεῷ δὲ ἀμέσοις προσηρμοσμένη ἑνώσεσιν, ἐκεῖθεν ἕλκει τῶν λεγομένων καὶ τὴν ἀλήθειαν καὶ τὴν δύναμιν. καὶ ταῦτα καὶ ὁ ἡμεδαπὸς βασιλεὺς παρὰ τῶν ἱερῶν* 465 *βιβλίων ἀναλεγόμενος οἶδέ τε σαφῶς καὶ τοῖς οὐκ εἰδόσιν ἑρμηνεὺς καὶ ἐξηγητὴς τῶν ἀπορρητοτέρων καθίσταται. εἰ δέ τι καὶ παρ' ἡμῶν ἔχοι πρὸς τὴν ὀξεῖαν αὐτοῦ φύσιν ἐμπύρευμά τε καὶ ἐμπόρευμα, ἀλλὰ καὶ οὕτως ἐμοὶ ἂν αὐτὸς τὴν δύναμιν τοῦ λέγειν χαρίζοιτο ἢ ἐκείνῳ αὐτὸς τὴν τοῦ* 470

447–454 cf. Porph. de philos. ex orac. in Euseb. praep. evang. 6,1,2–3 **454–457** cf. Porph. de phil. ex orac. in Euseb. praep. evang. 6,2,1

447 *ἐξηγητικοὶ* s. l. *ταὶ* V *ἐξηγηταὶ* Si. **449** *θῆλυ* V *θῆλυν* Bi. *τι* V *τοι* u

νοεῖν ὑποθήκην· μᾶλλον γὰρ ὁ θεῖος οὗτος ἀνὴρ ἐξάπτοιτο τοῖς ἡμετέροις πυρσοῖς ἢ ἐγὼ δυναίμην τοῦτον ὑφάψασθαι. ἔνθεν τοι καὶ τοῦ γεγονότος θαύματος μόνον οὐκ αὐτόπτης γενόμενος καὶ πολλοὺς ἀνακινήσας περὶ τῶν
475 *θειοτέρων λογισμούς, ἐθαύμασέ τε τὸ τελεσθὲν καὶ τοῖς ἀγράφοις λόγοις ἐκόσμησεν· ἔπειτα δὴ κἀμοὶ τὴν τελεωτέραν ἐπεκδιήγησίν τε καὶ εὐφημίαν παρακελεύεται, ὥσπερ τινὶ Περικλεῖ τὴν κρείττονα δημηγορίαν προστεταχώς. ἀλλ' ὁ μέντοι πρότριτα τῆς ἀναγνώσεως τοῦ παρθενικοῦ λόγου*
480 *τὴν συνθήκην προτρέπεται, ἐγὼ δὲ αὐτίκα σχεδιάσας ἀπήγγειλα· εἰ δὲ ἐκεῖθέν μοι τὸ ἐπίπνουν ὅθεν δὴ καὶ τῷ παρθενικῷ πέπλῳ ἡ κίνησις, καὶ τοῦτο τῆς θεομήτορος, ἵνα δὴ θαύματι θαῦμα προσάπτοιτο, τῷ ἀπὸ τοῦ πέπλου τὸ παρὰ τοῦ λόγου.*

485 *Ὅτι μὲν οὖν τὸ ζήτημα τῆς πολιτικῆς ὕλης ἐστὶ περὶ ἣν νόμοι καὶ δικαστήρια, ὁ δὲ τρόπος τῆς λύσεως καὶ τῆς δικαιώσεως ἕτερος παρὰ τὰ κοινὰ νόμιμα, ὑπερφυὴς μέντοι γε καὶ ὑπεραναβεβηκὼς ταῦτα, εἰρήκειν εὐθὺς προοιμιαζόμενος. τὸ μὲν γὰρ ἀμφισβητεῖν περί τινος ὑποκειμένου*
490 *πολιτικῶς καὶ περὶ δεσποτείας ἢ χρήσεως τοὺς ἀμφιβάλλοντας διαμάχεσθαι τῆς κοινῆς τῶν δικαστηρίων διαίτης ἐστί, τὸ δ' ἀπὸ κρείττονος τομῆς τετμῆσθαι τὸ ζήτημα καὶ ἣν νόμος οὐκ ἐξεπίσταται, οὐ παρὰ νόμον μέν ὑπὲρ νόμον δέ· εἰ δέ τις βούλοιτο τὸν λόγον παραβιάζεσθαι,*
495 *ἔχει τοῦ πάντως καὶ νομικὴν εἰπεῖν τομήν. τὸ γὰρ περὶ δικαστικῶν καὶ δικαιοδοσίας αὐτῶν καὶ περὶ παρέδρων καὶ*

472 *τοῖς ἡμετέροις πυρσοῖς* V *τοὺς ἡμετέρους πυρσοὺς* Bi. **488** *ὑπεραναβεβηκὼς* u *ὑπανα-* V **495** ⟨*τὴν*⟩ pro *τομήν* ci. Bi. *τὸ* V *τὰ* Bez.

αἱρετῶν δικαστῶν νομικὰ ἐπιγράμματα, καὶ τὰ ἐπὶ τούτοις κεφάλαια τάδε, 'τὸ αἱρετὸν δικαστήριον ἔοικε προσφόρῳ δικαστηρίῳ καὶ ἀνήκει πρὸς τὸ περατοῦσθαι τὰς δίκας', καὶ αὖθις 'αἱρετὸς δικαστής ἐστιν ὁ δικαστοῦ τάξιν ἀνα- 500 *δεξάμενος', καὶ πάλιν 'εἴτε δικαία εἴτε ἄδικός ἐστιν ἡ τοῦ αἱρετοῦ ψῆφος, ἐμμένειν αὐτῇ δεῖ', καὶ τό γε θαυμασιώτερον ὅτι 'κἂν πλανηθῇ τις ἐν τῷ ψηφίζεσθαι δικάζων που πάντως ὡς αἱρετός, οὐ διορθοῦται· ψηφισάμενος γὰρ πέπαυται εἶναι δικαστής', καὶ τοιαῦθ' ἕτερα τῷ περὶ αἱρετῶν* 505 *δικαστῶν ἐπιγράμματι ὑποπίπτει κεφάλαια. καὶ ὅτι μὲν εἵλοντο οἱ ἀντίθετοι παρὰ τῇ θεοτόκῳ ὡς αἱρετῷ οἷον συνδικάσασθαι δικαστῇ, δηλοῖ τὰ παρ' ἑκατέρων ἰσότυπα ἔγγραφα, τὸ δέ γε διάφορον πρὸς τὸν νομιζόμενον τῷ νόμῳ αἱρετὸν δικαστήν, ὅτι ὁ μὲν νομικὸν ἄνδρα ἢ ἰδιώτην κα-* 510 *θίστησι κατὰ αἵρεσιν τοῖς κρινομένοις δικάσοντα, τῷ δέ γε στρατηγῷ καὶ τοῖς τῆς τοῦ Καλλίου μονῆς μοναχοῖς οὐκ εἰς τοιοῦτον ἡ ἀναφορὰ ἐγεγόνει, ἀλλ' εἰς μόνην τὴν θεομήτορα, κρίσιν δὲ οὐ τὴν ἐκ λογισμῶν καὶ νόμων συννενοήκασιν, οὐδὲ τὴν ἀπὸ γλώττης ψῆφον ἢ τὴν ἐν γράμμα-* 515 *σιν, ἀλλὰ τὴν οὕτως ἢ ἐκείνως ἕξουσαν, συμβολικὴν δὲ ἀκινησίαν ἢ κίνησιν τομὴν καὶ ἀπόφασιν τοῦ ζητήματος ἐλογίσαντο. καὶ ἔστιν ἀναμὶξ οἷον τὸ δικαστήριον, τὸ μὲν ἐκ πολιτικοῦ μέρους, τὸ δὲ ἀπὸ κρείττονος.*

Ἐγὼ δὲ οὕτω διαιτῴην τῷ πράγματι ὡς, εἰ μὲν ἐμπε- 520 *παίχασιν οἱ ἀμφισβητοῦντες τοὺς λογισμοὺς καί τινι*

498–499 Synops. Bas. Δ33,7 (Zepi) **500–501** Basilic. VII 2,13,2 (= Synops. Bas. Δ33,8) **501–502** Basilic. VII 2,27,2–3 (= Synops. Bas. Δ33,11) **503–505** Basilic. VII 2,20 (= Synops. Bas. Δ33,9)

502 *τό γε* Bi. *τότε* V **505** *περὶ* u *παρὰ* V

ἀτόπῳ πράγματι τὴν τομὴν τοῦ ἀμφιβόλου ἐπίστευσαν, πεττοῖς ἢ κυβείᾳ, ἢ ὀρνίθων πτήσεσιν ἢ κλαγγαῖς ἢ καθέδραις, ἢ κινήσεων ἀριθμοῖς ἢ ἄλλῳ τῷ τῶν τοιούτων,
525 *δρόμοις ἢ πάλαις τινῶν, ἢ εἴ τις δισκεύσοι μὲν ὑπὲρ τὰς νεφέλας, ἀναρρίψαιτο δὲ τὸν δίσκον εἰς πεντήκοντα στάδια, ἔσται θάτερον μὲν μέρος νενικηκός, θάτερον δὲ ἡττημένον, εἰ οὕτω καὶ οὗτοι τὴν κοινὴν δίκην συνεπεράναντο, καὶ ἦν τοῦτο αἱρετὸν κατὰ βούλησιν, οὐκ ἂν οὐδ' αὐτὸς*
530 *εἱλόμην τὸ δικαστήριον, οὐδὲ τὴν ἐπὶ τούτοις αἵρεσιν ταῖς ἐγνωσμέναις παρὰ τῶν αἱρετῶν δικαστῶν συνηριθμησάμην βουλήσεσιν· ἐπεὶ δὲ τὸ μέν τι κρεῖττόν ἐστι τῆς ἐγνωσμένης τοῖς νόμοις αἱρέσεως, τὸ δὲ χεῖρον, τὸ μέν, ὅσον χεῖρον, τοῖς παρανόμοις ἀφίημι, τὸ δ', ὅσον κρεῖττον,*
535 *νομικόν τε καὶ ὑπὲρ νόμον φημί· νομικὸν μέν, ὅτι νενόμισται ἀμφοτέροις τὸ σύνθημα ἐκ παρατηρήσεως νομικῆς, ὑπὲρ νόμον δέ, ὅτι συμπεπέρανται ἐκ καταλήψεως μυστικῆς. οὐ γὰρ ὥσπερ δικαιοσύνης μεσαζούσης τὸ μέν τι ἐλλεῖπον, τὸ δὲ πλεονάζον ἐστίν, οἷον μειονεξία τις καὶ πλεο-*
540 *νεξία, ἵνα τὰ μὲν ἄκρα κακίζοιτο, ἡ μεσότης δὲ ἐπαινοῖτο, ἀλλ' ὥσπερ τοῦ ὑλικοῦ φωτὸς φωτοειδέστερον τὸ ἀϋλότερον καὶ μᾶλλον αἱρετὸν ἐκεῖνο ἢ τοῦτο, τὸ δὲ σκότος ἀντίθετον, οὕτω τοῦ αἱρετοῦ δικαστοῦ τὸ μὲν εἰς ἐλάττονα κρίσιν φερόμενον, ὡς ὁ λόγος διεῖλεν, ἀτοπώτατον καὶ*
545 *παρὰ νόμον, τὸ δὲ εἰς κρείττονα φέρον θαυμασιώτατον ἅμα καὶ νομικώτατον. εἰ δὲ χαμαιδικαστὴς αἱρετὸς γενό-*

522–524 cf. Psell. *περὶ ὠμοπλατοσκοπίας καὶ οἰωνοσκοπίας* (Philol. 8 [1853] 167,13–15)

525 *δρόμοις* Bi. *δράμοις* V *ἢ*[2] V *ὅτι* an *ὡς* ci. Bi. **530** *τούτοις* add. mg. V *ἤγουν τοῖς πεττοῖς τῇ κυβείᾳ καὶ τοῖς λοιποῖς* **531** *παρὰ* V *περὶ* Bi. et Si. **538** *τι* Bi. *τοι* V

μενος ἀδεῶς δικάζει καὶ κατὰ νόμους, ἢ καὶ παρανόμως πολλάκις, ἡ τὸν ἀντικείμενον τῷ ἑαυτῆς τόπῳ κρίνασα τε καὶ κατακρίνασα, ἐνταῦθα ἐλάττων φανείη, καινῷ συμβόλῳ καὶ ᾧ συνέθεντο οἱ δικαζόμενοι διαλυσαμένη τὸ ζή- 550 *τημα; πολλοῦ γε καὶ δεῖ. εἰ δὲ τὸ γεγονὸς οὐδ' ἔχει τις ὅπως ἂν γνοίη καὶ θαυμάσαιτο, ἔπειτα οὐδ' εἰς τομὴν τοῦτο δικαστικὴν ἐξαρκέσει; οὐμενοῦν. τί δ' ἄν τις καὶ τολμῴη τῶν νῦν ὄντων ἢ τῶν ἐσομένων ἐφετικὸν ἐπὶ τῶν γεγενημένων συστήσασθαι δικαστήριον, ἢ ὅτι μὴ συνήρμο-* 555 *σται παντάπασι νόμῳ πολιτικῷ, κρεῖττον δὲ τούτου καὶ γενναιότερον, ὡς παράνομον ἀναλῦσαι, ἢ ἐς τὸν Ἄρειον πάγον ἐφεῖναι τὴν δίκην; εἰ μὲν οὖν ὑπερφυῆ τις αἱροῖτο τομήν, ἔχει τὸ βεβουλημένον ἐνταῦθα λαμπρόν· εἰ δὲ τὴν νομικὴν ἀγαπῴη ψῆφον, καὶ τοῦτο ἀπὸ νόμου τε ὥρμηται* 560 *καὶ τὸ παραλλάττον κρεῖττον ἢ νόμος ἐστί. καί τις μὲν ὀμωμοκὼς κατὰ τοῦ θεοῦ ἀπὸ νόμου προστάττοντος ἢ δικαστοῦ κατακρίναντος, ἔστιν ἐφ' ὧν ὑποθέσεων οὐ τὴν νικῶσαν ψῆφον διὰ τέλους ἐκληρώσατο. μεγάλης, φησίν, ὑποκειμένης ὁ νόμος, αἰτίας καὶ καινῶν εὑρεθέντων δικαιω-* 565 *μάτων, καὶ ὁ ἔνδικος ὅρκος ἀναψηλαφᾶσθαι δύναται· καὶ πᾶσα μὲν ἄλλη δικαστικὴ ψῆφος ἐφέσει ὑπόκειται, ἡ δὲ παρὰ τῆς θεομήτορος ἐν συμβόλοις κρίσις, οὕτως ἑλομένων τῶν δικαζομένων, οὔτ' ἐπὶ καινοῖς δικαιώμασιν ἀναλύεται, οὔτε εἰς ἔφεσιν ἀναπέμπεται; διατί; ὅτι οἱ μὲν πολιτικοὶ* 570

564–566 cf. Basilic. XXII 6,4,3 (= Synops. Bas. O 3,3); Basilic. XXII 5,31 (= Synops. Bas. O 2,11) **570–574** cf. Basilic. VII 5,15 (= Synops. Bas. Δ 33,18–19)

548 *τόπῳ* V *τόκῳ* Bi. **551** *ἔχει* V *ἔχοι* ci. Bi. **558** *ἐφεῖναι* Bi. *ἀφεῖναι* V **565** *ὑποκειμένης ὁ νόμος* V transp. Bi. **568** *παρὰ* Bi. *περὶ* V

δικασταί, κἂν εἰς τὸ ἄκρον τῆς νομικῆς ἐπιστήμης ἐλάσαιεν, ἔστιν ὅπη σφάλλονται τὴν διάγνωσιν, καὶ ὁ τὸν ὅρκον διδοὺς αὐθαιρέτῳ πολλάκις ὁρμῇ καὶ πλεονεξίας ἐλπίδι καταφρονοίη τοῦ κρείττονος, τῇ δὲ θεομήτορι δικα-
575 *ζούσῃ καὶ τὴν εὕρεσιν τῆς ἀληθείας καινῷ τρόπῳ παραδεικνυούσῃ τίς ἂν τῶν πάντων ἐπιμέμψαιτο ἢ ἄλλο τι κρίνειν τολμήσειεν;*

Εἰ δὲ μή, εἰς νόμον τις ἀναγαγεῖν ἔχοι πάντῃ ἐνταῦθα τὸ πεπραγμένον, καινὸν οὐδέν, ἐπεὶ καὶ τὸν ἐξ λέγε κονδι-
580 *κτίκιον οὐκ ἄν τις εἰς ὡρισμένην ἐκβιβάσειεν ἀγωγήν· ἁρμόζει γὰρ οὗτος ἡνίκα ὁ νόμος καινὴν μὲν ἐνοχὴν εἰσάγει καὶ ἀπαίτησιν, μὴ ῥητῶς δὲ ἐπάγει διὰ ποίας ἀγωγῆς ἐκβιβάζεται. ἀλλὰ τοῦτο μὲν ἐν παρέργῳ εἴληπται καὶ ἀπὸ τοῦ ἴσου ἐπικεχείρηται· αὐτὸ δὲ τὸ πεπραγμένον καὶ*
585 *νόμῳ, εἴ τις βούλοιτο, τελειοῦται καὶ ὑπὲρ νόμον περαίνεται, καὶ ἀμφοτέρωθεν ἕξει ὁ τῶν δικαίων παρὰ τῆς πανάγνου τετυχηκὼς ἀνεπιχείρητον τὴν δικαίωσιν. ἐπεὶ δὲ οὐκ ἐπὶ πασῶν τῶν ἀγωγῶν τῷ μὲν τῶν ἀντιθέτων τὸ κατηγορεῖν μόνως τῷ δὲ τὸ ἀπολογεῖσθαι διῄρηται, ἀλλ' ἔστιν*
590 *οὗ τοῖς αὐτοῖς τἀναντία ἐστί, καὶ οἱ αὐτοὶ διώκοντές τέ εἰσι καὶ φεύγοντες, ὥσπερ ἐπὶ τῶν λεγομένων διπλῶν δικαστηρίων, ὁποῖόν ἐστι τὸ μεταξὺ τῶν συγκληρονόμων κινούμενον εἴτε ἀπὸ διαθήκης εἴτε ἐξ ἀδιαθέτου, ὃ δὴ καὶ ἰνρὲμ καὶ περσονάλιόν ἐστί τε καὶ ὀνομάζεται (τουτέστι*
595 *πραγματικὸν καὶ προσωπικόν), καὶ τὸ περὶ ὅρων ἰθυντέων*

579–583 Psell. *περὶ τῆς τῶν ἀγωγῶν διαιρέσεως* 100–104 (ed. G. Weiss, Ostroem. Beamte im Spiegel der Schriften des M. Psellos [Munich 1973] 288–291); cf. Basilic. XXIV 8,6 **587–591** cf. Basilic. LII 1,36 **591–593** cf. Basilic. XII 2,2 et Basilic. XLII 3,2,3–4 **593–595** cf. Basilic. XLII 3,22,4 et Scholia XLII 3,22,6 **595–596** cf. Basilic. LVIII 9,1 (= Synops. Bas. O 8,1)

καὶ ὁπόσα ἕτερα (τί γὰρ δεῖ ξύμπαντα καταλέγειν;), εἰ ἐπὶ τῇ πρωτολογίᾳ τῆς ἀγωγῆς ξύνθοιντο ἀλλήλοις οἱ ἀντικείμενοι τίς ἄρα πρότερος εἰσέλθοι τὸ δικαστήριον (οὐ γὰρ δύναιντο ἀμφότεροι ἐπίσης κατηγορεῖν), καὶ τοῦτο δὴ τὸ κοινὸν λάχοιεν ἢ ἀπὸ συμβόλου τινὸς ἢ ἀφ' ἑτέρου 600 *τρόπου, ἆρ' οὐκ ἄν, εἴ τις ἀπὸ τοῦ λαχμοῦ τὸ πρώτως εἰπεῖν πορίσαιτο, οὐκ αὐτὸς πρῶτος κατηγορήσειε, καίτοι γε οὐκ ἀπὸ νόμου τοῦτο διώρισται; οὔκουν ἄτοπον, εἰ τυχαῖον μέν τι πρᾶγμα εἰς πρωτολογίαν ἰσχύσειε καὶ ὥσπερ νόμος λογισθείη τὸ διομολογηθὲν ἀμφοτέροις τοῖς μέρεσιν,* 605 *ἐπὶ δὲ τοῦ παρόντος ζητήματος θεῖον εἰληφότος τὸ σύνθημα καὶ τὴν ὁμολογίαν ἐπαινετήν, ἄλλο τι ἕξει τὸ συμφωνηθὲν παρὰ τὴν ἀπὸ τῆς τύχης ἔκβασιν; λεγέσθω γὰρ οὕτως κατὰ τὴν κοινοτέραν φωνήν, καὶ εἰ παρὰ τοῖς φιλοσόφοις μετὰ τῶν αἰτιῶν ἡ τύχη καὶ τὸ αὐτόματον συνα-* 610 *ριθμούμενα ἄλλην τινὰ ἔχουσι τὴν διαίρεσιν.*

Τὸ γοῦν τῷ λόγῳ σπουδαζόμενον τοῦτό ἐστιν, ὅτι οὔτε ἀτόπως συνωμολογήκασιν οἱ ἀντικρινόμενοι τὸ ἐπὶ τῷ σχήματι τοῦ ἱεροῦ πέπλου τῆς θεομήτορος λελύσθαι τούτοις τὸ ζήτημα, οὔτε τὸ γενόμενον θαῦμα ἔλαττον δικαστικῆς 615 *ἰσχύει γνώμης καὶ ψήφου. ἀλλ' οὐδὲ λόγον ἀντιλογίας οἱ ἡττηθέντες ἔχοιεν· ἐν γὰρ τῷ μερισμῷ τοῦ συνθήματος οὐκ ἐπίσης τῷ στρατηγῷ τὸ ἐσόμενον διεμερίσαντο σύμβολον, ἀλλ' ἐκείνῳ μὲν τὸ μὴ εἰωθὸς ἢ τὸ σπανιώτατον ἀπεκλήρωσαν, ἑαυτοῖς δὲ ἀπέδοσαν, ἵν' οὕτως εἴποιμι, τὸ* 620 *ἀσύμβολον. τὸ μὲν γὰρ κινεῖσθαι τὸ πέπλον τοῦ θαύματος, τὸ δὲ μὴ κινεῖσθαι τῆς φύσεως, ἐπὶ πλέον δὲ ἡ φύσις τοῦ*

596–603 cf. Basilic. VII 5,13–14 **608–611** cf. Psell. de omn. doct. 106 (Westerink)

606 *θεῖον* V *θείως* ci. Bi. **607** *ἄλλο τι* V *ἄλλην τινὰ* ci. Bi.

*τεραστίου. πῶς ἂν οὖν δύναιντο λέγειν ὅτι μὴ νόμῳ ἡ θεο-
σημία συμβέβηκε; ἀλλ' ὑμεῖς γε, φαίη τις ἂν πρὸς αὐτούς,*
625 *ἐπειδὴ ἡ εὐχὴ γένοιτο καὶ τὸ θαῦμα ἐμέλλησεν, ὡς νενι-
κηκότες ἐπὶ τοῖς παροῦσιν ἀπεσεμνύνεσθε. πῶς οὖν, μήπω
μὲν γενομένου τοῦ θαύματος, κατὰ κράτος τοῦ πράγματος
εἴχεσθε, εἶθ' ὕστερον γενομένου, πάλιν ἐπίσης τοῦ αὐτοῦ
ἕξεσθε; ἀλλὰ καταδεδίκασθε προφανῶς τῷ τε οἰκείῳ βου-*
630 *λεύματι καὶ ὁμολογήματι καὶ τῇ ἀπὸ τῆς παρθένου τομῇ,
καὶ τμηθείη ξύμπασα γλῶσσα, εἴ τις ἀντίθετος εἴη τῷ
θαύματι καὶ τὴν ὑπερβολὴν τῆς δυνάμεως ὕφεσιν τῆς οἰ-
κείας πιθανολογίας λογίζοιτο, ἵνα μὴ ματαιολογίας ἐρῶ.*

Ἀλλ' ὅτι μέν, εἴ τις ἡμᾶς καὶ κάτω σύρειν αἱροῖτο καὶ
635 *ἀπὸ τῶν θειοτέρων εἰς τὰ χείρω βιάζοιτο καὶ περὶ νόμους
ἀναγκάζοι στρέφεσθαι, οὐδὲ τούτοις ἥττους τῶν ἀντιλέγειν
ἐπιχειρούντων ἐσμέν, ὁ λόγος ἐν οἷς εἰρήκει διήτησεν· ἐγὼ
δ' αὖθις ἐπὶ τὴν πρώτην τοῦ λόγου τομὴν ἐπάνειμι, καὶ
συνείρω θαῦμα τῷ θαύματι, καὶ τῶν τῆς θεοτόκου τερα-*
640 *στίων οὐκ ἂν ἑκὼν εἶναι μεθείμην οὐδ' ἐκσταίην ποτέ.
ἀλλὰ τίς οὐκ ἂν τῶν ἁπάντων ἀγάσαιτο οὕτω θαυμάτων
ἀκούων συνέχειαν καὶ ἐπάλληλα τὰ ὑπερφυῆ σύμβολα;
ἐκράτησε μὲν τοῦ ἀγῶνος ὁ στρατηγὸς καὶ νόμῳ καὶ θαύ-
ματι, καὶ ὁ πρωτοπρόεδρος Ἰωάννης, ὁ κατὰ τοὺς Ξηρούς,*
645 *τὰ πρῶτα τῆς ἐν τῇ πρεσβείᾳ διακονίας παρὰ τοῦ βασι-
λέως λαβών, ἀποδεδώκει τούτῳ τὰ ἔγγραφα δίκαια, οὕτω
προστεταγμένον αὐτῷ παρά τε τῆς παρθενικῆς δυνάμεως
καὶ τῆς τοῦ κρατοῦντος ἰσχύος· οὐ μὴν ἀπῆλθεν ἀγνωμο-
νῶν τῇ παρθένῳ παρ' ἧ τὴν δικαίωσιν εἴληφεν, ἀλλ' αὐτὰ*
650 *δὴ τὰ δεδομένα ἐν χερσὶ φέρων, τῇ θεομήτορι πρόσεισι,
καὶ ἀγχοῦ τῆς εἰκόνος γενόμενος, καταρριπτεῖ εἰς ἔδαφος
ἑαυτόν, ποίας οὐκ ἀνθομολογούμενος χάριτας· ἡ δὲ θαυ-*

625 *ἐμέλλησεν* Bi. *ἐμέλησεν* V **641** ⟨*τὴν*⟩ pro *τῶν* ci. Bi.

μασίως τῷ πράγματι διαιτήσασα θαυμασιώτερον αὖθις τὴν ψῆφον ἐπισφραγίζεται· ἡ δὲ σφραγίς; αἴρεται καὶ πάλιν τῆς εἰκόνος τὸ περιβόλαιον καὶ τὸ ἱερὸν ἀνακουφίζεται 655 *καταπέτασμα, καὶ οἷον ἐν περιόδῳ καὶ κύκλῳ ἀπὸ τοῦ αὐτοῦ ἀποκαταστάντι πρὸς τὸ αὐτὸ τὸ ζητούμενον πρᾶγμα περιλαμβάνεται, ἵνα δυοῖν τεραστίοιν ὁμοίοιν ἀλλήλοιν ἀσφαλέστατον ἕξει τὸν σύνδεσμον.*

Ὁ δὲ λόγος, ὥσπερ ἐν διαύλῳ ἄνω καὶ κάτω καινοπρε- 660 *πέστερον σταδιοδρομῶν, καὶ νῦν μὲν περὶ τὰ θεῖα πραγματευόμενος, αὖθις δὲ περὶ τὰς ὑποπιπτούσας ταῖς αἰσθήσεσιν ὕλας, βούλεταί τι καὶ ὑψηλότερον ἐρεῖν, καὶ ζητῆσαι ἥτις ἡ αἰτία τῶν τοιούτων θεοσημιῶν. καὶ γὰρ ἴχνη πολλάκις ἀφανῶν ποδῶν ἢ χειρῶν κατὰ ἐδάφους ἐνήρμοσται καὶ* 665 *ζῴων εἴδη ἐμφαίνεται, ὡς πάλαι που τὰ βαιτύλια καὶ ἐγκαύματά τινα περὶ λίθους, εἰκόνων τε καὶ ἀγαλμάτων οἷον ἱδρῶτές τινες ἀπορρέουσι, καὶ κινήσεις ἀφανῆ τὴν αἰτίαν ἔχουσαι περὶ τὰ τοιαῦτα ἐμφαίνονται, ἦχοί τέ τινες ἐξακούονται, αἱ μὲν ἐξ ἀέρος, αἱ δὲ ἐκ φρεάτων, αἱ δ' ἐξ ἑτέ-* 670 *ρων πηγῶν, καὶ ἄλλ' ἄττα τοιαῦτα καινότερα ἐμπίπτει περὶ τὴν αἴσθησιν. τὴν μὲν οὖν ἀληθεστάτην τούτων αἰτίαν ὁ θεὸς ἂν εἰδείη καὶ εἴ τις τῇ θείᾳ φύσει ἐγγύς· ἃ δ' οὖν ἡμεῖς ἐκ τῆς ἀπορρητοτέρας φιλοσοφίας ἐσχήκαμεν, εἰ μετρίως εἰπεῖν ἔχοιμεν, ἀρκούντως ἕξει τοῖς ἀκούουσι.* 675 *τοῦτο μὲν οὖν πρῶτον διομολογείσθω, ὅτι τῶν ὄντων τὰ μὲν αὐτὸ δὴ τοῦτο ὄντα εἰσὶ καὶ θεῖα καὶ ὑπερφυῆ, τὰ δ' ἐλάττω τούτων, καὶ καταβαίνει ἡ ὕφεσις μέχρις αἰσθήσεως*

660–667 cf. Psell. theol. 47,43–46 (Gautier) **666–667** cf. Damasc. vit. Isidori 203 **667–669** cf. Lucian. de Syr. dea 36; cf. Plut. vit. Alex. 14,5

669 *ἦχοι τέ* V *ἠχοῖ τέ* Bi.

καὶ ὕλης αὐτῆς, καὶ δέχεται τὰ τῇδε σώματα ἐμφάσεις
680 *τῶν κρειττόνων τινάς· μέτοχα γὰρ τὰ ἐλάττω τῶν κρειττό-*
νων ἐστί· καὶ τὸ μὲν θεῖον ὅμοιον ἑαυτῷ καὶ ἀπαθέ-
στατον, τὸ δ' ὑπὸ τὴν σελήνην ξύμπαν ἀνόμοιόν τε καὶ
παθητόν, καὶ ὅσῳ πρόεισιν ἡ κάθοδος, βαθύνει τὸ πάθος.
δέχεται δὲ καὶ τὰ χείρω τὰς ἐλλάμψεις τῶν ὑπερτέρων,
685 *οὐχ ὡς ἐκεῖνα ἔχει, ἀλλ' ὡς ταῦτα δύναται. τὸ μὲν οὖν*
θεῖον ἀκίνητον, ὅταν δὲ ἔλλαμψις ἐκεῖθεν προχωροίη τῷ
σώματι, κεκίνηται τοῦτο· οὐ γὰρ ἀπαθῶς τὴν ἔμφασιν δέ-
χεται, μὴ δυνάμενον· καὶ τὸ μὲν ποιοῦν ἄμορφον, τὸ δὲ
πάσχον μορφὴν ποιὰν καὶ ἀλλοίωσιν δέχεται. καὶ τὰ χρώ-
690 *ματα τῶν ἐσομένων εἰσὶ σύμβολα· τὰ μὲν γὰρ λευκὰ τῆς*
τῶν γενησομένων λαμπρότητος, τὰ δὲ μέλανα ἀχλύος καὶ
ἀοριστίας, τὰ δὲ μεταξὺ τούτων, ὅσα μὲν πρὸς τῷ μέλανι
χείρω, ὅσα δὲ πρὸς τῷ λευκῷ κρείττω, τὰ δὲ μέσα ἀναμίξ,
οἷον τὰ φαιά, ἑκατέρωθεν τῶν ἄκρων ἐπίσης μετέχοντα.
695 *τὰ δὲ ἐγκαύματα κίνησίν τινα ἐσομένην σφοδροτέραν ἐν-*
δείκνυνται καὶ χειρίστην μεταβολήν· τὰ δὲ ἴχνη, χειρῶν
μέν, ἐπαφῆς κρείττονος φύσεως, ποδῶν δέ, τῆς περὶ τὰ
μέλλοντα ὁρμῆς καὶ κινήσεως. ἀὴρ δὲ καὶ ὕδωρ, τὴν ἔμ-
φασιν τοῦ θείου δεξάμενα, ἐπειδὴ μὴ οἷά τε ἀπαθῶς ταύ-
700 *την εἰσδέξασθαι, ἀπήχησίν τινα τοῖς ἀκούουσιν ἐμποιεῖ·*
μέγα δέ, φησὶ καὶ ὁ ποιητής, ἔβραχε φήγινος ἄξων, οὐχ
ὡς τοῦ κρείττονος τὴν ὕλην ἐμπαθῶς ἐπιβρίσαντος, ἀλλ'
ὡς τῆς ὕλης ὡς εἶχε δεξαμένης τὴν ἔμφασιν.

679–683 cf. Procl. *περὶ τῆς καθ' Ἕλληνας ἱερατικῆς τέχνης* (Bidez, Catalogue des ms. alchemiques grecs VI 148,5ff.) **689–694** cf. Psell. *περὶ ὠμοπλατοσκοπίας καὶ οἰωνοσκοπίας* (Philol. 8 [1853] 167, 9ff.) **701–702** Hom. Il. 5,838–839

680 *μέτοχα* u *μετόχοχα* V **684** *ἐλλάμψεις* u *ἐλλάψεις* V **686** *ἔλλαμψις* u *ἔλλαψις* V

Καὶ ταῦτα μὲν ἐπιδρομάδην καὶ ὡς ἂν ῥητορικός τις εἴποι ἀνὴρ γοργὸς κατὰ τὰς χείρους τῶν ἀπορουμένων 705 *ἀπαντήσεις· περὶ δέ γε θεαγωγίας ψυχῶν τοσοῦτον ἐνταῦθα ῥητέον, ὡς ἐκ διαφόρων ἡμῶν συγκειμένων δυνάμεων, κρειττόνων καὶ χειρόνων, ὑψηλοτέρων καὶ ταπεινοτέρων, νοῦ λέγω καὶ διανοίας καὶ φαντασίας καὶ τῶν γε ἑτέρων, ὅταν μὲν ἡ ψυχὴ πᾶσα ἐπιπνέηται καὶ ὁ νοῦς* 710 *πρῶτος τὴν ἔλλαμψιν ὑποδέξαιτο, ἐν ὀργάνου τάξει τἄλλα κινεῖται, ὑπεσταλμένα τὴν ἑαυτῶν ζωήν, ὅθεν καὶ ἀπαρακολουθήτως ἔχει τότε πρὸς ἑαυτὸν ὁ θεόπτης· εἰ δὲ ἡ διάνοια κινηθείη θεαγωγικῶς ἢ τὸ πνεῦμα τῆς φαντασίας, ἀναλλοιώτως ὁ νοῦς τούτων ὑπερκαθήμενος γνοίη ἂν τὰς* 715 *θείας κινήσεις καὶ ἑρμηνεύσοι αὐτάς.*

Καὶ χάρις τῇ θεομήτορι, ἀφορμὰς ἡμῖν παρασχούσῃ διὰ τοῦ θαύματος διερμηνεύσεως κρειττόνων ἐπιπνοιῶν· καὶ οἶδα μὲν ὡς αὐχμός τις ⟨τῆς⟩ σοφίας ἐν τῷ κατ' ἐμὲ τοῦ χρόνου μέρει γενόμενος, ἀκινήτους καὶ ἀθέλκτους τὰς τῶν 720 *πολλῶν ψυχὰς πρὸς τὰ ὑπὲρ φύσιν εἰργάσατο· οὐ μέντοι γε χρεὼν τὸν ἐραστὴν τῶν κρειττόνων διὰ τὰς τῶν πολλῶν περὶ τὰ κρείττω ἀκινησίας συναποδενδροῦσθαι τούτοις ἢ καταλιθοῦσθαι, καὶ οἷον ἀπερριζῶσθαι κατὰ γῆς καὶ βίον φυτοῦ διαζῆν, ὁπότε καὶ μάλιστα πνευματικώτερον, ἀλλ'* 725 *οὐκ Ἀριστοτελικῶς, τὰς διερμηνεύσεις τούτων ποιούμεθα, ὥστε ἐντεῦθεν ἔννοιαν λαμβάνειν ἡμᾶς τίνες μὲν οἱ περὶ*

706–713 cf. Psell. orat. contra Cerul. (Kurtz/Drexl I 248,22–30) **719** Plat. Men. 70 c 4; cf. Psell. orat. 24,61–62 (Littlewood)

704 *ἐπιδρομάδην* p. c. *ἐπιδροχάδην* V *ἐπιτροχάδην* u **705** *χείρους* Bi. *χεῖρας* V **711** *ἔλλαμψιν* Bi. et Si. *ἔλλαψιν* V **718** *διερμηνεύσεως* Bi. *δι' ἑρμηνεύσεως* V (cf. l. 726 infra) **719** *αὐχμός* Wk. *ἀχαιὸς* V ⟨*τῆς*⟩ Fr. *σοφίας* V *σοφιστὴς* ci. Bi. (cf. Plat. Men. 70 c 4)

τοὺς προφήτας λόγοι, ὁποῖα δὲ τὰ λήμματα καὶ τὰ τῶν ψαλμῶν διαψάλματα· ταῦτα γὰρ ξύμπαντα κρειττόνων ἔχε-
730 *ται ἐννοιῶν. εἰ δὲ δεῖ καὶ προτείνοντας συλλογίσασθαι, συνηρανισάμεθ' ἂν θεοπρεπέστερα τοῖς ὑποκειμένοις καὶ παντάπασιν ἀναντίρρητα ἀξιώματα περὶ ἕκαστον γένος οὗ ὁ λόγος τὰ καθ' αὐτὰ πάθη ὁρᾷ.*

Ὁ μὲν οὖν σχεδιασθεὶς οὗτος λόγος ὁμοῦ τε εἰς εὐφη-
735 *μίαν ἀρκοίη τοῦ θαύματος καὶ εἰς βεβαίωσιν τοῦ ἀμφιβόλου πράγματος τῷ τυχόντι τῆς δικαιώσεως· ἐμοὶ δὲ εἰς καινήν τινα εὐχὴν ὁ λόγος περαίνοιτο. κρίναι μὲν θεὸς τὰ ἡμέτερα ὥσπερ δὴ καὶ κρινεῖ, τὰς κρίσεις παρὰ τοῦ πατρὸς ἐν τῇ ἀποκαταστάσει λαβὼν ἢ ἤδη προειληφώς, κοι-*
740 *νωνοίη δὲ αὐτῷ καὶ ἡ τεκοῦσα τῆς κρίσεως, ἵνα παρὰ φιλανθρώπῳ παιδὶ μήτηρ φιλάνθρωπος συνδικάζουσα μὴ παρατηροῖτο ἡμῖν ἐς ἀκριβῆ στάθμην τὰ πεπραγμένα, μηδ' οὕτω ζυγοστατοίη ὡς λογισμῷ λογισμὸν πλήττειν καὶ πράξει πρᾶξιν εὐθύνειν, ἀλλὰ μετὰ τῆς συμπαθεστέρας ῥοπῆς*
745 *λογίζοιτο τὰ ἡμέτερα· οὕτω γὰρ ἂν ἢ ξύμπαντες τύχοιμεν ἀναλόγως, οὐ τῶν κατωρθωμένων οἱ πλείους, ἀλλὰ τῆς ἀφέσεως τῶν ἐπταισμένων, τῆς σωτηρίας, ἢ οὐκ ἐν μέσῃ ἐμπεσούμεθα τῇ γεέννῃ, ἀλλὰ πόρρω που τοῦ πυρὸς καθεδούμεθα.*

750 *Ταῦτα γραφέντα πνευματικῶς ὁμοῦ καὶ πολιτικῶς ὑπογέγραπται καὶ ἐσφράγισται καὶ τῷ θεομητρόθεν τῆς δίκης κρατήσαντι στρατηγῷ ἐπιδέδοται εἰς μῆνα ἰούλιον ιγʹ ἰνδικτίωνος, ὁπηνίκα καὶ τὸ συμβὰν θαῦμα τετέλεσται καὶ κεκήρυκται, τοῦ βασιλεύοντος τηνικαῦτα κῦρ Μιχαὴλ τοῦ*
755 *Δούκα ἐμοὶ τῷ μοναχῷ Μιχαὴλ τῷ ὑπερτίμῳ τὴν γραφὴν ἐπιτρέψαντος, ὑπομνήματος ὁμοῦ νομικοῦ καὶ πανηγυρικοῦ εἴδους λόγον ἔχουσαν, ἔτους ἤδη διαρρέοντος ,Ϛφπγʹ.*

730 *εἰ δὲ δεῖ* V *εἰ δ' ἔδει* ci. Bi. **733** *καθ' αὐτὰ* V *καθ' αὐτὸν* ci. Bi. **757** 1075 mg. V

ORATIO IN ARCHANGELVM MICHAELEM

Angeli nobis sanctitatis exemplis sunt. difficile est iuste laudare vitam angelicam; archangelicam difficilius (4ff.). miracula autem ab archangelo Michaele hac in ecclesia perfecta mihi describenda sunt (45–49). haec ecclesia prope flumen Siberim in Galatia cis Halym locata est (228).

Heraclius imperator hoc in loco condidit et ecclesiam et monasterium ad Constantinopolem redeuns victor A.D. 628, victo Chosdroe rege Persico (121ff.). cum autem imperator ad venerationem in beatae virginis ecclesiam pervenit et signum crucem constituit, nec solum crux – mirabile dictu! – immobilis erat (158ff.), sed etiam ecclesia, flammis miris devorata, non deleta est (179ff.). hic deinde ecclesiam veterem refecit et alteram condidit (208ff.), ut archangelum Michaelem, suum patronum (147ff.), coleret.

Miracula permulta hoc in loco perfecta sunt. nam crux in ecclesia manens sanavit puerum dementem (293ff.) et Aretham abbatem iam morientem (319ff.) et Nicephorum torpidum (527ff.) et Lazarum, inflammationem cerebri habentem (539ff.). crux autem extra ecclesiam locata pontem Siberis inundantis tuita est (227ff.) et furis patefaciendi causa gemuit (491ff.) et dementiam sanavit (522ff.). denique huius ecclesiae ex sanctitudine non pauca miracula evenerunt. nam multitudo urucarum dimissa est (266ff.), atque hac in ecclesia sanati sunt et puer amens (343ff.) et Nicetas torpidus (360ff.) et Con-

stantinus debilis deformisque (375ff.) et viator de caelo percussus (408ff.). dominus praeterea latifundii Moucha improbus, iniuste vicinos Archangelumque adortus, poenas dedit (441ff.) atque aliquis mirum in modum somniavit quendam monachum clam furacem et nuper mortuum ab Archangelo diligenter interrogari (554ff.). omnino haec crux mirabilis bis ex ecclesia evecta est, quae victoriam reportaret (428ff.; 478ff.).

Archangelus adhuc hoc locum illustrat, hac in ecclesia miracula efficiens (608ff.) atque calorem morbosque expellens (636ff.). Archangelus nos tueatur! (644ff.)

Occasio huius orationis fortasse dies festus Archangeli Michaelis (8 Nov.) fuit eius in ecclesia Galatica (cf. E. Fisher, Gonimos 175–87) quae Sykeone locata est (cf. C. Mango, Cahiers archéologiques 36[1988] 47–48).

5. *Λόγος εἰς τὰ θαύματα τοῦ ἀρχιστρατήγου Μιχαήλ*

Σκοπὸς μὲν καὶ τέλος ἐναγομένοις ἡμῖν πρὸς τὴν κατὰ θεὸν ὡς ἐφικτὸν ἀνθρώπῳ ὁμοίωσιν, ἐγγύς που γενέσθαι
5 *τῆς ἀγγελικῆς ζωῆς καὶ καθάρσεως καὶ τῆς πρὸς τὸ*

3–7 cf. Cyr. de ador. et cult. 5 (PG 68,360 A 1–3), idem Glaphyr. in gen. 7 (PG 69,336 B 2–5), Theophylact. expos. in Mich. prop. (PG 126,1049 A 1–4) 3–4 cf. Ps.-Dionys. cael. hier. 3,2 (PG 3,165 A 1–2), idem eccles. hier. 2 (PG 3,392 A 1–3) 5–7 cf. Ps.-Dionys. eccles. hier. 6,5 (PG 3,536 C 14–D 2)

V 48ᵛ–59ᵛ; i 211ʳ–230ᵛ; u 199ᵛ–208ᵛ – Kurtz et Drexl I 120–141. Cum i et u apographa codicis V essent, duorum lectiones solas reportavi quae coniecturae utiles sunt.

1 *τοῦ αὐτοῦ εἰς τὰ θαύματα τοῦ ἀρχιστρατήγου* V *τοῦ αὐτοῦ λόγος εἰς τὸν ἀρχάγγελον* u

κρεῖττον ἀναγωγῆς καὶ τῆς ἀλήκτου θεωρίας τε καὶ λαμπρότητος· ἀγγέλῳ δὲ εἷς ἐξ αὐτῆς ὑπάρξεως ὁ σκοπὸς πρὸς θεὸν ἐστράφθαι καὶ ταῖς ἐκεῖθεν αὐγαῖς καταλάμπεσθαι καὶ διὰ τῶν ὑπερτέρων δυνάμεων τὰ θεῖα μυεῖσθαι μυστήρια. εἰ δὲ βουλομένοις ἡμῖν ἐγκωμιάζειν, εἴ τις τῶν 10 πάντων εἰς ἀγγελικὴν κατάστασιν ἔφθασε καὶ βίον ἀπαθῆ καὶ ἀκήρατον εἵλετο, ἀγὼν οὐχ ὁ τυχὼν ἐφικέσθαι τῶν πράξεων, πῶς ἂν τὰς ὑπὲρ ἡμᾶς δυνάμεις ἐγκωμιάζειν ἐπιχειρήσαντες, καὶ μάλιστα ἐν οἷς κατὰ καιροὺς παράδοξά τινα πεποιήκασιν, ἀνθάμιλλον τὸν λόγον ποιήσωμεν; οἶμαι 15 δὲ μὴ τοσοῦτον ὑπεραίρειν τοὺς τῆς ἀγγελικῆς ἠξιωμένους τάξεως, εἴ τινες τῶν καθ' ἡμᾶς πρὸς τὴν ἐκείνων διὰ μιμήσεως ἀναβεβήκασι τελειότητα, ὅσον τοὺς προεστηκότας ἐκείνων καὶ τὴν ἀρχαγγελικὴν ἀξίαν ἀναδεδεγμένους παρὰ τοῦ κρείττονος τὴν ὧν ἐπιστεύθησαν ἄρχειν θεοειδῆ δύνα- 20 μιν. εἰ δὲ ὁ λόγος οὗτος οὐ πάνυ τέως ἀποδεδειγμένος, ἀλλὰ τόν γε ἀρχάγγελον σύμπαντες ὡμολογημένοις λόγοις διδόαμεν τῆς ἀγγελικῆς ὑπερκεῖσθαι τάξεώς τε καὶ στάσεως. εἰ τοίνυν δυσέφικτος τῷ λόγῳ ἡ τοῦ ἀνθρώπου τελειότης καθέστηκεν, ὁ ὑπερβεβηκὼς τοῦτον ἄγγελος ὑπερ- 25 κείσεται πάντως δήπου τῷ μέτρῳ καὶ ὁ ἀρχάγγελος ἔτι μᾶλλον ὑπεράνω σταίη τῆς ἀπὸ τῶν λόγων εὐφημίας καὶ τῆς ἀτέχνου ἢ ἐντέχνου δυνάμεως.

Ἀρχάγγελοι δὲ εἶεν ἂν πολλοὶ καὶ οὓς ἂν εἰδείη μόνος θεός· τῶν δέ γε παρ' ἡμῖν τετυχηκότων ὀνόματος τὸν Μι- 30

9–10 cf. Ps.-Dionys. cael. hier. 7,3 (PG 3,209 A 3–B 1)
21–23 cf. Io. Chrys. de incomp. dei hom. 3,5 (PG 48,724,40–41)
29–30 cf. Io. Chrys. de incomp. dei hom. 4,2 (PG 48,729,24–32)

24 *ἡ* u *εἰ* V **27** *ὑπεράνω* Fr. *ὑπάνω* V *ἐπάνω* Kz. Dxl.

χαὴλ τὰ πρῶτά φαμεν, ὥσπερ οὓς πατέρας πατέρων οἱ λόγοι κηρύττουσιν. οὗτος γάρ, ἐξ ἀρχῆς τὴν ἀγγελικὴν ἐπιτετραμμένος ἀρχήν τε καὶ δύναμιν, τήν τε τάξιν ἐκείνοις τηρεῖ καὶ τὰ θεῖα τούτοις διαπορθμεύει μυστήρια καὶ τὸν
35 *τῇδε βίον ἐκ πρύμνης ἄνωθεν κατευθύνει καὶ κυβερνᾷ. ὁπόσα μὲν οὖν ἐν τοῖς ἄνω χρόνοις ὁ θεῖος οὗτος ἐθαυματούργησεν ἄγγελος, ὡς βεβοημένα καὶ πᾶσιν ὡμολογημένα ἀναβεβλήσθω τανῦν· τὰ δὲ λανθάνοντα τοὺς πολλοὺς καί, ὧν ὀλίγοι τὴν γνῶσιν ἐσχήκασι, τῷ λόγῳ διαμνημο-*
40 *νεύσωμεν. εἰ γὰρ ἀνθρωπικὰς δυνάμεις καὶ θαύματα σιγῇ παραπέμψαι τὸν ἐγνωκότα τῶν ἀτοπωτάτων ἐστί, πόσῳ γε μᾶλλον, εἴ τις θεῖος ἀρχάγγελος προστασίαν τινὰ τῶν ἐπὶ γῆς παρὰ θεοῦ εἰληφὼς παράδοξά τινα τῷ βίῳ τετέλεκεν, οὐ τῶν ἀδικωτάτων ἐστὶ λήθης ταῦτα παραπέμψαι βυθοῖς*
45 *καὶ μὴ κηρύξαι τὰ μεγαλεῖα τῆς ὑπὲρ ἡμᾶς φύσεως; λεγέσθω τοίνυν ὡς ἐφικτόν, ὁπόσα ὁ θεῖος οὗτος περίβολος τῶν τοῦ ἀρχαγγέλου θαυμασίων καταπεπλούτηκεν· ὁ δὲ λόγος εἰς ἀρχὴν ἀναβὰς ἐκεῖθεν ἐφήσει τῷ πελάγει τοῦ διηγήματος.*
50 *Ἦν ὅτε δυστυχῶς εἶχε τὰ Ῥωμαίων πράγματα καὶ τὰ πέριξ ἔθνη τῆς μεγίστης ταύτης ἀρχῆς τοὺς οἰκείους ὅρους ἐκβεβηκότα κατέτρεχον ταύτην καὶ ἐληΐζοντο, τὰ μὲν λη-*

32–34 cf. Pantaleon Diac. encom. in Michael. (PG 98,1262 B 14–C 1) **34** cf. Theod. Stud. or. 4,2 (PG 99,733 B 1–2), Io. Damasc. de fid. orth. 2,3 (PG 94,872 C 1–3), Pantaleon Diac. encom. in Michael. (PG 98,1264 A 4–6) **35** cf. Pantaleon Diac. encom. in Michael. (PG 98,1262 B 6–7), Procop. Gaz. in gen. 32 (PG 87.1,453 B–454 B)

45 *κηρύξαι* iuDxl. *κηρῦξαι* Kz. (V hic maculatus est) *λεγέσθω* u *λεγέσθαι* V

στήριά τινα ἐπὶ ταύτην ποιούμενοι καὶ ἀκηρύκτους ἐπιδρομάς, τὰ δὲ καὶ πρὸς φανερὸν ἀναρρηγνύντες πόλεμον καὶ πᾶσαν μὲν τὴν ὑποτελῆ Ῥωμαίων ληϊζόμενοι γῆν, πᾶν 55 *δὲ φρούριον κατασείοντες καὶ πόλεις ὀχυρὰς κατασπῶντες καὶ πᾶν ὁτιοῦν δεινὸν ἐργαζόμενοι. καὶ μάλιστα τὸ Περσικὸν γένος, ὁπηνίκα καὶ Πάρθους καὶ Μήδους καὶ Βαβυλωνίους προσειληφότες ἀπό τε τῆς Κύρου καὶ Δαρείου καὶ Ξέρξου δυναστείας καί (ἵν' οὕτως εἴποιμι) ἀπληστίας ξύμ-* 60 *πασαν περιενόουν τὴν οἰκουμένην· ἐφαντάζοντο μὲν Λιβύην ἅπασαν, Ἀσίας δὲ τὸ πλεῖστον ἤδη ἀπειλήφασιν· οὐδὲν δὲ ἧττον καὶ τοῖς Εὐρωπαίοις ἀπεμάχοντο ἔθνεσι καὶ πᾶσαν μὲν ἤπειρον, πᾶσαν δὲ θάλασσαν ὑφ' ἑαυτοὺς ποιῆσαι διενοοῦντο· καὶ οὐδὲν ἦν τὸ κωλῦσον τὴν μεγάλην τῶν* 65 *Ῥωμαίων ἡγεμονίαν ἐν προσθήκης μέρει πρὸς τὴν ἐκείνων δυναστείαν ποιῆσαι, εἰ μή τις ἄνωθεν κωλύσειε δύναμις.*

Διὰ ταῦτα καταλύει μὲν θεὸς τὰς τυραννίδας Ῥωμαίων, βασιλέα δὲ τοῖς πράγμασιν ἐφιστᾷ. ἀλλ' οὐκ οἶδα, εἴ τις ἐκείνῳ ἢ τὴν κατὰ χεῖρα γενναιότητα ὅμοιος ἢ τὴν ἐν 70 *βουλαῖς καὶ στρατηγικαῖς γνώμαις παρεικασμένος ἀκρίβειαν. μόνος γοῦν ὁ ἀνὴρ οὗτος αὐτάρκης τοῖς σύμπασιν ἔδοξε καὶ ὥσπερ ἐπὶ ζυγοῦ τὴν μέν, ἐφ' ἧς οἱ πολλοί, ἐκούφισε πλάστιγγα, ἧς δὲ αὐτὸς εἴχετο, ἀντίθετον τοῖς ὅλοις εἰργάσατο. καίτοι τὴν πρώτην καὶ αὐτὸς ἀπώκνει* 75 *τὴν πρὸς τοὺς βαρβάρους ἀντίστασιν καὶ τῆς ἀρχῆς πάντων αὐτῷ εὐσεβῶς παρακεχωρηκότων ὑπεξίστατο, ἀνοιδήσασαν ἤδη τὴν τῶν πραγμάτων θάλασσαν δεδιὼς καὶ*

55–56 cf. Tob. 13,14 S **73–74** cf. Psell. ep. ad Caes. Duc. 5 (PG 122,1172 A 8–10), idem or. 7,63–64 (Littlewood) **75–79** cf. Chron. Pasch. 708,5–13 (Bonn)

75 *πρώτην* Kz. Dxl. *πρώην* V

κορυφωθέντα τὰ κύματα καταστεῖλαι μὴ πάνυ τολμῶν· οὐ
80 *γὰρ τὰ μὲν πρὸς ἑσπέραν ἡσύχαζε τούτῳ ἔθνη, τὰ δὲ πρὸς*
ἀνίσχοντα ἥλιον κεκίνητό τε καὶ ἐταράττετο, ἀλλὰ πρὸς
τοῖς δυσὶ τούτοις τμήμασι καὶ τὰ ἑκατέρωθεν ἐκυμαίνετο·
καὶ ξύμπας ὁ πέριξ κύκλος βαρβαρικῶς ὡς ἀληθῶς εἶχε
τοῖς Ῥωμαίοις καὶ δυσμενῶς.
85 *Ὥσπερ δὲ ἐν κακοῖς πλείοσιν ὁ Περσικὸς καθ' ἡμῶν*
ἐκράτει κλόνος καὶ τάραχος. ἦρχε γὰρ τηνικαῦτα τοῦ γέν-
ους Χοσρόης ἐκεῖνος, οὗ πολὺς ὁ λόγος ἐν στρατηγήμασι,
πλήθεσι μὲν ἀπείροις τεθαρρηκὼς ἢ ὁπόσοις Ξέρξης
ἐκεῖνος, ὁπηνίκα ἐπὶ τὴν Εὐρώπην διέβαινε, πλούτῳ τε
90 *πολλῷ πεποιθὼς καὶ γνώμῃ μέγα φρονῶν, καὶ πάντων μά-*
λιστα, ὅτι μηδὲν αὐτῷ τῶν πάντων ἰσοστάσιον εἰς ἀντιστά-
σεως λόγον ἐφαίνετο· κατέπτηχε γὰρ τοῦτον καὶ ἡ
πρόσοικος Ἀσία καὶ τῆς Λιβύης τὰ κράτιστα, Ῥωμαῖοι δὲ
μᾶλλον, καθὼς παρὰ τῶν τότε στρατηγούντων ἀγόμενοί τε
95 *καὶ συνταττόμενοι ἢ τυραννούμενοι μᾶλλον εἰπεῖν καὶ παν-*
τάπασι διασπώμενοι. ἐπεὶ δὲ ὁ θαυμάσιος τηνικαῦτα Ἡρά-
κλειος τῆς τῶν πολλῶν ἡττηθεὶς βίας μᾶλλον εἰπεῖν ἢ πα-
ρακλήσεως τὸν ὑπὲρ τῶν ὅλων ἀγῶνα εἵλετο καὶ διεζώ-
σατο τὸ τῆς βασιλείας ἀξίωμα, εὐθὺς τῶν ὅλων εἴχετο· καὶ
100 *διελὼν ἄριστα μὴ πᾶσιν ἀρκεῖν μέρεσι μηδὲ τὸ κατὰ*
βραχὺ συλλεγὲν ἐκείνῳ στρατόπεδον καὶ Εὐρωπαίοις κατα-
τέμνειν ἔθνεσι καὶ τοῖς ὅσοι τὴν Ἀσίαν ἢ τὴν Λιβύην τὸ
παλαιὸν ἐπῳκήκασι, τῶν ἄλλων ἀφέμενος πρὸς τὸ μάλιστα
λυποῦν ὀξέως ἐξέδραμε καὶ πρὸς τὴν Περσῶν χεῖρα
105 *προθυμεῖται τὴν πρώτην ἀνταγωνίσασθαι.*

88–89 cf. Hdt. 7,60,1 **92–96** cf. Theoph. chron. 300,1–3 (de Boor), ibid. 301,9–11 (de Boor) **101** cf. Theoph. chron. 303,25–26 (de Boor) **101–105** cf. Theoph. chron. 302,27–30 (de Boor), Georg. Pis. exp. pers. 2,55–59 (Pertusi)

Οὐδ' ὅλως οὖν ἀναβολὴν τῷ στρατεύματι δοὺς προλαμβάνει τῆς γνώσεως ἐκείνων τὴν κατ' αὐτῶν ἔφοδον καὶ τοῖς Περσικοῖς ὅροις ἀθρόον ἐφίσταται. καταπλήττει γοῦν εὐθὺς τῷ τῆς ὁρμῆς ἀδοκήτῳ τοὺς ἀλαζόνας ἐκείνους καὶ τῷ νικᾶν ἀεὶ συνειθισμένους· καὶ τέως ἀναστέλλει τούτοις 110 *τὰς κατὰ τῶν Ῥωμαίων ἐπιδρομάς, ἔπειτα τὰς ὁδοὺς αὐτοῖς ὑποτέμνει καὶ τὰς φάλαγγας διαιρεῖ καὶ κατὰ μέρος προσβάλλει καὶ τρέπεται (καὶ ἵνα τὰ ἐν μέρει συντέμω, ἵνα μὴ τὸ πάρεργον μεῖζον τοῦ ἔργου ποιήσωμαι) καὶ πρὸς αὐτὸν Χοσρόην θαρρούντως ἀνταγωνίζεται· καὶ τὴν ὄψιν* 115 *τρωθεὶς εἰς τὴν ἐκείνου καρδίαν τὸ βέλος ἀντιτοξεύει καὶ φυγάδα ποιεῖ τὸν τοῖς φεύγουσι κατόπιν ἑπόμενον. καὶ ὁ μὲν ὥσπερ ὁ Δαρεῖος πάλαι ἐπὶ τὴν ἑαυτοῦ ὑποστρέψας ταῖς τοῦ παιδὸς χερσὶ δεσμηθεὶς ἔκειτο· Σειρόης δὲ οὗτος ἦν, ἐπιμανεὶς μὲν τῷ πατρί, τῷ δὲ ἀδελφῷ βασκήνας, ὃν* 120 *ἐβούλετο ἐκεῖνος ἐς τὴν Περσικὴν ἀρχὴν ἀναγαγεῖν. ὁ δέ γε Ἡράκλειος τοὺς γενναίους κατὰ τῶν Περσῶν ἄθλους διηνυκὼς καὶ μέγιστον κατ' ἐκείνων ἀνειληφὼς τρόπαιον ἐπὶ τὴν Ῥωμαίων ἐπάνεισι γῆν τροπαιοφόρος ὡς ἀληθῶς καὶ μυρίαις νίκαις κατεστεμμένος τὴν κεφαλήν. ἐπανιὼν* 125 *οὖν ἐνταῦθά που καταλύει, τὸν χῶρον ἰδὼν καὶ στρατο-*

106–110 cf. Theoph. chron. 304,20–22 (de Boor), Georg. Pis. exp. pers. 2,274–277 (Pertusi) **110–113** cf. Theoph. chron. 305,21–22 et 26–28 (de Boor) **115–116** cf. Theoph. chron. 318,21–23 (de Boor) cf. Niceph. Patr. hist. syn. 19,9–12 (de Boor) cf. Theoph. chron. 327,8–10 (de Boor) **117–118** cf. Hdt. 4,135 **119–120** cf. Chron. Pasch. 728,12ff. (Bonn) **119** cf. Theoph. chron. 326,24–28 (de Boor) **119–121** cf. Theoph. chron. 325,20–21 (de Boor)

112 *διαιρεῖ* V *ἀναιρεῖ* u **113** *προσβάλλει* Kz. Dxl. *προβάλλει* V

πέδῳ καὶ βασιλεῖ ἀποχρῶντα. ἐντὸς δὲ τοῦ νεὼ γεγονὼς (βραχὺς δέ τις τότε τοῦτον ἐκύκλου περίβολος) ἀποθύει μὲν τῷ θεῷ χαριστήρια, ἀνατίθησι δὲ καὶ τῇ θεομήτορι
130 *τῆς κατὰ τῶν βαρβάρων νίκης ἀκροθίνια· καὶ τὸ ἔδαφος τοῦ σηκοῦ περιπτύσσεται καὶ πάντα ποιεῖ, οἷς εὐσεβὲς ἦθος χαρακτηρίζεται, πήγνυσί τε τὸ νικοποιὸν ἐνταυθοῖ ὅπλον, ᾧ μάλιστα πεποιθὼς ἐπὶ τοὺς βαρβάρους ἐστράτευσεν. ἀλλ' ὁ λόγος προκαταστῆσαί τι τοῦ διηγήματος βούλε-*
135 *ται.*

Τὸ σταυρικὸν τοῦτο σχῆμα ἄγει μὲν ἡμᾶς εἰς ἀνάμνησιν τοῦ ἐν αὐτῷ παγέντος Χριστοῦ, ἀφάτου δὲ χάριτος ἐμπέπλησται καὶ δυνάμεως. ἣν γὰρ ἀποχρώντως ἔσχεν ἀξίαν κατὰ τῆς τῶν δαιμόνων πάλαι ἐπιβουλῆς, τὴν αὐτὴν χάριν
140 *ἔτι σῴζει ἀμειαγώγητον, οὐ κατὰ τῶν ἀοράτων μόνον ἐχθρῶν, ἀλλὰ καὶ κατὰ συμπάσης ἄλλης ἡμῖν ἐπιστρατευούσης δυνάμεως. οἱ δέ γε πολλοὶ τῶν ἀνθρώπων καί, οἷς τὸ τῆς πίστεως ἁπλοῦν τοῦ ἀκριβοῦς προτετίμηται, ἀρχαγγελικοῖς τούτοις ὀνόμασιν ἢ ἄλλως μαρτυρικοῖς ἐκθειάζουσι,*
145 *διπλῆν ἐντεῦθεν ἑαυτοῖς τὴν χάριν πραγματευόμενοι, ὅση τε ἀπὸ τῆς τοῦ σταυροῦ ἰσχύος καὶ ὁπόση ἀπὸ τοῦ φημισθέντος ἐν τῷ τροπαίῳ ἀγγέλου ἢ μάρτυρος. τούτῳ τοιγαροῦν τῷ νόμῳ καὶ ὁ θαυμάσιος ἐκεῖνος κατακολουθῶν βασιλεὺς τὸ θεῖον τοῦτο καὶ ἀνίκητον σχῆμα τῷ ἀρχαγ-*
150 *γέλῳ Μιχαὴλ ἀνατίθησι καὶ προσηγορίαν αὐτῷ τίθησι τὴν ἐκείνου. καὶ ἦν τὸ μὲν ὁρώμενον ὁ τροπαιοφόρος σταυρός, τὸ δὲ ἀκουόμενον ὁ ἀρχιστράτηγος Μιχαήλ. καὶ δυεῖν ὀνομάτων ἀποτετύχηκεν οὐδενὸς ἢ μᾶλλον τῆς ἐν ἀμφοῖν δυνάμεως ἐπίσης τετύχηκε, τῷ τε σχήματι εὐθὺς κατα-*

140 cf. Psell. or. ad imper. (Kurtz-Drexl[1] 358,9–10), idem or. funebr. Cos. Leichudes (Sathas IV, 404,16), idem epist. 142 (Sathas V, 385,16)

πλήττων τὸ βάρβαρον καὶ τῷ θείῳ ἀρχαγγέλῳ καὶ στρατηγῷ τὰς ἐκείνων τρεπόμενος φάλαγγας. τὸ μὲν ὅσον ἐν προκαταστάσει, τοσοῦτον· ἐντεῦθεν δὲ ἡ διήγησις. 155

Τίθησι μὲν οὖν ἢ ἀνατίθησιν ὁ βασιλεὺς τῷ νεῷ τὸν σταυρόν. ἔμελλε γὰρ τοῦτον αὐτίκα μετακομίσασθαι καὶ μεταθήσειν πρὸς τὴν μεγαλόπολιν. ἀλλὰ θεῖον ἄρα ἦν τὸ πρὸ τοῦ καὶ τὸ τηνικαῦτα· κἀκείνου μὲν σημεῖον τὸ κατὰ τῶν Περσῶν τρόπαιον, τούτου δὲ τὸ θαῦμα τῆς μεταθέσεως ἢ τὸ τοῦ θαύματος μᾶλλον εἰπεῖν ἀμετάθετον. ἐπεὶ γὰρ οἱ τὸ θεῖον σημεῖον αἴρειν προστεταγμένοι ἀπαίροντι ἐκεῖθεν τῷ βασιλεῖ ἀνακομίζεσθαι ἔμελλον, θαῦμά τι γίνεται τῶν πώποτε γενομένων θαυμασιώτερον· οἱ μὲν γὰρ ἀπρὶξ εἴχοντο τοῦ σταυροῦ καὶ ἀνελεῖν ἐπεχείρουν, οὗ κατεπέπηκτο, ὁ δὲ ἄσειστος εἱστήκει καὶ ἀμετάθετος. καὶ οἱ μὲν πάσαις ἐχρῶντο δυνάμεσι, χερσὶν ἕλκοντες, ποσὶν ἀντερείδοντες, ὁ δὲ οὐδὲν ἧττον εἱστήκει ὥσπερ τις πρόβολος πέτρα τοῖς ἐμπίπτουσιν ἀτίνακτος κύμασι. καὶ τὸ μὲν θαῦμα ἤδη ἐγνώκεισαν καὶ ὅσον ἐπὶ τούτῳ ἀπεγνώκεισαν τὴν μετάθεσιν, ἀλλ' ὁ φόβος αὐτοὺς τοῦ κρατοῦντος καὶ παρὰ τὸ εἰκὸς τολμητίας εἰργάζετο. ὅθεν πολλάκις ἐπεχείρουν πρὸς ἀήττητον ἀνταγωνιζόμενοι δύναμιν, ἤνυον δὲ οὐδέν. ἐπεὶ δὲ ἡ τόλμα πρὸς ἀτοπίαν διέβαινε καὶ μετὰ τὴν γνῶσιν τοῦ θαύματος ἱεροσυλίας δικαίως ἄν τις γραφὴν ἐκείνοις ἐπήνεγκε, θαῦμα θαύματι ἕπεται, μεῖζον ἐλάττονι. τὴν μὲν πρώτην πυρὸς ἀφανοῦς σπινθῆρες ἐκεῖθεν ἀπέλαμπον. εἶτα δὴ σύμπας ὁ σταυρὸς ἐκπεφλόγιστο· 160 165 170 175 180

166–176 cf. Niceph. Sceuophylax encom. in Theod. Siceot. 47 (Kirch, Analecta Bolland. 20 [1901] 269,22–29) **170** cf. Basilio Minimo II, BZ 26 (1926) 30,15–17

158 *ἢ ἀνατίθησιν* del. P. Maas, BZ 37 (1937) 132

καὶ ἡ ἄναψις ἐπεδίδου κατὰ βραχὺ καὶ ταῖς κατ' ὀλίγον προσθήκαις εἰς τὸ σύμπαν κορυφωθεῖσα τό τε ἔδαφος κατενείματο καὶ τὰ τοῦ ναοῦ πέριξ· ἤδη δὲ καὶ εἰς τὸν ὄροφον ἐρριπίζετο καὶ ἐδόκει τὸ σύμπαν αὐτίκα καυθήσε-
185 *σθαι. τὸ μὲν οὖν πλῆθος εὐθὺς ἐκεῖθεν ἐξέδραμον καταπρησθήσεσθαι αὐτίκα οἰόμενοι· τὸ δὲ πῦρ ἄρα ἐκεῖνο τὴν παλαιὰν αὖθις βάτον κατέφλεγεν· ὅθεν ἔκαιε μέν, τὸν νεὼν οὐ κατέκαιε δέ, ἀλλὰ μᾶλλον ἀπηύγαστο καταπιμπράμενος ὁ περίβολος. ὥσπερ δὲ ἀφανῶς ἐξῆπτο, οὕτως*
190 *αὖθις ἀπέσβεστο μαρανθείσης κατὰ βραχὺ τῆς φλογώσεως καὶ τὸν ναὸν ἀναδειξάσης οἷον εἰλήφει τὸ πρὶν ἢ καθαρώτερον.*

Τοῦτο γοῦν ἐγὼ τὸ πῦρ οὐκ οἶμαι σωματικόν, εἰ καὶ οὕτω τοῖς πολλοῖς τότε ἑωρᾶτο καὶ ἐνομίζετο, ἀλλ' ὅ γε
195 *θεῖος ἀρχάγγελος ἐξ ἀΰλου τὴν οὐσίαν πυρὸς ἐσχηκὼς ἐπειδὴ τότε δόξαν αὐτῷ τῷ τῆς θεομήτορος ἀπαστράψοι ναῷ, ἡ νοητὴ ἀστραπὴ αἰσθητὴ φλόγωσις τοῖς βλέπουσιν ἐφαντάζετο· ἢ γὰρ ἔρωτα τοῦ θείου εἰληφὼς περιβόλου ἐνταῦθα εἶναί τε καὶ θαυματουργεῖν εἵλετο ἢ τὴν εἰκόνα τῆς*
200 *θεομήτορος σεβασθεὶς ὑποστρατηγεῖν αὐτῇ ὡς βασιλίδι προέκρινεν. εἰ δέ γε ὁ ἀληθὴς λόγος οὐ πάνυ δῆλος ἡμῖν, ἔστω τοῦτο ταῖς ἄνω δέλτοις πεφυλαγμένον καὶ ὁ λόγος ἐχέσθω τῶν ἐφεξῆς. ἀγγέλλεται τὸ θαῦμα τῷ βασιλεῖ. καὶ ὃς ἀκούσας τὴν πρώτην μὲν ἔφριξεν, ἐπεὶ δὲ συνήθρει τῷ*

186–187 cf. Exod. 3,2 **187–188** cf. Greg. Naz. or. 40,6 (PG 36,365 A 1–3) **193–195** cf. Pantaleon Diac. narrat. mirac. Michael. 4 (PG 140,546 A 10–13) **195** cf. Pantaleon Diac. encom. in Michael. (PG 98,1262 B 13–C 1) **197** cf. Ps.-Dionys. cael. hier. 2,4 (PG 3,141 C 5–9)

196 *ἀπαστράψοι* V *ἀπαστράψαι* ci. Kz. **201** *ἡμῖν* p. c. V

νῷ καὶ συνελάμβανε τὸ γινόμενον, θείαν ἐπιστασίαν ἡγεῖ- 205
ται τὸ πρᾶγμα καὶ ἀνακινεῖται πρὸς μείζονα. καὶ ὥσπερ
ἐπὶ θεμελίῳ τῷ θείῳ σχήματι, εἰπεῖν δὲ καὶ ἀγγελωνύμῳ,
ἐπικοσμεῖ μὲν καὶ τῇ θεομήτορι τὸν νεών, οἰκοδομεῖ δὲ
καὶ τῷ ἀρχαγγέλῳ οἶκον εὐκτήριον. καὶ ἵνα πρὸς τὸ
θαῦμα διαμιλλήσηται, καὶ Ναζιραίων ἐνταῦθα ἐφιστάνει 210
χοροστασίαν, ὥσπερ τάξεις ἀγγελικὰς ἐπὶ γῆς τῷ ἀρχαγ-
γέλῳ ποιούμενος καὶ ψυχὰς αὐτῷ ἀνθρωπίνας ἀναπτερῶν
καὶ μεταβιβάζων πρὸς τὸν θεόν· καὶ ἡ ὀφθεῖσα πρὶν φλὸξ
ταῖς τῶν ἀσκούντων ἐκεῖσε καρδίαις εἰσέτι ἀνάπτεται καὶ
πάντα τούτοις ὁ ἀρχάγγελος γίνεται. τοῦτο μὲν δὴ τοι- 215
οῦτον καὶ ὁποῖον ἄν τις παραβάλοι τοῖς μεγάλοις καὶ
ἱστορουμένοις παραδόξως ἀκούσμασι. εἰ δὲ καὶ πρὸς τὴν
θείαν ἐκείνην βάτον ἀντισυγκρίνοι τὸ ἐνταῦθα γινόμενον,
οὐκ ἂν παρ' ἔλαττον ἔλθοι τοῦ εἰκότος· μήποτε γὰρ καὶ
τότε ἀγγελικὸν πῦρ τὸ ἄφλεκτον ἐκεῖνο φυτὸν κατεφλόγι- 220
ζεν. ἔδει δὲ ὡς ἀληθῶς, ὥσπερ τότε μηνύον ἐκεῖνο τὴν
θεομήτορα ὁ πρῶτος ἐν ἀγγέλοις ἐφώτιζε Μιχαήλ, οὕτως
κἀνταῦθα εἰς τιμὴν τῆς θείας ἐκείνης καὶ μακαρίας φύ-
σεως τὸν αὐτὸν ἐνεργεῖν τὸ παράδοξον. τὸ δέ γε μετὰ
ταῦτα καὶ ὄψει πιστευθὲν καὶ ἀκοῇ δοθὲν ὁ λόγος δηλώ- 225
σων ἔρχεται.

Οὐ παντάπασιν οὐδὲ πάντοτε ὁμαλῶς ὁ ἐνταῦθα ῥεῖ
ποταμός, Σίβερις τούτῳ τὸ ὄνομα· καὶ οἱ πρόσοικοι τὴν

204–205 cf. Choniates hist. 487,76–77 (van Dieten) **210–211** cf. Greg. Naz. or. 42,26 (PG 36,489 C 8–9), Psell. chron. 6,18 (II 80,5–6 Renauld) **218** cf. Exod. 3,2 **219–222** cf. Pantaleon Diac. encom. in Michael. (PG 98,1262 C 1–5) **227–228** cf. vita Theod. Sykeot. 45 (40,15–17 Festugière)

205 *νῷ* ci. Kz. Dxl. *ναῷ* V **228** *Σίβερις* P. Maas (BZ 37 [1937] 132) et Dxl. p. 490 *Σύβερις* V *Σύβαρις* Kz.

τοῦ ῥεύματος φύσιν ἐπίστανται. οὐ πρὸ πολλῶν δὲ τῶν
230 *χρόνων ἀπὸ τῶν οἰκείων αὐτῷ πηγῶν πληρωθεὶς θηρὸς δί-*
κην βρυχώμενος ὑπεκύμαινέ τε σφοδρῶς καὶ πᾶν συνήρει
τὸ ὑποκείμενον· τοσοῦτον δὲ αὐτῷ ἐγεγόνει τὸ πάντα φέ-
ρειν καὶ ἄγειν, ὥσπερ ἐν πολέμῳ θατέρου τῶν στρατοπέ-
δων ἐπικρατήσαντος, ὡς καὶ τῶν δένδρων ὁπόσα ὑπερμήκη
235 *τε καὶ βαθύρριζα αὐταῖς ῥίζαις ὥσπερ τι τῶν εὐκολωτάτων*
μετατιθέναι μέν, οὗ πεφυτευμένα ἐτύγχανον, μεταφέρειν
δέ, ὅπῃ τὸ ῥεῦμα ὁρμήσειεν. οὕτω γοῦν ἀκαθέκτως ἔχων
καὶ δρῦν τινα μεγάλην ὑπερφυῶς καὶ τῷ βάθει· πρὸς τὸ
μῆκος ἐρίζουσαν τὴν πέριξ διανειμάμενος γῆν ἐκ θεμελίων
240 *αὐτῶν, ὃ λέγεται, κατασείει καὶ ὥσπερ ἐπιφορτισάμενος*
ταύτην τῇ γεφύρᾳ προσρήγνυσιν. ἡ δὲ μικροῦ δεῖν διε-
θραύσθη σύμπασα, εἰ μὴ τὰ παρὰ τοῦ μεγάλου Μιχαὴλ
πρὸς τὴν τηνικαῦτα ῥύμην ἀντήρκεσε· τὸ γὰρ τῶν
ἀγρογειτόνων πλῆθος πρὸς πᾶσαν ἀπειρηκότες βοήθειαν
245 *τὸν σταυρὸν τοῦ νεὼ ὑπεξαγαγόντες τῇ γεφύρᾳ τοῦτον ἀν-*
τήρεισαν· εἶτα δὴ καὶ τὴν τοῦ ἀρχαγγέλου δύναμιν
πολλαῖς εὐχαῖς τε καὶ παρακλήσεσιν ἐνταῦθα συνειληφότες
ἀπεκρούσαντο μὲν τὴν τοῦ δένδρου ἐπέρεισιν, τὴν δέ γε
γέφυραν ἀθρόον ἐπηνωρθώσαντο καὶ εἰς τὸ πρότερον
250 *σχῆμα ἀποκατέστησαν.*

Εἰ μὲν οὖν ἐλάττω τῶν λόγων τὰ τοῦ μεγάλου ἀρχι-
στρατήγου ἐτύγχανον ὄντα θαύματα, τὸν ἐντεῦθεν αὐτοῖς

234–240 cf. Niceph. Sceurophylax encom. in Theod. Siceot. 23 (Kirch, Analecta Bolland. 20 [1901] 261,9–13) **241** cf. Luc. 6,48 et vita Theod. Sykeot. 121 (98,27–28 Festugière) **245–247** cf. vita Theod. Sykeot. 45 et 141 (40,21–23 et 111,19–20 Festugière)

242 *παρὰ* Kz. Dxl. *περὶ* V **252** *ἂν* post *αὐτοῖς* add. Dxl.

ἐπέβαλλον κόσμον· ἐπεὶ δὲ κρείττω καὶ τοῦ διανοήσασθαι τὰ ἐκείνου τυγχάνει παράδοξα, ἀρκετόν, εἰ καὶ πρὸς ψιλὴν τῶν γεγονότων ἀρκέσω διήγησιν. ἅμα δὲ οὐδὲ τὸ τῶν θαυ- 255
μάτων πλῆθος τὸν λόγον ἐᾷ ἐφ' ἑκάστῳ τῶν θαυματουργηθέντων ἐνδιατρίβειν καὶ ἢ ἀκριβῶς τοῖς γεγονόσιν ἐπεξιέναι ἢ κάλλει ἐπιποιήτῳ κατακοσμεῖν καὶ τέχναις τισὶ μεγεθύνειν, ὁπόσαις οἱ πολλοὶ χρῶνται, ἐπειδάν τι τῶν μὴ πάνυ ὑπερφυῶν εἰς ὄγκον ἐξᾶραι βουληθεῖεν, ὥσπερ δὴ 260
λόγου δύναμιν, ἀλλ' οὐ τοῦ πράγματος ἐπιδεικνύμενοι. ἵν' οὖν καὶ τῷ λόγῳ τὸ εἰκὸς ἀπομετρήσω καὶ ταῖς φιλοθέοις ὑμῶν ψυχαῖς οὐκ ἐν κομψείαις λόγων, ἀλλ' ἐν ἀληθείαις πραγμάτων τὴν τοῦ ἀρχαγγέλου παραστήσω δύναμιν, ψιλῷ πρὸς ἕκαστον τῶν θαυμάτων τῷ διηγήματι χρήσομαι. 265

Δύναμιν μὲν θεοῦ μεγάλην τὴν κάμπην ὁ προφητικὸς λόγος ὠνόμασεν· ἦν δὲ ὅτε πλείων καὶ τῆς ὥρας καὶ τῆς τοῦ ζῴου στάσεως ἡ ἐντεῦθεν πληγὴ τοῖς ἐνταῦθα ἐπεγένετο μέρεσιν. ἦν δὲ οὐκ ἀναίτιον τὸ κακόν, ἀλλὰ πρόφασιν ἔχον τὴν τῶν προσοίκων περὶ τὸν νεὼν καταφρόνησιν· 270
διὰ ταῦτα γοῦν καὶ πρώτως τὸν ἱερὸν τοῦτον σηκὸν τὸ τοιοῦτον κατενείματο ζῷον. καὶ ἦν ἰδεῖν τὰ πάντα κάμπης μεστά, τὸ ὑποκείμενον ἔδαφος, τοὺς ἑκατέρωθεν τοίχους, αὐτὸν τὸν ὑπερκείμενον ὄροφον. ἐπεὶ δὲ τοῦ θείου ἀρχαγγέλου ἐγεγόνει ἐπίκλησις, ξύμπαν ἀθρόως ἐντεῦθεν ἀπελα- 275
θὲν ἐπ' αὐτοὺς δὴ τοὺς ἡμαρτηκότας κατὰ κρίσιν ὥσπερ ἐπιστρατεύει ὧν ἐδεδράκεισαν. οἱ δέ, λογισμοῖς πρὸς τὸ πρᾶγμα χρησάμενοι καὶ ἑαυτοὺς γνόντες αἰτίους τῆς τηνικαῦτα κολάσεως, ἐπὶ τὸν ναὸν πανδημεὶ καταφεύγουσι καὶ

266 cf. Ioel 2,25

270 *ἔχον* u *ἔσχον* V Dxl. *ἔσχε* ci. Kz. **273** *μεστά* iu *μετὰ* V **277** *καὶ* post *δὲ* add. Kz. Dxl.

280 *ἱκετηρίους φωνὰς τῷ ἀρχιστρατήγῳ ἐκ μέσης ψυχῆς ἀναπέμπουσιν· ὁ δέ (καὶ τί γὰρ ἀγγέλου φιλανθρωπότερον ἐγγυτάτω τοῦ φιλανθρώπου λόγου πτερουμένου ἢ ἐνιδρυμένου;) ἐξευμενίζεται τούτοις ταχὺ καὶ ὥσπερ ἐπικλᾶται τοῖς ὀδυρμοῖς καὶ ἐλευθεροῖ τῆς πληγῆς· καὶ τὸ ζῷον*
285 *ἀθρόον ὥσπερ ὑπὸ συνθήματος ἐκεῖθεν μεταναστεύει καὶ πρὸς τιμωρίαν ἀρκέσαν διέφθαρτο.*

Τὸ μὲν οὖν κατὰ δαιμόνων κράτος ἀγγέλους ξύμπαντας ἔχειν πεπίστευταί τε πᾶσι τοῖς ὁπωσοῦν μετεσχηκόσι τοῦ θείου λόγου καὶ ὡμολόγηται· τῷ δέ γε μεγάλῳ τούτῳ ἀρ-
290 *χαγγέλῳ ἡ δαιμονία μάλιστα πληθὺς ὑποτέτακται· καὶ πεφρίκασι τοῦτον ξύμπαντες, οὐ μόνον τὴν φύσιν αὐτοῦ ὑποπτήσσοντες, ἀλλὰ καὶ εἰ κεχωρισμένον θεάσαιντο, τῆς οἰκείας εὐθὺς στεροῦνται δυνάμεως. μειρακύλλιον γοῦν τῶν ἀστειοτάτων – ἀλλ' ὢ τῆς τῶν δαιμόνων κακίας –*
295 *ἐφθόνησε γοῦν αὐτῷ δαίμων τῆς ὥρας καὶ προσβάλλει νυκτὸς καὶ πλανᾷ τούτῳ τὸν λογισμόν. καὶ ἐμεμήνει αὐτίκα· καὶ ἠθύμουν ἐπ' αὐτῷ οἱ τεκόντες (καὶ πῶς γὰρ οὐχί;) τῇ τε φύσει τούτῳ προσκείμενοι καὶ ἅμα διὰ τὴν ὥραν προσνενευκότες μάλιστα τῷ παιδί. ἀλλ' οἱ μὲν πᾶσιν*
300 *ἐχρῶντο ἀπαλλάξαι τὸν μεμηνότα τοῦ πάθους βουλόμενοι ὁ δέ γε δαίμων οὐδὲν ἧττον τῷ φθονηθέντι καθιδρύετο καὶ ἡ βασκανία μᾶλλον ἐπεκράτει τοῦ δεξαμένου τὸ πάθος πᾶσι γοῦν ἐξαπορήσαντες ἐπὶ τὴν τελευταίαν καταφεύγουσιν ἄγκυραν καὶ τῷ ἀρχιστρατήγῳ τὸν παῖδα ὑποτιθέασι.*
305 *καὶ ὁ μὲν χερσὶ τοῦ θείου σχήματος ἔψαυεν, ὁ δὲ αὐτίκα*

281–282 cf. Theod. Stud. or. 6,1 (PG 99,729 D 3–4)
305–307 cf. Mar. 9,26

281 *ὁ* Kz. Dxl. *οἱ* V **291–292** *ὑποπτήσσοντες* Kz. Dxl. *ὑποτπεύσοντες* corr. *η* s. l. V *ὑποπτήσοντες* iu
303 *πᾶσι γοῦν* V *πᾶσιν οὖν* u

οὐ σπαράξας μᾶλλον ἢ σπαραχθεὶς ἀφανῶς τοῦ παιδὸς ἀπανίσταται, μέγα κεκραγὼς καὶ ἐφ' ᾧ ἐπεπόνθει κατοδυρόμενος. τῷ δέ γε ἰαθέντι παιδὶ καὶ προσθήκην τοῦ καλοῦ ὁ ἀρχάγγελος δίδωσιν· εἰσποιεῖται γὰρ αὐτὸν τῷ ναῷ καὶ τοῖς ἀναγνώσταις ἐγκαταλέγει καὶ μέρος τῆς ἱε- 310 *ρᾶς ποίμνης ποιεῖται. εἰ μὲν οὖν βουλοίμην, ὁπόσα δὴ τῷ μεγάλῳ τούτῳ ἐνταῦθα τεθαυματούργηται, συλλήβδην ἐρεῖν, οὐκ ἂν φθάνοιμι ἱστορίας καὶ βίβλους πολλὰς ἐκτιθέμενος· τὸ δ' αὖθις τὰ πλείω τούτων κατασιγῆσαι ἀδικώτατον πάντῃ καὶ ἀτοπώτατον. ἵν' οὖν μοι κατὰ λόγον ὁ* 315 *λόγος χωροίη, τὸ πλῆθος τῶν θαυμάτων συστείλας ἐπ' ὀλίγοις καί, ὁπόσα ἡ καθ' ἡμᾶς ἀκοὴ χωρεῖν δύναται, τὸν λόγον ποιήσομαι.*

Τῷ μακαρίτῃ ἐκείνῳ Ἀρέθᾳ (ἀρχιποίμην δὲ οὗτος ἦν τῆς ἱερᾶς ταύτης μάνδρας) νόσος ἐπεγεγόνει δεινή, πρὸς 320 *ἣν ἥ τε τῶν φαρμάκων ἀπείρηκε δύναμις καὶ πᾶσα τεχνικὴ ἑτέρα βοήθεια. ἀπηγόρευτο οὖν αὐτῷ ἡ ζωὴ καὶ πάντα ἤδη ἐπιλελοίπει, ὁπόσα δὴ πρὸς τὴν ζωὴν ἐξαρκεῖ. καὶ ἡ μὲν τῶν μοναχῶν πληθὺς τὰ ἐπιτάφια τούτῳ προπαρεσκεύαζον, ὁ δὲ ὥσπερ τινὸς ὑποκινησάσης δυνάμεως* 325 *'ἀλλά μοι', φησί, 'τὸ σταυρικὸν σχῆμα μετακομίσατε, ὑφ' οὗ καὶ ἐν ᾧ ὁ μέγας μοι θαυματουργεῖ ἀρχιστράτηγος' καὶ Πέτρῳ τινὶ μοναχῷ, ἀνδρὶ θείῳ καὶ τοὺς ἀσκητικοὺς κανόνας πάντας ἐξακριβώσαντι, τὴν τοῦ νικοποιοῦ ξύλου ἐντέλλεται μετακομιδήν, εἰρηκὼς ὡς 'ἢ σωθήσομαι πάντως ἐν-* 330 *τεῦθεν ἢ τὸ σχῆμα περιπτυξάμενος τὰς ἐξιτηρίους φωνὰς προσφωνήσω τῷ ἀρχαγγέλῳ.' ἀλλ' ὢ τῆς τοῦ μεγάλου ἀρχαγγέλου δυνάμεως – ὁμοῦ τε γὰρ τεθέαται ὁ ἀρχιποίμην μετακομιζόμενον τὸν σταυρὸν καὶ τῆς κλίνης τέως ἀπροσδοκήτως ὑπεξανίσταται. εἶτα δὴ περιπτυξάμενος* 335

307 *ᾧ* V *ὧν* u **325** *ὁ* u *οἱ* V

τοῦτον καὶ κεφαλῇ καὶ στήθεσι περιθεὶς ἀθρόον καὶ παρ' ἐλπίδας τετύχηκε τῆς ἰάσεως. καὶ τοσοῦτον αὐτῷ τὸ περιὸν ἐγεγόνει τοῦ θαύματος, ὅτι πρὸ βραχέος βραχὺ μὲν ἀναπνέων, πυκνῶς δὲ ἀσθμαίνων καὶ πυρετῷ λάβρῳ ὑπο-
340 *καιόμενος τῇ ὑστεραίᾳ ἀνώρθωτό τε ἐρρωμενέστερον καὶ πρὸς πᾶσαν κίνησίν τε καὶ μεταχείρισιν εὐκίνητος ὤπτο καὶ σταθηρότατος.*

Ἀναισχυντεῖ δέ τις δαίμων (θρασὺ γὰρ τοῦτο τὸ φῦλον καὶ πᾶσιν ἐπιφερόμενον) καθ' ἑτέρου παιδός. ὁ δὲ ἐκ
345 *σπαργάνων αὐτῶν ἐκδέδοτο τῇ μονῇ καὶ ἀκριβεστέρας τυχὼν ἀγωγῆς εὐπαιδευσίας ὑπῆρχε μεστός. ἀλλ' ἐπανιόντα τοῦτον ἑσπέρας ἐξ ἀγροῦ τινος πρὸς τὸν νεὼν διετάραξεν ὁ μισάνθρωπος ἀθρόον παραφανεὶς καὶ περιπλανᾶται τούτῳ τοὺς λογισμούς. καὶ ἀκριβῶς μεμηνὼς τῷ θείῳ*
350 *προστρέχει νεῴ· ἔτι γὰρ αὐτῷ ἡ περὶ τούτου κρίσις ἐμεμενήκει. ὡς δ' ἐντὸς ἐγεγόνει τοῦ ἱεροῦ σηκοῦ, εὐθὺς ἀπήλλακτό τε τοῦ πάθους καὶ ὑγίαστο καθαρῶς, ἀγνοῶν, ὅ τι πεπόνθοι καὶ ὅπως ἀποκατασταίη. οὐ τοίνυν τάδε μὲν τῶν παθημάτων ταῖς τοῦ μεγάλου ὑπείκει ἐπιστασίαις, τάδε δὲ*
355 *δυσκόλως ἐξαφανίζεται ἢ πρὸς ταῦτα μὲν παρὰ θεοῦ ὁ ἀρχιστράτηγος δεδυνάμωται, πρὸς ἕτερα δὲ ἐλάττων τῆς ἑαυτοῦ εὑρίσκεται φύσεως; πολλοῦ γε καὶ δεῖ. καὶ δηλώσει τὸ κατὰ πάντων αὐτοῦ κράτος τὰ ἐφεξῆς συγγράμματα.*

360 *Ἐξήρθρωτό τις τὸ σῶμα καὶ παντελῶς δυσκίνητος ἦν (ὄνομα Νικήτας τῷ παρειμένῳ) καὶ ἐδεινοπάθει παρὰ τοῦτο ὁ ἐκεῖνον τεκών· μονογενὴς γὰρ αὐτῷ ὁ νοσῶν ἐτύγχανεν ὤν. τὰ μὲν οὖν πρῶτα τὴν ἐκ τῶν ἰατρῶν αὐτῷ βοήθειαν συνεσκεύαζεν· ἐπεὶ δὲ πᾶσα τέχνη πρὸς τὸ πάθος*

339 *λάβρω* u *λαύρω* V **341** *μεταχείρισιν* Kz. Dxl. *μεταχείρησιν* V **361** *παρὰ* V *περὶ* ci. Dxl.

ἠλέγχετο, τὴν ὑπὲρ τέχνην ἐπικουρίαν παρὰ τοῦ ἀρχιστρατήγου ἐπιζητεῖ. καὶ πρόσεισι τῷ ναῷ, τὸν παῖδα (ἵν' οὕτως εἴπω) ἐπισυρόμενος. καὶ ὁ τῆς ποίμνης ἡγούμενος τὴν τῶν μελῶν ἐγγυᾶται τούτῳ συνάρθρωσιν. ἐπαναπαύει γοῦν τῷ ξενῶνι, οὐχ ἵνα μαλάγματα τούτῳ ἐπιθείη οὐδ' ἵνα ἑτέραν τοιαύτην ἐπαγάγῃ βοήθειαν, ἀλλ' ἵνα οἰκειώσῃ τῷ θείῳ ἀρχιστρατήγῳ καὶ οὕτως αὐτῷ προσεπαγάγῃ τὴν ἐκείνου ἐπικουρίαν καὶ δύναμιν. καὶ ἀπέδωκε τῷ πατρὶ τὰς ἐγγύας, διαπορθμεύσας τῷ παιδὶ ἐκ τοῦ ἀρχιστρατήγου καθαρῶς τὴν ὑγίειαν. 365 370

Καὶ Κωνσταντῖνος δέ τις τὴν Ὀρεινὴν πατρίδα λαχὼν (χωρίον δὲ αὕτη εὐτυχὲς πάλαι καὶ πολυάνθρωπον) οὐκ εὐτύχημα φυσικόν, ἀλλ' ἀτύχημα δεινὸν καὶ ἐλεεινὸν ἐτύγχανε τῇ μητρί· σεσηπόσι γὰρ χυμοῖς τὸ σῶμα ἐξώγκωτο καί (ἵν' οὕτως εἴπω) διαλελώβητο. οὐ τοῦτο δὲ μόνον αὐτῇ ἀνιαρόν, ἀλλ' ὅτι καὶ οἱ πόδες τούτῳ ἐνοκλάσαντες προσηρμόσθησαν τοῖς μηροῖς· μετεκομίζετο γὰρ τῇ τεκούσῃ οἷα φόρτος ἄψυχος. καὶ οὐδεὶς αὐτῷ τῶν πάντων λύτρωσιν κατεπηγγέλλετο τοῦ κακοῦ καὶ ἦν ἀπειρηκυῖα παντάπασιν. ἀλλ' ἐπὶ τοῖς ἀπροσδοκήτοις μυστήριόν τι τελεῖται τῶν πώποτε γενομένων παραδοξότατον. ὁ τῶν νηστειῶν ἐφειστήκει καιρὸς καὶ ἡ πρώτη τῶν θείων ἑβδομάδων ἠνύετο, τῇ δέ γε πέμπτῃ τῶν ἡμερῶν εἰωθὸς οὕτως πανήγυρίς τις ἐτελεῖτο καὶ θειοτέρων λόγων ἀνάπτυξις καὶ ὁ σιτευτὸς μόσχος εἰς θυσίαν προὐτίθετο τῷ πατρί. συνήεσαν οὖν οἱ πολλοὶ τοῦ θαύματος κοινωνήσοντες. καὶ δῆτα καὶ ἡ τοῦ διεφθορότος μήτηρ ἐπωμάδιον ἄχθος ἀραμένη τὸν παῖδα τῷ ἱερῷ καθαγίαζει σηκῷ, ἐν καιρῷ τοῦτον τῇ 375 380 385 390

375 *Ὀρεινὴν* Kz. *ὀρεινὴν* Dxl. **390** *θαύματος* V *θύματος* ci. Kz. **391** *ἀραμένη* V *ἄρασα* ci. Kz. Dxl. **392** *καθαγιάζει* Vu *καθαγίζει* i mg. man.[1]V

μεταλήψει τῶν θείων δώρων προσοίσουσα. πρὸ δέ γε τῆς τελετῆς ἀποφορτίζεται τοῦτον ὥσπερ τι φορτίον ἀναί-
395 *σθητον ἔν τινι τοῦ νεὼ μέρει. ἐπεὶ δὲ τὰ πρὸ τῆς θυσίας ετελεῖτο παράδοξα καὶ τὸν ἱερέα ἔδει τὰς χεῖρας ὑψοῦν καὶ πάντες ὀρθοὶ πρὸς τὸ ἐκείνου σχῆμα καὶ τὴν φωνὴν ἔστησαν, συσφίγγεται καὶ ὁ παρειμένος ἀθρόον καὶ τοὺς πόδας ἐπελαφρίζεται καὶ ἐξαπλοῖ τούτους πρὸς τὴν τῶν*
400 *ἄρθρων συνθήκην καὶ διανίσταται παρ' ἐλπίδας· καὶ ἐξανίσταται καὶ τῶν τελουμένων μέρος γινόμενος καθιστᾷ ἑαυτὸν ἐπὶ τῆς τάξεως καὶ μηδενὸς ὑπερείδοντος τῷ θείῳ βήματι πρόσεισι καὶ μεταλαμβάνει τοῦ θύματος· καὶ ὑγιὴς τῇ μητρὶ ἀποδίδοται. ἀρκεῖ μὲν καὶ τοῦτο τὴν μεγάλην*
405 *τοῦ ἀρχαγγέλου ἐπιδείξασθαι δύναμιν καὶ τὴν ἐν τῷ θείῳ τούτου ναῷ ἐμφάνειάν τε καὶ ἐπισκίασιν. ἀλλὰ τὰ ἐφεξῆς θαυμασιώτερά τε καὶ ὑψηλότερα.*

Ἀνήρ τις τῶν ἐνταῦθα ἀγρογειτόνων πρὸς τὴν Νικομήδους σὺν πολλοῖς ἑτέροις ἀπαίρει· ἡ δὲ τῆς ἀφίξεως αἰτία
410 *ἐμπορία καὶ πραγματικὰ συναλλάγματα. ἐπεὶ δὲ τὰ τῆς χρείας αὐτῷ ἐτετέλεστο, εἰς τὴν οἰκείαν αὖθις ἐπανῄει πατρίδα. βροντῶν τε αὐτῷ ἀθρόον ἐν ὑπαίθρῳ καταρραγεισῶν τοῦ τε κεραυνίου πυρὸς μικροῦ δεῖν καταφλέγοντος ὁ ἀνὴρ εἴτε δαιμονίῳ κατά τινα περίπτωσιν ἁλοὺς πνεύματι*
415 *εἴτε φόβῳ διασεισθεὶς τὴν ψυχήν, οἷα πολλὰ περὶ τοὺς εὐπτοήτους συμβαίνει παθήματα, τῶν φρενῶν ἐκπεπτώκει καὶ πεπλανημένως εἶχε τῶν λογισμῶν. ἐπεὶ δὲ οἱ συμπαρόντες αὐτῷ ἐφιππάσαντες εἰς τὸ χωρίον, οὗ κατῴκει, μετήνεγκαν, ὁ μὲν καὶ τοῦ πλανᾶσθαι χείρων γενόμενος*
420 *ἀναισθήτως καὶ ἀκινήτως εἶχε παντάπασιν· ἐφίσταται δὲ*

394 *τελετῆς* Kz. Dxl. *τελευτῆς* V **418** *τὸ* u *τι* V

νυκτὸς ἑνὶ τῶν συγγενῶς ἐχόντων τῷ πεπονθότι ἔφιππός τις ὀφθείς, τὸ εἶδος ἀστράπτων, τὸ κάλλος ἀμήχανος· καὶ καταπλήξας τὴν πρώτην, αὖθις ἡμέρῳ καὶ βλέμματι καὶ φωνῇ ἐπιτάττει τῷ θεατῇ εἰς τὸν τοῦ ἀρχιστρατήγου ναὸν τὸν ἀναισθητοῦντα μετενεγκεῖν καὶ μὴ μέλλειν, ἀλλ' αὐ- 425
τίκα τοῦτο ποιεῖν. εὐθὺς οὖν ἐφ' ἁμάξης θέντες τὸν κείμενον (οὐ γὰρ ἦν ἑτέρως μετακινεῖν διαλελυμένως πάντῃ τοῦ σώματος ἔχοντα) προσφέρουσι τῷ θείῳ σηκῷ. οὐκ ἦν δὲ ἄρα ὁ νικοποιὸς σταυρὸς τότε ἐπὶ τοῦ ναοῦ πεπηγώς, ἀλλὰ τῷ τηνικαῦτα τῶν σκήπτρων ἐπειλημμένῳ μεγαλο- 430
πρεπῶς μετακεκόμιστο, εἶχε δὲ ἄρα οὗτος δυστυχῶς τοῦ κράτους τῶν ὑπηκόων τινὸς τυραννίδα κατ' αὐτοῦ μεμελετηκότος καὶ χεῖρα συχνὴν ἐπ' αὐτὸν ἄγοντος. ἀλλ' ὅ γε τοῦ ποιμνίου προστάτης τῆς τοῦ ἀρχαγγέλου εἰκόνος τὸν κείμενον ἐξαρτᾷ καί, ἐπειδὴ τὴν χεῖρα τῷ ἐλαίῳ χρίσας 435
ἐκεῖνον ὑπήλειφε καὶ καθηγίαζεν, ὁ πεπονθὼς καὶ τελούμενος ἀθρόον ἀνενεγκὼν καὶ τὴν πάρεσιν ἀποβαλὼν τῶν μελῶν ὤρθωτο παρ' ἐλπίδας. καὶ γνούς, ἅ τε πέπονθε καὶ ὧν αὖθις τετύχηκεν, εὐχαριστηρίους φωνὰς τῷ ἀρχαγγέλῳ ἠφίει. 440

Ἀλλὰ πῶς ἂν ὑπερβήσομαι τὸ κατὰ τὸν Μοῦχαν διήγημα; ἀνὴρ δέ τις ἦν οὕτω καλούμενος, τὸ γένος ἀκλεής, τὴν ψυχὴν ἀγεννής, τὴν γνώμην εἰ καί τις ἄλλος σκαιότατός τε καὶ πονηρότατος. οὗτος ἀφανεῖ τύχῃ τὰ πρῶτα χρώμενος ἀθρόον εὐδαιμονεῖ, κακοδαιμονεῖ δὲ μᾶλλον εἰ- 445
πεῖν οἰκειότερον. καὶ τῆς πατρίδος ὠνεῖται τὴν ἐξουσίαν

421 cf. Pantaleon Diac. narrat. mirac. Michael. 27 (PG 140,586 C 10–D 1 **422** cf. Theod. Stud. or. 6,9 (PG 99,741 B 7–10

καὶ ἀφ' Ἑστίας τοῦ κακουργεῖν ἄρχεται, αὐτοὺς δὴ τοὺς ὁμοπατρίους πρώτως ἑαυτῷ καταθύων καὶ οὕτως εἰπεῖν ἀποσφάττων. ἐπεὶ δὲ τοὺς πολλοὺς κατειργάσατο (ἀλλὰ
450 *πῶς ἂν εἴποιμι τὸ δεινόν;), λυττᾷ καὶ κατὰ τοῦ θείου τούτου νεώ· καὶ ἐπειδήπερ ὁ θεῖος ἀρχάγγελος πολλάκις αὐτὸν συνεῖχε πονηρευόμενον ἀπήλεγχέ τε τὰ πολλὰ καὶ δεινοῖς ἐκόλαζε πάθεσιν, ὁ πάντα θρασὺς ἐκεῖνος καὶ ἀκάθεκτος τὴν ὁρμὴν ἀντιμάχεσθαί τε τῷ ἀκαταμαχήτῳ ἐπει-*
455 *ρᾶτο καὶ ἀλόγους ἠφίει φωνάς, ὥσπερ ὑβρίσαντα ἀνθυβρίζων καί (τοῦτο δὴ τὸ ἀτοπώτατον καὶ εἴη εἰς κεφαλὴν αὐτοῦ τὸ ῥηθέν) ἀντιλακτίζων λακτίσαντι· οὐκ εἴρηκεν οὕτω καὶ μόνον, ἀλλ' ἐχρήσατο καὶ τῷ σχήματι. ὡς δὲ τὸν πόδα παρέτεινεν ἡ ἀλογωτάτη φύσις ἐκείνη καὶ ὄντως ἱπ-*
460 *πεία, οὐκ εἶχεν αὖθις συναγαγεῖν· ἔμεινε γὰρ συντεταμένος ὁ πους ἄχρι παντός, ὥσπερ οὐ συνηρθρωμένος, ἀλλ' οὕτω μονοφυὴς πεπλασμένος. αἱ γὰρ θεῖαι δυνάμεις κατὰ διττὸν ἐνεργοῦνται τὸν μερισμόν, τὰ μὲν εὐεργετοῦσαι, τὰ δὲ κολάζουσαι. οὕτω καὶ ὁ τοῦ ἀρχαγγέλου θεὸς τὸν μὲν*
465 *ἐξηραμένην ἔχοντα τὴν χεῖρα ἰάσατο καὶ πολλὰ ἕτερα πεποίηκε θαύματα, τῇ δέ γε συκῇ κατηράσατο, ὁμοῦ μὲν καὶ τὸ ἕτερον εἶδος τῆς δυνάμεως ἐνδεικνύμενος, ὁμοῦ δὲ καὶ τῶν ἀνθρώπων φειδόμενος καὶ κατὰ τῶν ἀψύχων τῷ παραδείγματι χρώμενος. τοιοῦτον μὲν δὴ τὸ γεγονὸς*
470 *θαῦμα, ὅμοιον δὲ καὶ τὸ μετὰ τοῦτο, ὃ δὴ λέξων ὁ λόγος ἔρχεται.*

Οὐδὲν ἄρα χεῖρον γνώμης θρασείας καὶ πάντα τολμώ-

464–465 cf. Mar. 3,1 **466** cf. Matt. 21,19–20 et Mar. 11,13–14 et 20

447 cf. CPG I 14,9–11 **448** *πρώτως* V *πρώτους* Kz. Dxl. **456** *εἴη* V *ἴοι* ci. Kz. **465** *ἐξηραμένην* V *ἐξηραμμένην* Kz. Dxl.

σης. ὥσπερ γάρ τισι τῶν ἀπίστων ἐθνῶν καὶ ἱστορεῖται παρὰ τοῖς Κελτοῖς τοῦτο, ὅτι οὐδὲν αὐτοῖς τῶν πάντων φοβερὸν καὶ ἀπόρρητον, ἀλλ' οὐδὲν μέλον αὐτοῖς, εἰ καὶ 475 *πρὸς τὸν οὐρανὸν ἐπιτοξάσαιντο, βεβηλοῦσί τε θυσιαστήρια καὶ ποσὶν ἀνάγνοις ἱερὸν κατακροτοῦσιν ἔδαφος, οὕτω δή τις ἀνὴρ τῶν οὐ πολὺ πρὸ ἡμῶν τὴν οἴκησιν ἐνταῦθα λαχών, Εὐθύμιος τοὔνομα, πρᾶγμά τι τολμᾷ φρικωδέστατον· τυραννίδος γάρ (ἵν' οὕτως εἴπω) καταρραγείσης τῷ* 480 *τηνικαῦτα κρατοῦντι τῆς τῶν Ῥωμαίων ἀρχῆς ὁ δεινὸς οὗτος ἀνήρ, δέον προσκεῖσθαι τῷ αὐτοκράτορι καὶ εὐμενῶς ἔχειν, εἰ μή τι ἄλλο, εὐχὰς ὑπὲρ ἐκείνου ποιούμενος, ἢ (τό γε μετριώτερον) τῷ καθ' ἑαυτὸν βίῳ ἐφησυχάζειν, ὁ δὲ οὐδὲν ἀντιταλαντεύσας τὰς γνώμας εὐθὺς ὅλοις ἱστίοις* 485 *πρὸς τὸν τυραννήσαντα φέρεται. καὶ ἵνα μετὰ χρηστοτέρου τούτῳ συνθήματος παραγένοιτο, λαθραίως ἔνδον τοῦ ναοῦ γενόμενος ἱεροσυλεῖ τὸν θεῖον σταυρόν, συμμαχικὴν ὄντως καὶ ἀκαταμάχητον δύναμιν κομιούμενος τοῦτον τῷ τυραννήσαντι. εἰς γοῦν πήραν ἐνθεὶς ὥσπερ ἄλλο τι τῶν εὐκ-* 490 *ολωτάτων τὴν πρὸς ἐκεῖνον διῄει. ἐπεὶ δὲ πρὸς τῷ Σαγγάρει ποταμῷ ἐγεγόνει, ξεναγεῖ τοῦτον ἀνὴρ τῷ ὄντι θεοσεβὴς καὶ τὰ θεῖα πεπαιδευμένος τιμᾶν, ὥς γε ἡ πρᾶξις παρέστησε. ὡς γὰρ τὸν ἄνδρα ἐν τῇ ξενίᾳ καταγαγὼν ἀνέπαυσε καὶ τὰ τοῦ φόρτου αὐτῷ διετίθετο καὶ ἐν καλῷ* 495 *ἐτίθετο, ἐπειδὴ αὐτῷ καὶ ἡ τοῦ ἀνδρὸς ἐσπούδαστο πήρα, ἤχου τινὸς ἀθρόον ᾐσθάνετο· καὶ τοῦτο καταπλαγεὶς τὸν ἱερόσυλον ἤρετο· 'μή τί γε, ἄνθρωπε, θεῖον ἐνταῦθα κατακρύπτεις σταυρόν, ἢ λάθρα ποθὲν ὑφελόμενος ἢ τοῦ θείου*

473 *παρά* post *γάρ* add. Dxl. aut verbum aut praepositio post *γὰρ* deficit? Wk. **475** *οὐδὲν μέλον* Wk. *οὐδὲν* (an *οὐδε*?) *μᾶλλον* V *οὐδὲ μᾶλλον* iu *οὐδὲ μέλον* Kz. Dxl. **491** *πρὸς*[1] V *παρ'* Kz. Dxl.

500 *καταφρονῶν σχήματος;' ὁ δὲ πάντα δεινὸς ἐκεῖνος καὶ ἀναιδὴς τὴν ψυχὴν μηδὲν τοιοῦτον ἔχειν ἐν τῇ πήρᾳ ἐπώμνυτο. ὁ δὲ θεῖος τύπος αὖθις ὑπήχει· καὶ ὁ ξενίσας τὸν ἀσεβῆ ἔτι μᾶλλον περιεργότερον ἐζήτει τὸ πρᾶγμα· καὶ τοῦ θύλακος πυκνῶς ἐφαπτόμενος, εἶτα δὴ καὶ διελὼν τὸν*
505 *θεῖον ἑωράκει σταυρόν, εἴδεσί τισιν αἰσχίστοις ἀτιμαζόμενον, ἃ δὴ ἐπικαλύμματα τούτῳ ἐπέκειτο. ἔγνω γοῦν αὐτίκα, ὡς ἱερόσυλος ὁ δεινὸς ἐκεῖνος ἀνὴρ ἐτύγχανεν ὤν. καὶ δεινῷ πρὸς τοῦτον ἀπιδὼν βλέμματι 'ὦ πάντα,' ἔφησε, 'τολμηρὲ καὶ τὴν γνώμην παντάπασιν ἀναιδέστατε, ἔστω,*
510 *κέκλοφας τὸν σταυρόν· τί δὲ καὶ οὕτως ἠτίμωκας; τί δὲ τῷ κακῷ κακὸν προστέθεικας ἕτερον; ἔδει μὲν οὖν αὐτίκα σε ποιῆσαι καταφανῆ καὶ πολλοῖς ἐτάσαι κολαστηρίοις· ἀλλ' ἐπειδὴ οὐκ οἶδα, εἰ κατὰ γνώμην τοῦτο τυγχάνει τῷ μεγάλῳ ἀρχιστρατήγῳ, οὗ δὴ σὺ τὸν νεὼν σεσύληκας,*
515 *ὥσπερ διωμολογηκότα σὲ μὲν ἀφίημι τῶν ἐλέγχων καὶ τῶν ἐτάσεων, ἐγὼ δὲ τὸν θεῖον σταυρὸν ἀποδώσω τῷ νεῷ ἀφικόμενος.' καὶ αὐτίκα τὸ σχῆμα ἱερῶς περιπτύξας καὶ μεγαλοπρεπῶς τῷ ὄντι τετιμηκὼς ἐλθὼν ἀποτίθησιν ἢ ἀνατίθησι τῷ νεῷ.*
520 *Ἐφ' οἷς καί τι συμβαίνει θαυμασιώτερον. οὐ πάνυ τῇ τοῦ σταυροῦ θήκῃ καθήρμοστο· ἀπωλώλει γάρ τι τῶν προσηλωμένων αὐτῇ. ἀκαθάρτῳ δέ τις τὸ τηνικάδε ἐλαυνόμενος πνεύματι ὥσπερ ἀπό τινος θείου κελεύσματος ἐπὶ τὸν τοῦ ἱεροσύλου ἀφικνεῖται οἰκίσκον· καὶ τὸ ἀπολωλὸς*
525 *εὑρηκὼς εὐθύς τε ἀπεδίδου τοῦτο καὶ τοῦ δαίμονος ἀπηλλάττετο.*

Οὐκ ἂν παρέλθοιμι τὸ κατὰ τὸν Νικηφόρον πρᾶγμα

524–525 cf. Luc. 15,4–5

518–519 *ἢ ἀνατίθησι* del. P. Maas (BZ 37 [1937] 132)

οἷον θαυμάσιον. νεωκόρος ἦν οὗτος καὶ θρέμμα ἐπαινούμενον τῇ μονῇ, νοσεῖ δὲ τὰ ἄρθρα ἀθρόως οὕτως δεινῶς, ὡς διαλελύσθαι παντάπασι· χολῶδες γάρ τι περίττωμα τὰς 530 *συμβολὰς τῶν μελῶν διελυμαίνετο τούτῳ καὶ τοσοῦτον αὐτὸν κατειργάσατο, ὡς διερρῖφθαι κατὰ τῆς κλίνης ἄχθος (τοῦτο δὴ τὸ τοῦ ἔπους) ἐτώσιον. ἀλλ' αἱ μὲν τῶν ἰατρῶν χεῖρες καὶ γνῶμαι ἀπειρήκεισαν τῷ νοσοῦντι, τῷ δέ γε ἀρχιστρατήγῳ οὐδὲν ἀπείρητο, ἀλλ' ὁ θεῖος σταυρὸς πολλά-* 535 *κις τούτῳ ἐπιτιθέμενος καὶ ὥσπερ τῶν ἄρθρων αὐτῶν καὶ τῶν μελῶν ἐφαπτόμενος οὕτω δὴ συνήρθρωσέ τε καὶ συνέσφιγξεν, ὡς ἅλλεσθαι καὶ πηδᾶν καὶ δοκεῖν κουφότερον εἶναι ἢ τὸ πρὸ τοῦ. ὥσπερ δὴ καὶ Λάζαρός τις μετὰ τὸ θαῦμα δὴ τοῦτο ἑαλωκὼς νόσῳ φρενίτιδι ὁμοῦ τε τὴν κε-* 540 *φαλὴν ὑπέθηκε τῷ σταυρῷ καὶ τὰς φρένας ἀθρόον συνήθροισεν, ὥσπερ οὐδ' ὁτιοῦν πεπονθὼς οὐδέ γε εἰδώς, ὅτι τοὺς λογισμοὺς τεθορύβητο. τοιαῦτα μὲν δὴ καὶ πολλὰ ἕτερα ὑπὸ πολλῶν τῶν χρόνων τεθαυματούργηται καὶ νῦν ἔτι ἐφ' ἑκάστῳ τῶν χρόνων θαυματουργεῖται. ὃ δὲ τελευ-* 545 *ταῖον ὁ λόγος ἐρεῖ, ἔστι μὲν δὴ καὶ τοῦτο μερὶς οὐ βραχεῖα τῶν παραδοξολογουμένων τῷ ἀρχαγγέλῳ, μᾶλλον δὲ παράδειγμα οἷον καθίσταται ἐλέους μὲν τοῖς εὐσεβεῖν περὶ τὰ θεῖα προαιρουμένοις, τιμωρίας δὲ τοῖς καταφρονητικῶς τῶν τοῦ ἀρχιστρατήγου πραγμάτων ἔχουσι καὶ ἢ ῥαθύμως* 550 *περὶ ταῦτα διακειμένοις ἤ τι τῶν ἀνατεθειμένων αὐτῷ ὑφαιρεῖν βουλομένοις. δηλώσει δὲ ἄμφω κατὰ ταὐτὸν θαυμαστῶς ἡ διήγησις.*

Ἐφραΐμ τις ὄνομα, τὸν μοναδικὸν βίον ἐνταῦθα ἑλό-

532–533 cf. Hom. Il. 18,104

533 *ἰατρῶν* iu mg. man.[2] V *ἱερῶν* V 537 *συνήρθρωσέ* V *συνήρμοσέ* u

555 *μενος, ἐγκρατῶς τε τῶν παθῶν εἶχε καὶ εὐλαβῶς παρὰ τὴν τοῦ ναοῦ διετίθετο ὑπηρεσίαν. τούτῳ δή τῷ θαυμασίῳ ἀνδρὶ καὶ οἰκέτης ἐγεγόνει θαυμασιώτερος· ὃς δὴ καὶ θεωριῶν κρειττόνων ἠξίωτο καὶ τῇ νυκτὶ ὁπόσα φωτὶ ἐχρῆτο πρὸς τὴν τῶν ἀδήλων κατάληψιν. οὗτος καὶ τοιαύτην ὄψιν*
560 *νυκτερινὴν πρὸς πολλαῖς ἑτέραις τεθέατο. ἑωράκει οὖν, ὡς ὁ τοῦ θείου ναοῦ ὀπισθόδομος πολλῶν ἀνδρῶν ἐπεπλήρωτο καὶ τὴν στολὴν λαμπροτάτων καὶ τὸ εἶδος θαυμασιωτάτων. εἷς δέ τις τούτων ἐξῆρχε, τὰ πάντα (ἵνα συνελὼν εἴπω) οἷος οὐκ ἄλλος· ἐξῄρηται γὰρ συμπάντων καὶ κεφα-*
565 *λὴν καὶ στῆθος καὶ τὸ σύμπαν τοῦ σώματος· κατήστραπτο δὲ καὶ ἀκτῖσιν ἀρρήτοις καὶ ἀπεικόνιστό πως πρὸς τὴν θείαν τοῦ ἀρχαγγέλου ἐμφέρειαν, ἣν ἡ τῆς εἰκόνος αὐτοῦ γραφὴ παριστᾷ. καὶ ὁ θεωρὸς τοῦτον μὲν ὁρᾶν οὐκ εἶχε τρανῶς. τοὺς γοῦν ὀφθαλμοὺς ἑτέρωσε περιτρέψας ὁρᾷ*
570 *τινα μοναχὸν τῶν γνωρίμων καὶ συνήθων αὐτῷ καὶ πολλὰς τῆς μονῆς οἰκονομίας ἀναδεξάμενον, οὐ πρὸ πολλοῦ δὲ τετελευτηκότα. καὶ ἰδὼν ἐθαύμασεν, ὅτι ζῶντι ἐῴκει ἤδη τεθνηκώς. καὶ περὶ τούτου μὲν οὐκ ἤρετο, πυνθάνεται δὲ αὐτοῦ, εἴ τινα χῶρον ἐν οὐρανοῖς τῶν λαμπροτέρων κεκλή-*
575 *ρωται. ὁ δὲ 'τὰ μὲν ἄλλα,' φησί, 'τοῦ κρείττονος φιλανθρώπου τετύχηκα καί μέ τις εἴληχε κλῆρος ὡραῖος τῷ ὄντι εἰς ὅρασιν, δέδοικα δὲ καὶ πάνυ δέδοικα τὸν μέγαν τοῦτον ἄνδρα, ὃν δή που πάντως εἶδες τῶν ἄλλων ἡγεμονεύοντα· ἐπισείει γάρ μοι φόβον ἀπόρρητον πικρῶς με λογιστεύων*
580 *περὶ ὧν αὐτῷ τὰς ἐνταῦθα διακονίας διῴκησα, καὶ ὥσπερ ἐν εὐθύναις πολλά με εἰσπράττων ὀφλήματα ὧν ἢ κακῶς*

579–582 cf. Orig. in num. hom. 24,3 (PG 12,762 B 6–12)

555 *παρὰ* V *περὶ* ci. Dxl. **556** *τῶ* post *θαυμασίῳ* add. a.c. V **580** *ἐνταῦ* V *θα* add. mg. V

διακεχείρικα ἢ ὑφήρηκα. καὶ εἰ μὲν εἰς τὸ μέλλον φιλανθρωπευθείη μοι, οὐ πάνυ μοι τοῦτο διωμολόγηται· τὸ δ' οὖν παρὸν τὸν ἄνδρα δεινῶς ἐκπεφόβημαι καὶ περὶ τοῦ μέλλοντος διστάζω τοῖς λογισμοῖς.' καὶ ὁ μὲν εἴρηκε 585 *ταῦτα, τὸν δέ γε θεωρὸν ὕπνος ἀφῆκεν εὐθύς. καὶ τὴν πληθὺν συλλέξας τῶν μοναχῶν διήγημα πεποίηται τὸ ἐνύπνιον καὶ εὐλαβείας πᾶσιν ἐγεγόνει ὑπόθεσις· εἰ γὰρ καὶ μὴ ἐνδεῶς ἔχουσι τῶν ἐνταῦθα αἵ τε ἀγγελικαὶ φύσεις καὶ αἱ θεῖαι τῶν τετελευτηκότων ψυχαὶ ἀλλ' ἀρκεῖ τούτοις τὸ* 590 *ἀκήρατον φῶς καὶ ἡ ἐν τῷ οὐρανῷ λαμπηδὼν ἢ μᾶλλον ἡ ὑπερκόσμιος ἀγαλλίασις, ἀλλὰ τήν γε πίστιν τῶν ὑπηρετούντων αὐτοῖς δοκιμάζουσι καὶ ὥσπερ δικασταὶ τῶν γινομένων προκάθηνται καὶ ἀκριβῶς πάντα λογίζονται· καὶ τοὺς μὲν ἀφιᾶσι στεφάνοις χρυσοῖς ἀναδοῦντες τὰς κεφα-* 595 *λάς, ὅσοι τὰς πίστεις ἀκηλίδωτοι ὤφθησαν, τοὺς δὲ δεινῶς ἐξετάζουσιν, οἵτινες περὶ τὰ πιστευθέντα ἐρρᾳθυμήκασιν ἢ πανουργότερον διετέθησαν. οὕτω γὰρ θεὸς κολάζει καὶ στεφανοῖ τοὺς ἐνταῦθα οὕτως ἢ ἐκείνως πεπραχότας· οὗ μιμητὴς μᾶλλον καθ' ἡμᾶς ὁ ἄγγελος ἀκριβής. καὶ τοῦτο* 600 *μὲν οὕτως καὶ ἐς τοσοῦτον.*

Ἐγὼ δέ, ἂν πάντα βουλοίμην ἐρεῖν, ὁπόσα οἱ τῶν θαυμάτων ἐνταῦθα ἐπιρρέουσι ποταμοί, σκιαμαχεῖν ἄντικρυς δόξαιμι ἢ μᾶλλον κυάθῳ τὴν θάλασσαν μετρεῖν εἰκασθήσομαι καὶ τοὺς κατ' οὐρανὸν ἀστέρας ἐξαριθμεῖν. εἰ μὲν 605 *γὰρ ὁ προλαβὼν χρόνος συνεῖλε τὰ θαύματα, εἰ καὶ ἀριθμοῦ ἐγεγόνεισαν κρείττονα, ἀλλ' οὐκ ἂν ὁ λόγος πρὸς τὴν διαχείρισιν τούτων ἀπώκνησεν· ἐπεὶ δὲ ὥσπερ τι*

595 cf. Apoc. 4,4 **604** cf. Basilio Minimo II, BZ 26 (1926) 17,29ff. **604–605** cf. Pantaleon Diac. narrat. mirac. Michael. 25 (PG 140,586 A 6–8)

608 *διαχείρισιν* Kz. Dxl. *διαχείρησιν* V

ῥεῦμα ποταμοῦ ἀεννάου τὰ ἐνταῦθα τελεσιουργεῖται πα-
610 *ράδοξα καὶ οὐκ ἔστι τις χρόνος, ἐν ᾧ τῶν πάντων οὐδεὶς*
παραδοξοποιΐαν τεθέαται, τί δεῖ τῷ λόγῳ δηλοῦν, ἅπερ ἡ
ὄψις παρίστησιν; ὥσπερ γὰρ ἡ πρὸ ἡμῶν γενεὰ καὶ ἡ πρὸ
ἐκείνης, εἴ τις ἀφορίζοιτο, τεθέανται τῶν τεραστίων πολλά,
οὕτω δὴ καὶ ἡ καθ' ἡμᾶς ἕτερα πάλιν μεμύηται, καὶ ἄλλα
615 *πάλιν ἴδοι ἡ μεθ' ἡμᾶς, καὶ ὁ σύμπας χρόνος ἐλεύσεται*
φέρων αἰεί τι παράδοξον. καὶ παράδοξον μὲν οὐδαμῶς, εἰ
ὁ ἀρχάγγελος Μιχαὴλ τῶν ὑπὲρ φύσιν τι θαυμασίως θαυ-
ματουργεῖ· τί γὰρ καινόν, εἰ ὅσα καὶ τῶν ἀνθρώπων οἱ εὐ-
σεβέστατοι δεδύνηνται, ταῦτα πράττοι καὶ ἡ ἀρχαγγελικὴ
620 *δύναμις; ἀλλὰ τοῦτο καινόν, ὅτι ὥσπερ τι τῆς συμπάσης*
γῆς ἐξαίρετον ἑαυτῷ τέμενος τὸν τῇδε λελόγισται νεὼν
καί, ὁπόσα οὐρανῷ, καὶ τῷ ἱερῷ τούτῳ ὑπερφυῶς παραγί-
νεται. διὰ ταῦτα οὖν ἄλλαι μὲν τῶν πόλεων ἑτέροις
κοσμοῦνται κάλλεσί τε καὶ θαύμασι, καὶ ἡ μὲν τῶν Ἰνδῶν
625 *δείκνυσι τὸν ἐλέφαντα, ἡ δὲ Περσῶν τὰ Ἐκβάτανα καὶ*
τὸν Νεῖλον ἡ Αἴγυπτος καὶ ἡ Μέση τῶν ποταμῶν τὴν τῆς
γῆς εὐφορίαν καὶ τὸ ἄλσος τὴν Δάφνην ἡ Ἀντιόχεια καὶ
αὖθις ἑτέρα ἄλλο τι τῶν ἐπισημοτέρων καὶ παρὰ τὰς ἄλ-
λας ὑπὲρ ἐκείνας· ὁ δὲ θεῖος οὗτος ναὸς καὶ ἡμέτερος τὸ
630 *κεφάλαιον τῆς ἀγγελικῆς τάξεως, τὸν θεῖόν φημι ἀρχι-*
στράτηγον Μιχαήλ. τί γάρ μοι πρὸς τοῦτον λειμῶνες καὶ
ἄλση καὶ ποταμοὶ ἀεὶ ῥέοντες ἢ θέρους μόνον παραδόξως
τοῖς ῥεύμασιν αὐξανόμενοι; ἐγὼ γὰρ καθ' ὑπερβολὴν καὶ
τοῦτό φημι, ὅτι, κἂν εἴ τις τῶν μεγίστων πόλεων τὸν οὐ-
635 *ρανὸν εἶχεν ἀνάθημα, ἐνικήσαμεν ἂν ἡμεῖς ἐκείνην τῷ με-*
γέθει τῆς ἀρχαγγελικῆς φύσεως. ὅθεν εἰ καὶ μὴ παντάπασι
τῶν ὡρῶν εὖ ἔχομεν, ἀλλὰ τὸ θέρος ἡμῖν φλογωδέστερον,
ἀλλὰ τῷ ἀρχαγγελικῷ κράτει ὑγιεινότεροι τῶν εὐκρασίαν

619 *δεδύνηται* u *δεδύνυνται* V **636** *τῆς* V *τήν* u

λαχόντων τυγχάνομεν. ὁπόσα γοῦν ἐκείνοις οἱ ζέφυροι δύνανται καὶ ὁ ἐκ τῶν ἄρκτων πνέων ἀναψύχων τὰ σώματα, 640
ταῦτα ἡμῖν ὁ ἀρχάγγελος δύναται. ἀπελαύνει γοῦν ἡμῖν καὶ πάθη δεινὰ καὶ νοσήματα χαλεπὰ τῷ παντοδαπὸν ἡμῖν τοῖς θαύμασιν γίνεσθαι.

Εἰ δ', ὥσπερ ἡμῶν ἐνταῦθα προΐστασαι, θεῖε τῶν ἀρχαγγελικῶν τάξεων ἀρχιστράτηγε καὶ τοῦ θεοῦ ἐγγύτατε 645
λειτουργέ (πρὸς σὲ γὰρ ἤδη τρέψαι τὸν λόγον τετόλμηκα, καὶ πᾶν μὲν ἡμῖν δεινὸν ἐξελαύνοις, πᾶν δὲ ἀντεισάγοις θυμῆρες), οὕτω δὴ καὶ κατὰ τὴν ἡμέραν τῆς ἀναστάσεως ταῖς σαῖς περιέποις πτέρυξι καὶ ὥσπερ ἄλλο τι νόσημα τῶν δεινοτέρων τὴν τῶν δαιμόνων καθ' ἡμῶν ἀναστείλῃς 650
φορὰν καὶ παραστήσεις θεῷ καὶ αὖθις ἐν καλοῖς κλήροις κατασκηνώσεις ὥσπερ λογάδας τῆς σῆς προστασίας, τοῦτο τῆς σῆς ἂν εἴη μεγαλειότητος καὶ δυνάμεως. καί σου τυγχάνοιμεν κἀνταῦθα μὲν εὐμενοῦς τε καὶ ἵλεω κἀκεῖθεν δὲ εὐμενεστέρου καὶ κρείττονος. 655

651–652 cf. Luc. 13,19

647 *ἐξελαύνοις* V *ἐξελαύνεις* Kz. *ἀντεισάγοις* V *ἀντεισάγεις* Kz. **649** *περιέποις* V *περιέπῃς* Kz. **651** *παραστήσεις* V *παραστήσῃς* Kz. **652** *κατασκηνώσεις* V *κατασκηνώσῃς* Kz. **653** *σου* V *σοι* u

ORATIO IN PRAESENTATIONEM DEIPARAE

Vere decet feminas ad Sanctum Sanctorum progredientes pie colere beatam Mariam virginem, quae est arca propitiatoriumque virgaque Aaronis (10 ff.). nam quae Heva mater in hortu iniuste fecerat iuste fecit Maria, atque ut Heva nova haec est sic Christus novus Adam (19 ff.). Mariae autem virginis convenit naturae singulari probaeque gestare totam vestem splendidam, infulam monilia inaures anulos et stolam per allegoriam intellectos (44 ff.). per allegoriam quoque intellegi possunt feminae quae lucernas ferentes beatam puellam tres annos habentem prosecutae sunt (80 ff.). haec tamen progrediens similis fuit nuptae in Cantico descriptae (104 ff.). Maria praeterea Sanctorum ad Sanctum ducta erat, ut hoc intraret mysteriaque disceret (120 ff.), et nunc salvatoris mater vitia Hevae correxit (163 ff.). beatam puellam denique in templo consideramus, sperantes nos recte intellegere quid significet haec praesentatio (183 ff.).

Occasio orationis huius fortasse fuit dies festus Praesentationis Mariae deiparae (21 Nov.).

6. *Λόγος, ὅτε προσηνέχθη ἡ ὑπεραγία θεοτόκος εἰς τὰ ἅγια τῶν ἁγίων*

Καὶ τί ἂν ἄλλο προσήκοι τῇ παναμωμήτῳ παρθένῳ καὶ γενησομένῃ τοῦ λόγου μητρί, ἵνα δὴ τοῖς τῆς ἱστορίας λόγοις ἑπώμεθα, ἢ παρθενῶνες σεμνοὶ καὶ νυμφῶνες σεπτοὶ λαμπάδες τε φαιδραὶ καὶ παστάδες ἁγναὶ προπεμπτήριά τε καὶ βασίλεια καὶ μεγαλοπρεπῆ εἰσιτήρια, οὐκ εἰς οἰκοδομημάτων μεγέθη οὐδ' εἰς κάλλη πόλεων καὶ λαμπρότητας ἀλλ' εἰς τὰ τῶν ἁγίων ἐνδότερα ἅγια, ἔνθα τὰ μυστικὰ σύμβολα καὶ τὰ τῶν ἀπορρήτων συνθήματα, ἔνθα ἡ κιβωτὸς καὶ τὸ ἱλαστήριον καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα; ἐχρῆν γὰρ ὡς ἀληθῶς τὴν ἄδυτον θεοῦ χρηματίσουσαν ἐντὸς τῶν ἀδύτων γενέσθαι, καὶ τὴν ἐσομένην ὑπὲρ ἡμῶν ἱλαστήριον αὐτὸ τὸ ἱλαστήριον κατιδεῖν τοῦ νομικοῦ γράμματος, καὶ τὴν ἐξανθήσουσαν ἡμῖν τὸν ὡραῖον βότρυν, τὸν κατὰ καιρὸν τὸ τῆς σωτηρίας γλεῦκος ἀποσταλάξαντα, τὴν τοῦ Ἀαρὼν κατοπτεῦσαι ῥάβδον, καὶ τὴν δεξομένην ἐκ τοῦ ἀγγέλου τὰ εὐαγγέλια μετὰ τῶν θείων συντετάχθαι δυνάμεων. ἣν γὰρ ἐξῴκισται ἡ προμήτωρ Εὔα, τὴν δεδομένην ἐντολὴν αὐτῇ παρὰ τοῦ πλάσαντος ἀθετήσασα, εἰς ταύτην ἡ θεομήτωρ λαμπρῶς εἰσοικίζεται·

10–12 cf. Heb. 9,4 **17–18** cf. Luc. 1,26–33

a 51v–56r; h 52r–57v – Toniolo 386–394.

1 *τοῦ μακαριωτάτου ὑπερτίμου φιλοσόφου κυροῦ Μιχαὴλ τοῦ Ψελλοῦ* pro *λόγος* ha *ψελοῦ* a *ὅτε – θεοτόκος* om. a ⟨*εὐλόν πάτερ*⟩ post *ἁγίων* h transp. a **8** *μεγέθη* To. *μεγέθει* codd. *οὐδ'* h *οὐδὲ* a **10** *ἀπορρήτων* ⟨*μυστηρίων*⟩ *συνθήματα* a **15** *ἐξανθήσουσαν* a *-ουσιν* h **16** *γλεῦκος* a *-κως* h **19** *ἣν* h *ὧν* a **20** *ἐντολὴν αὐτῇ* h transp. a

καὶ ὧν ἐκείνη παρὰ τὸν καιρὸν καὶ τὸ εἰκὸς ἥψατο, τούτων αὕτη εὐκαίρως καὶ κατὰ λόγον κατατρυφᾷ· καὶ παραχωρεῖ μὲν αὐτῇ τῆς εἰσόδου τὰ σεραφίμ, φυλάττειν τὴν
25 *Ἐδὲμ τεταγμένα παρὰ τοῦ πλάσαντος· τὸ δὲ τῆς ζωῆς ξύλον ἕτοιμον αὐτῇ εἰς μετάληψιν γίνεται· καὶ οὐδαμοῦ ἀπάτη, οὐδαμοῦ ὄφις, οὐδὲ ἐψευσμένη ἐπαγγελία θεώσεως, οὐδὲ ψεῦδος προτεινόμενον καὶ διορθούμενον ὕστερον, ἵν' ἐξ ἀπάτης κλέψῃ καὶ ἐκ παραγωγῆς ἀληθεύσῃ*
30 *καὶ συλήσῃ δι' ὑποσχέσεως τὸν θησαυρὸν τῆς θεώσεως. ὧν οὖν ἥμαρτεν ἡ προμήτωρ, τετύχηκεν ἡ θυγάτηρ· καὶ ἀντεδόθη τοῖς παρ' ἐκείνης ἐλαττώμασι τὰ παρ' αὐτῆς προτερήματα, ἵν', ὥσπερ ὁ σαρκωθεὶς λόγος γέγονε νέος Ἀδὰμ ἀντὶ τοῦ παλαιοῦ καὶ γεγηρακότος τοῖς παραπτώμα-*
35 *σιν, οὕτω δὴ καὶ αὕτη ἀντὶ τῆς προμήτορος χρηματίσῃ καὶ τὸ τῆς Εὔας πρῶτον παράπτωμα ἡ ἀντὶ τῆς Εὔας παρθένος αὕτη καὶ μήτηρ τοῦ θεοῦ διορθώσηται.*

Ἀλλ' οὔπω ταῦτα τῷ λόγῳ· μέλλει γὰρ ἔτι τὰ τῆς προπομπῆς καὶ ἡ τοῦ μεγάλου πατρὸς θυγάτηρ ὁμοῦ καὶ
40 *νύμφη προευτρεπίζεται· ἑστᾶσι δὲ παρὰ τὴν θύραν τῆς σκηνῆς οἱ τῶν παρθένων χοροί, τὸ πῦρ εὐτρεπές, ἡ λαμπὰς περιφανὴς καὶ ἀέριος, καὶ ἡ βασίλισσα ἔτι ἀπρόϊτος καὶ οὐ προελεύσεται, ἕως ἂν ἀκριβῶς καλλωπίσηται· ἀλλὰ 'τίς ὁ καλλωπισμὸς' ἐρήσεταί τις τῶν φιλοκάλων ἢ καὶ πε-*

22 cf. Gen. 3,1–6 **23–26** cf. Gen. 3,24 **26–27** Gen. 3,13 **27** Gen. 3,4–5 **33–34** cf. I Cor. 15,45 **40–42** cf. Matt. 25,1

27 *ἐψευσμένη ἐπαγγελία* a *-μένῃ -λίᾳ* h **29** *ἵν'* h *ἵνα* a **30** *ὧν* a *ἣν* h **32** *ἐκείνης* h *-νας* corr. *-νης* a **33** *γέγονε νέος* bis h *γέγονεν* a **34** *ἀντὶ τοῦ* a *ἀντοῦ* h *γεγηρακότος* h *-κότως* corr. *-κότος* a **35** *χρηματίσῃ* a *-τήσῃ* corr. *-τίσῃ* h **39** *προπομπῆς* h *προμποπῆς* a **41** *ἐντρεπές* a *εὐπρεπές* h **43** *καλλωπίσηται* a *καλλο-* h **44** *καλλωπισμὸς* h *καλλο-* a

ριεργοτέρων τὰς τῶν μυστικωτέρων ζητήσεις καὶ θεωρίας· 45
πότερον ἐσθής τις χρυσοϋφὴς πρὸς ἥλιον ἀνταυγάζουσα;
ἀλλὰ ταινίαι λαμπραὶ πρὸς τὴν κεφαλὴν διαδούμεναι;
ἀλλὰ στρεπτοί; ἀλλὰ περιδέραια; πολλοῦ γε καὶ δεῖ· ἡτοί-
μασται γὰρ ὁ τοιοῦτος κόσμος αὐτῇ καὶ ὥσπερ τὸ κάλλος
ἐν τῇ ψυχῇ ταύτης ἀστράπτει, οὕτω δὴ καὶ ὁ κόσμος περὶ 50
ἐκείνην ἐστί· κάλλος μὲν οὖν αὐτόματον τῆς κεκρυμμένης
αὐτῇ φύσεως ἡ τῆς εἰκόνος τελείωσις, ἡ πρὸς θεὸν ἀπὸ
τῶν ἀγαθῶν σπερμάτων ὁμοίωσις, ἡ ἀκριβὴς πρὸς τὸ
πρωτότυπον εἶδος ἐμφέρεια· ὁ κόσμος δὲ τίς; ὁ ἐκ τῶν
ἀρετῶν, ὁ ἐκ τῶν ἀρίστων πράξεων καὶ ἐνθέων καὶ οἵων 55
οὐδεὶς τῶν πάντων εὐμοίρησεν· ὥσπερ γὰρ ἐκ τῶν πρώτων
ἀφορμῶν καὶ σπερμάτων ἡ θεοειδὴς ἐκείνης ψυχὴ καθη-
γίασται, οὐδὲν τοῦ δεσμοῦ παραβλαβεῖσα τοῦ σώματος
ἀλλὰ καὶ τὴν γεηρὰν φύσιν τῷ παρ' ἑαυτῆς κάλλει τιμή-
σασα, καὶ οὔτε τις ἐγκόσμιος φύσις ἢ ὑπερκόσμιος παρεί- 60
κασται πρὸς τὴν ταύτης τελείωσιν, οὕτως καὶ ἡ ἐκ τῶν
ἀρετῶν ἐπιγεγονυῖα ταύτῃ εὐπρέπεια οὔτε πρὸς παρά-
δειγμα τίθεται πλὴν τοῦ θεοῦ οὔτε παράδειγμα ἑτέρῳ κα-
θίσταται, ὡς οὐκ ἐφικτῆς οὔσης τῆς πρὸς αὐτὴν ὁμοιώ-
σεως. εἰ δὲ πρὸς ἀναλογίαν ἐθέλοις τῆς ἔξωθεν εὐπρεπείας 65
τὸ ἐνδότερον κάλλος ὁρᾶν, ταινίαι ἅμα μὲν αὐτῇ ἡ ἀκρι-
βὴς περὶ τὸ θεῖον ὑπόληψις, τὸ λογικὸν τῆς ψυχῆς περι-
σφίγγουσα καὶ τὴν πλάνην ἀφαιροῦσα τῆς ἐπὶ θάτερα
μέρη κινήσεώς τε καὶ μετανεύσεως· κόσμος δὲ περιτραχή-

46 Hld. 1,2,5 **52–54** cf. Gen. 1,26 et I Cor. 15,49

45 *ζητήσεις* To. *-σης* codd. **46** *ἀνταυγάζουσα* a *ἀν-* om. h **48** *περιδέραια* Wk. *-δέρραια* codd. **48–49** *ἡτοίμασται* a *ἡτίμ-* h **50** *ταύτης* a *ταῦτῆς* h *ἀστράπτει* Wk. *ἔστραπται* codd. **54** *πρωτότυπον* h *προτ-* a **56** *πρώτων* bis a **66** *ταινίαι* a *-νία* h *ἅμα* om. h **69** ⟨*ὁ*⟩ *κόσμος* h

70 *λιος ὁ τῆς ἐκφωνήσεως τῶν θειοτέρων λόγος, κατ' εὐθὺ βάλλων τοῦ νοεροῦ ἐνθυμήματος καὶ τὴν ἐκείνου ἐξαγγέλλων ἀκριβεστάτην νόησιν· καὶ ἐνώτια μὲν χρυσοῦ αἱ λαμπραὶ παραδοχαὶ διὰ τῆς ἀκοῆς εἰσρεόντων τῶν διδαγμάτων τοῦ πνεύματος· δακτύλιοι δὲ λιθοκόλλητοι αἱ τῶν*
75 *ἀπορρητοτέρων ζητήσεις, τὸ ἀπλανὲς ἔχουσαι ἅτε τὸν ἀκρογωνιαῖον λίθον ἐντετυπωμένον ἐν ἑαυταῖς φέρουσαι· ἡ δὲ περιστέλλουσα τὸ σῶμα περιβολὴ ἡ τῆς παλιγγενεσίας ἐστὶ δύναμις, ὅλην ὁμοῦ τὴν φύσιν καταλαμπρύνουσα καὶ πᾶσι τοῖς μέρεσιν ἐξαρκοῦσα τῶν ἀρετῶν.*

80 *Τοιούτῳ κόσμῳ καὶ ἡ τριετὴς νύμφη κατακεκόσμητό τε καὶ κατηγλάϊστο, τῷ μὲν ἐνδοτέρῳ πρὸς τὸ ἔξω ἀρκέσασα εἰς παράδειγμα τῷ δὲ ἐκτὸς πρὸς τὸ ἐνδότερον ἀποχρήσασα εἰς τελείωσιν· γέγονε γὰρ αὐτῇ τὸ μὲν ἀφορμὴ σφραγῖδος, τὸ δὲ αὐτὸ τοῦτο σφραγὶς τῆς πρώτης ὑπάρ-*
85 *ξεως. τίνες δὲ καὶ αἱ παρθένοι, αἱ προηγούμεναί τε καὶ συνεπόμεναι; αἱ δὲ λαμπάδες, ὁποῖαι; καὶ πόθεν αὐταῖς τὸ πῦρ καὶ τὸ ἐξῆφθαι λαμπρῶς; μηδὲ τοῦτο γὰρ παραδράμωμεν· εἰσὶ γὰρ παρὰ τῷ Δαυεὶδ καὶ τῷ Σολομῶντι πρὸς τὴν τῆς νύμφης συντελοῦσαι πομπήν τε καὶ πανήγυριν·*
90 *ἐκεῖ μὲν παρθένοι, ἐνταῦθα δὲ νεάνιδες προσαγορευόμεναι· οἶμαι γὰρ τὰς μὲν προηγουμένας ἀγγελικὰς εἶναι τάξεις, προαγούσας τὴν νύμφην εἰς τὴν τελείωσιν, τὰς δέ γε ἑπομένας ψυχὰς εἶναι θεοειδεῖς, κατ' ἴχνος ἐκείνης βαινού-*

75–76 cf. I Petr. 2,6 **80–91** cf. Proteuang. Iac. 7,2 **85–91** cf. Ps. 44,15 et 67,26 atque Cant. 1,3–4 et 6,8

71–72 *ἐξαγγέλλων* To. *-γέλων* codd. **76** *ἀκρογωνιαῖον* h *ἀκρογο-* a **76** *φέρουσαι* h *φέρεσαι* a **89** *συντελοῦσαι* h *-οῦσα* corr. *οῦσαι* a **90–91** *προσαγορευόμεναι* a *-ώμεναι* corr. *-όμεναι* h

σας καὶ ἀπὸ τοῦ ταύτης φωτὸς τὰς οἰκείας ἀναπτούσας
λαμπάδας καὶ γινομένας μέρος τῆς τελετῆς· τὸ δέ γε πῦρ 95
οὐκ ἄλλο τι οἴομαι εἶναι ἢ τὸν θεῖον ἔρωτα, ὑφ' ᾧ κατα-
πιμπραμένη πᾶσα ψυχή, ἐπιτηδείως πρὸς τὴν μετάληψιν
ἔχουσα, ἀνάπτεταί τε εὐθὺς καὶ τελεῖται τὰ τελεώτατα.
Καλῶς γοῦν ἡμῖν ὁ λόγος ἐξείργασται, οἷόν τις προτέ-
λεια γεγονὼς τῆς νυμφικῆς ἐμφανείας μετὰ τοῦ παρθε- 100
νικοῦ ἀξιώματος· ἀλλ' ἀνάψωμεν τὰς λαμπάδας ἡμῶν τῆς
ψυχῆς, ὅσοι πρὸς τὴν προπομπὴν αὐτάρκεις ἐσμέν· ἰδοὺ
γὰρ ἀναπεταννύονται μὲν αἱ τῆς σκηνῆς θύραι· ἔξεισι δὲ ἡ
νύμφη. ἀλλὰ βαβαὶ τῆς αἴγλης καὶ τῆς λαμπρότητος –
ἔοικε γοῦν καὶ ἐπιλελησμένη τοῦ πατρῴου οἴκου καὶ τῆς 105
ἀνέκαθεν χάριτος καὶ ὅλη πρὸς τὸν νυμφίον ἀτρεμέσιν
ὄμμασι βλέπουσα· ὢ τῶν ὀμμάτων ἐκείνης, ἐοικότων εἴδει
περιστερᾶς, κατὰ τὸν σοφόν, καὶ προδιαγραφόντων τὸ τυ-
πικὸν εἶδος τοῦ πνεύματος· ὢ τοῦ τραχήλου, ὁρμίσκοις
ἀπεικασμένου· ποιήσωμεν οὖν καὶ ἡμεῖς αὐτῇ ὁμοιώματα 110
χρυσίου μετὰ στιγμάτων τοῦ ἀργυρίου· τί ποτε ταῦτα; οἶ-
μαι δὲ λόγους εἶναι τῶν ἡμετέρων ψυχῶν, οὐκ ἀρκοῦντας
μὲν ἐκείνῃ εἰς εὐφημίαν, ὁμοιώματα δὲ τῶν ἀρετῶν αὐτῆς
ἔχοντας μετὰ τῆς ἐπαργυριζούσης ἰδέας τῶν λέξεων. σέ γε
τῷ ὄντι, νύμφη περικαλλής, οὐθ' ὁ ἥλιος παρέβλεψεν ἐκ 115
γενέσεως ἀλλ' οὔτε οἱ τῆς μητρὸς υἱοὶ ἐμαχέσαντο· ἀλλ'
ἔθετο μέν σε τοῦ νοητοῦ παραδείσου φύλακα ὁ θεός· τε-
τήρηκας δὲ τοῦτον ὥσπερ εἰκός, ταῖς σαῖς ἐπιμελείαις πε-
ριτειχίσασα.

104 cf. Ps. 44,11 **107–108** Cant. 1,15 et 4,1 et 5,12 **108–109** Matt. 3,16 = Luc. 3,22 = Io. 1,32 **109–110** Cant. 1,10 **110–111** Cant. 1,11 **114–117** Cant. 1,6

98 τε a τι h **107** εἴδει a εἴδη h **110** οὖν καὶ ἡμεῖς h καὶ ἡμεῖς οὖν a

120 *Ἐπὶ τούτοις καὶ ἡ πρόοδος ἄρχεται· ὢ τῆς τῶν προηγουμένων τάξεως· ὢ τῆς τῶν ἑπομένων συντάξεως· βαβαὶ τῶν λαμπάδων· βαβαὶ τοῦ μυστηρίου καὶ τῆς ἀπορρήτου τελετῆς καὶ τῆς ἀρρήτου προπομπῆς καὶ τῆς μυστικῆς τῷ ὄντι σιγῆς· ὢ τοῦ μεγέθους τῶν προπεμπόντων· ὢ τῆς τῶν*
125 *δορυφορούντων λαμπρότητος· ὡς αἱ παρθένοι πᾶσαι συνεσταλμέναι καὶ φόβῳ ἅμα καὶ πόθῳ πρὸς τὴν νύμφην συννεύουσαι καὶ πρὸς τὸν ῥυθμὸν τοῦ ταύτης βαδίσματος ἑαυτὰς ῥυθμίζουσαι ἐμμελῶς· ἐγὼ δέ πως ἀκούειν δοκῶ καὶ φωνῶν ὑπερφυῶν καὶ ἀγγελικῶν· αἱ γὰρ ἐκτὸς τῶν*
130 *ἀδύτων ἐφεστηκυῖαι δυνάμεις ταῖς ἐνδοτέρω παρακελεύονται ἀνοῖξαι τὰς πύλας καὶ τὴν νύμφην περιφανῶς ὑποδέξασθαι· αἱ δὲ αὐτίκα τὸ ἱερὸν ἀναθέμεναι καταπέτασμα ἀντὶ τῶν ἐκτὸς ἑστηκυιῶν τάξεων τῇ παρθένῳ τελοῦσι τὰ τελεώτερα. ὢ τῆς θαυμασίας καινοτομίας· ὢ τῆς τῶν*
135 *μελλόντων μυστηρίων ἐκφάνσεως· τὰ χερουβὶμ φυλασσόμενα καὶ τὰ σεραφὶμ καλυπτόμενα, ἐφ' ὧν αὐτὸς μόνος ὁ λόγος ἐπανεπαύετο, τὰ καὶ τοῖς ὀλίγοις ἀθέατα, δι' ἃ τὸ καταπέτασμα καὶ ἡ πρώτη σκηνή, ἔνθα μηδεὶς τῶν πάντων εἰσῄει ἀλλ' ἅπαξ τοῦ ἐνιαυτοῦ τῷ ἱερεῖ ἡ εἴσοδος ἐπε-*
140 *τέτραπτο, τὰ μυστικὰ συνθήματα, τὰ ἀπόρρητα σύμβολα, οἱ τύποι τῶν ἀτυπώτων, αἱ περιβολαὶ τῶν κρυφίων, τὰ τῆς χάριτος προχαράγματα, παρθένῳ νεοτελεῖ παραχωρεῖταί τε*

128–132 cf. Ps. 23,7–10 **135–136** cf. Gen. 3,24 Is. 6,2 **137–138** cf. Exod. 39,19 et Leu. 16,32–34 atque Heb. 9,2 et 6–7

123 *προπομπῆς* a *προμποπῆς* h *μυστικῆς* a *-τηκῆς* corr. *-τικῆς* h **125** *παρθένοι* To. *-θέναι* h *-θένε* a **126–127** *συννεύουσαι* Wk. *συνεύ-* codd. **128** *ἑαυτὰς* To. *ἑαυτοὺς* codd. **137** *λόγος* h *λό λόγος* a *δι' ἃ* codd. *διὰ* To.

καὶ πιστεύεται· καὶ θεατὰ ταύτῃ τὰ ἀθέατα γίνεται· καὶ ἡ κιβωτὸς τῆς διαθήκης κυρίου οὐκ ἐμφανὴς μόνον τῇ θεομήτορι πρόκειται ἀλλὰ καὶ ψαύειν αὐτῆς κατ' ἐξουσίαν 145 *τοῖς πᾶσι δέδοκται· τίς δ' ἂν τῶν πάντων ᾔδει οἷα δὴ ἔνδοθεν αὐτῇ ἐτελέσθη μυστήρια, οἵων μὲν ἀπολελαύκει φωνῶν, οἵων δὲ κατετρύφησε θεαμάτων; εἰ δέ μέ τις εἰκάσαι δοίη τοῖς ἤδη τετελεσμένοις τὰ κρύφια, ἐγνώσθησαν αὐτῇ πάντως τῆς ἀληθείας τὰ σύμβολα· καὶ τὰ τῆς χά-* 150 *ριτος αὐτῇ ἀνεκαλύφθη μυστήρια, οἱ λόγοι τῆς κιβωτοῦ, τὸ σχῆμα τῶν χερουβίμ, ἡ τοῦ ἱλαστηρίου κατασκευή, ὁ τοῦ ἀδύτου τύπος, καὶ ἐπὶ πᾶσιν ἡ τῆς τριαδικῆς θεογνωσίας τελείωσις. ὡς ὑπερφυῆ ταῦτα καὶ ἀνθρωπίνης γνώσεως ὑπερκείμενα· παρ' ἡμῖν μὲν γὰρ πρὸς τὸ τῆς ἡλικίας* 155 *μέτρον ἡ τῆς ψυχῆς ἐμφαίνεται δύναμις, καὶ πρὸς ταύτην οἱ λόγοι τῆς χάριτος· ἐπὶ δὲ τῆς παρθένου οὐχ οὕτως, ἀλλ' εὐθὺς ἐκ πρώτης γενέσεως ἡ τελείωσις τῆς ψυχῆς, καὶ τριετὴς γοῦν οὖσα, ἐχώρει τὰ τελεώτερα, καὶ τῶν μυστηρίων ἡ δύναμις τὸ τοῦ σώματος αὐτῇ μέτρον οὐχ ὑπερέ-* 160 *βαινε· τοσοῦτον αὐτῆς καὶ πρὸ τῶν εὐαγγελίων τὸ μέγεθος, τοσοῦτον τὸ κάλλος καὶ πρὸ τῆς χάριτος.*

Ἐπηνώρθωταί σοι, προμῆτορ Εὔα, τὸ τῆς φύσεως ὀλίσθημα, καὶ ἡ τάξις ἀντέστραπται· παρὰ γὰρ τῆς παιδὸς ἡ τελείωσις· καὶ ἀπείληφας ὥσπερ τροφεῖον παρ' αὐτῆς τὸ 165 *καταπεπολεμῆσθαί σοι τὸν ἐχθρὸν καὶ μηκέτι πρὸς τὴν ἀπάτην ἀρκεῖν· καὶ σὺ μέν, ἡ τὴν ἡλικίαν ἀκμάζουσα, τῷ πονηρῷ παρελογίσθης θηρί, ἡ δέ σοι παῖς ἔτι νηπιάζουσα*

143–144 cf. Heb. 9,4 **163** [Io. Damasc.] hom. 6,1 (PG 96,656 A 2–3) **167–168** cf. Gen. 3,1–5 et II Cor. 11,3

148 *κατετρύφησε* a *κατα-* h **154** *ὑπερφυῆ* a *-φυᾶ* h **155** *πρὸς* a *παρὰ* h **167** *ἀπάτην* om. h

οὐδὲ πάροδον ἐκείνῳ πρὸς ἑαυτὴν δέδωκε· καὶ πρὸ τῆς
170 *ἐκπτώσεως δὲ αὔταρκές σοι ἦν σεμνολόγημα τὸ ὁμιλῆσαι*
θεῷ· ἡ δ' ἀπὸ σοῦ φυεῖσα καὶ μετὰ πολλοστὸν χρόνον
βλαστήσασα, αὐτὸν ἐν τῇ νηδύι τὸν τοῦ πατρὸς λόγον εἰσ-
δέδεκται καὶ παρ' ἑαυτῇ σωματώσασα, εἰς σωτηρίαν πᾶσι
προβάλλεται· καὶ πλεῖστα μὲν ἀπὸ τῆς σῆς ῥίζης τὰ μέ-
175 *χρις ἐκείνης βλαστήματα, ἀλλ' οὐδεμία σοι ἄμπελος ἀπο-*
χρῶσα τὸν βότρυν βλαστῆσαι τῆς ζωῆς. ἔμελλε δὲ ἄρα ἐξ
Ἰωακεὶμ καὶ Ἄννης τὸ καλὸν τοῦτο γέννημα ὥσπερ οὐ-
ρανὸς χρηματίσαι τῷ βίῳ καὶ τὸν ποιητὴν χωρῆσαι τῆς
κτίσεως.
180 *Ἀλλὰ δὴ καὶ ἡμεῖς, ἄχρι τῶν ἀδύτων τῷ λόγῳ τὴν νύμ-*
φην δορυφορήσαντες, ταύτην μὲν ἔνδον ἐάσωμεν χωρεῖν
τοῦ καταπετάσματος (οὐ γὰρ εἰσιτητὸν καὶ ἡμῖν τὸ θεῖον
τέμενος)· ἔξω δὲ καὶ πρὸ τῶν θυρῶν ἐφεστηκότες, τὰ τῆς
πρώτης σκηνῆς κατοπτεύσωμεν καὶ φιλοσοφήσωμεν καὶ
185 *περὶ τῶν ἐνταῦθα περιβόλων· εἰσὶ γὰρ ὥσπερ μοναὶ*
πολλαὶ τῷ λόγῳ τῆς ἀλήκτου καὶ εὐφροσύνης καὶ ἀναπαύ-
σεως, οὕτω καὶ πολλαὶ τῶν γνώσεων ἄνοδοι· τὰς δέ γε
λαμπάδας μὴ σβέσωμεν ἃς ἀνήψαμεν· μηδὲ ἐπιλίπῃ ἡμῖν
τὸ ἔλαιον, ἡ ἀφορμὴ τοῦ φωτός, ἀλλ' ἐπανάψωμεν μᾶλλον
190 *δαψιλεστέρῳ φωτί· εἰ γὰρ οὕτως ἔχοιμεν, παραστελήσεται*

169–171 cf. Gen. 1,26 et I Io. 3,4 **175–176** Abr. Eph. orat. in occur. dom. (M. Jugie, PO 16 [1922] p. 454,6) **181–182** cf. Heb. 6,19 **185–186** cf. Io. 14,2 **187–189** cf. Matt. 25,1–12

170 *αὔταρκές* a *-κέ* h **172–173** *-σασα – εἰσδέδεκται* mg. man.[1] a **173** *πᾶσι* a *ἆσι* h **177** *καλὸν* a *καλλὸν* h **181** *ταύτην* h *ταύτη* a **182** *εἰσιτητὸν* Fr. *ἰσιτητὸν* codd. **184** *κατοπτεύσωμεν* h *καταπ-* a **185** *εἰσὶ* Wk. *εἰ* codd. *ὥσπερ* a *ὡς* h **186** *καὶ*[1] om. h **189** *τὸ* om. h

καὶ ἡμῖν ποτε τοῦ ἀδύτου τὸ καταπέτασμα, καὶ οὐδεὶς ὁ κωλύσων εἰς τὰ ἐνδοτέρω χωρῆσαι μυστήρια καὶ κατοπτεῦσαι τὴν τῶν συμβόλων ἀλήθειαν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ 195 *καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.*

190–191 cf. Hld. 10,28,3

192 *ἐνδοτέρω* a *-ότερα* h *καὶ* om. h **195** *παναγίῳ* a *παγίω* h **196** *καὶ ἀγαθῷ* om. h *σου* om. h

ORATIO IN SANCTVM SYMEONEM METAPHRASTEM

Symeon et dicendi peritus et praestans virtute (7–15) Constantinopoli natus est, quae illustrem propter hunc illustrior est (15–29). nam adulescens etiamnunc sapiens (31) et sponte naturae suae eloquens philosophiae adeo studuit (43) ut philosophis et oratoribus iucundus (61–74) laudaretur omnibus ex partibus (75–81). genti autem nobili et locuplete, hic vir non luxuriae sed philosophiae indulsit (82–89), effugiens vitia non solum cynicorum et Platonicorum et Aristoteliorum (89–103) sed etiam oratorum (104–109). imperator tamen eum dilexit, quod Symeon consiliarius et omnium consiliorum interpres rem publicam prudenter administravit (117–129) atque valde defendit (133–140). omnino autem Symeon magnificentiam benevolentiam et largitatem ostendit (142–149).

Martyres beati et homines austeri admirabiliter vixerunt sed has vitas inepte scripserunt auctores qui et diligentiae et elegantiae et verborum compositionis eguerunt (167–183). quam ob rem multi vitas sanctorum intolerabiles ad legendum habuerunt et multi risu dignissimas (184–191). Symeon tamen solus has permultas polire ausus (191–200), praestitit multum ceteris hominibus qui Graecam historiam, qui geometrica, qui libros politos de Persicis aut de Babylonicis aut de Alexandro magno scripserunt (207–211). nam Symeon de verborum compositione curans, bonis de viris opera composuit ut homines in eloquentia atque in virtute proficerent non solum scripta sed etiam descriptos imitati (217–219). nam labo-

ravit eo consilio, ut evangelium confirmaret (221). sunt autem eruditi qui opera eius contemnant quod ignoretur aut ars dicendi aut naturae cognitio aut machinalis scientia aut philosophia (230–255). immo vero Symeon his commode utetur. oratio autem caute figuras et semper veritatem ita adhibet (256–260) ut eruditis atque vulgaribus placeat (260–265) quae omnia breviter exprimat (268–279). vitis deinde cum diligentia lectis, Symeon orationem commutavit atque res tenuit, sanctorum et patrias (285–290) et sedes et mores feliciter tractans (313–322). Symeonis autem scripta magis observata et imitata sunt quam mea cum multa et erudita tum a vulgo contemnata (324–329).

Imperatoris dicto parens, ut ita dicunt, Symeon hoc onus magnum suscepit, multis ad opus adiuvandum congregatis (330–334). nam alii vetera scripta perlegerunt et notaverunt loca ubi oporteret orationem poliri, alii haec correxerunt, alii omnia probaverunt (334–339). operis propter magnitudinem ipse tamen omnia etiam atque etiam non potuit revisere (339–341). sanctis tamen evangelistis similior quam doctis profanis (350–360), Symeon laboravit ut homines ad salutem pervenirent (361–365), quam ob rem nunc caelum incolit (367–369). nam arbitri dicunt Symeonem libenter mortem accepisse (372–375) atque – mirabile dictu! – mortuum usque bene olere dum alter idem in sepulcrum sepultus sit (376–383), hoc miraculo beatitatem demonstrante. sancte Symeon, utinam benigne quae scripsi ne irate quae omisi recorderis (387–392).

Occasio orationis huius fortasse fuit dies festus sancti Symeonis Metaphrastis (28 Nov.) in officio quod Psellus composuit (Kurtz Drexl I, 108–119; cf. Louis Petit, Bibliographie des acolouthies grecques. Subsidia Hagiographica 16 [Bruxelles 1926] 271).

7. Ἐγκώμιον
εἰς τὸν Μεταφραστὴν κῦρ Συμεών

Τὸν μέγαν ἐν βίῳ καὶ λόγῳ Συμεὼν ἐπαινεῖν προελόμενος, τὸ πάσης λαμπρὸν καὶ περιβόητον οἰκουμένης
5 *ὄνομα καὶ εὐτύχημα, οὐκ οἶδα, τίσι ποτὲ λόγοις περὶ αὐτοῦ χρήσομαι ἢ τί τῶν πάντων ἐρῶν ἀρκοῦσαν τὴν εὐφημίαν παρέξομαι. ἀνὴρ γὰρ ἐκεῖνος οὐ λόγῳ μόνον κοσμούμενος καὶ τόν τε νοῦν ἔχων εἰς νοημάτων γονὰς ἑτοιμότατον τήν τε γλῶσσαν οἷον δὴ τὸ Νειλῷον ῥεῦμα οὐκ*
10 *ἐν περιόδοις οὐδ' ἐκ διαστημάτων μακρῶν, ἀλλ' ὁσημέραι μυρίοις πληθύνουσαν πήχεσι καὶ εὐκαιρότατα πελαγίζουσαν, ἀλλὰ καὶ τὴν ἀπὸ τῶν ἠθῶν κράσιν καὶ τὸ πάσας συνειληφέναι τὰς ἀρετὰς καὶ τὸ παράδειγμα γενέσθαι τοῖς ζηλοῦν ἐθέλουσι μεγαλοπρεποῦς βίου καὶ σώφρονος σε-*
15 *μνυνόμενος. τοῦτον δὴ τὸν περιώνυμον ἄνδρα καθ' ὥραν ὡς εἰπεῖν ἡ Κωνσταντινόπολις τῷ βίῳ ἐξήνθησεν, ἡ πρώτη*

B 113r–115v; b 200r–202v; O 76r–78r; r 215r–224v Surius (1618) 625–627 – Allatius 221–235; Kurtz et Drexl I 94–107. Cum B et O aut r et Surius concinunt, lectionem B solam aut r solam reportavi; lectionem Allatii reportavi nec B nec r sequentis.

1–2 *τοῦ σοφωτάτου Ψελλοῦ ἐγκώμιον – Συμεών* B *λόγος ἐγκωμιαστικὸς τοῦ αὐτοῦ Ψελλοῦ* r Pselli oratio encomiastica in sanctum Symeonem Metaphrastem Su. om. b **4–5** *πάσης – ὄνομα* b *πάσης τῆς οἰκ. λαμ. κ. περιβ. καὶ ὄνομα* Br **5–6** *τίσι – αὐτοῦ* B *τίσι λόγοις ποτὲ περὶ αὐτοῦ* b *τίσι ποτὲ περὶ αὐτοῦ λόγοις* r **7** *οὐ λόγῳ μόνον* r *οὐ μόνον λόγῳ* b *οὐ λόγῳ μόνῳ* B **8** *ἔχων – ἑτοιμότατον* b *ἔχων ἑτοιμ. εἰς νοη. γονὰς* Br **10** *οὐδ'* codd. *οὐκ* Al. **12** *τὴν … κράσιν* b *τῇ … κράσει* Br *τὸ* Bb *τῷ* Or **13** *συνειληφέναι τὰς* om. Al. **13** *τὸ* Bb *τῷ* Or **14–15** *σεμνυνόμενος* codd. *σεμνυνομένοις* Al. **16** *Κωνσταντινόπολις* b *Κωνσταντινούπολις* Br *τῷ βίῳ* om. Br

τὸν πρῶτον, ἡ καλλίστη τῶν πόλεων τὸν κάλλιστον φάναι πολιοῦχον· καὶ δοῦσα τούτῳ τὸ ἐξ αὐτῆς γεγεννῆσθαι καὶ τῇ τοιαύτῃ γενέσει τιμήσασα ἀντελάμβανε παρ' αὐτοῦ τὸ τοιοῦτον προενεγκεῖν, οἷος καὶ μόνος ἐξήρκεσεν ἂν τὰ 20 *καλλιστεῖα ἐκείνῃ ἀποδοῦναι τῶν πόλεων· καὶ γέγονεν αὐτῇ ἡ παρ' ἐκείνου τιμὴ τῆς πρότερον μεγαλοπρεπεστάτη καὶ μείζων, ὅσῳ τότε μὲν κάλλει καὶ μεγέθει τῶν ἄλλων ἐκράτει πόλεων ὥσπερ τις παραδείσου χῶρος τῇ περιβολῇ καὶ τῷ κύκλῳ, ὕστερον δὲ δι' ἐκεῖνον καὶ τοῖς ἄνθεσιν τῶν* 25 *ἀρτιγενῶν ἀρετῶν τὰς ἄλλας ὑπερηκόντισεν, ὥστε εἰ καὶ μὴ οὕτως ἐξ ἀρχῆς κόσμου τετύχηκε μηδὲ οἰκιστὴν τοιοῦτον εὐτύχηκεν, ἀπέχρησεν ἂν αὐτῇ τὸ θαυμαστὸν δὴ τοῦτο γέννημα πρὸς τὴν τῶν κρειττόνων ἀντίθεσιν.*

Καὶ τὸ κατὰ πάντων ἀσύγκριτον κάλλος καὶ ἀπαρά- 30 *μιλλον· ἦν μὲν οὖν εἰπεῖν καὶ ἐκ πρώτης εὐθὺς γενέσεως καὶ ἐξανθησάσης ἤδη τριχός, ὥσπερ οἱ τῶν λεόντων σκύμνοι εὐθὺς τὴν ὀφρὺν παραδεικνύοντες καὶ τῶν ἐπαυχε-*

30–31 cf. Psell. orat. 30,85 Littlewood **32** cf. Arist. hist. anim. 728 b 27

17–18 *φάναι πολιοῦχον* Br *πολιοῦχον φάναι* b **18** *γεγεννῆσθαι* r *γεγενῆσθαι* Bb **19** *τῇ* om. r *τιμήσασα* br *τιμήσασθαι* B *τετιμῆσθαι* Kz. *ἀντελάμβανε* b *ἀντέλαβε* Br **20** *προενεγκεῖν* codd. *περιενεγκεῖν* Al. **20–21** *τὰ καλλιστεῖα* brB man.[2] mg. *τῶν καλλιστείων* B **22** *ἐκείνου* Br *ἐκεῖνον* b **22** *πρότερον* Bb *προτέρας* r *μεγαλοπρεπεστάτη* b *μεγαλοπρεπεστέρα* Br **23** *ὅσῳ* codd. *ὅσον* Al. *κάλλει καὶ* Br *κάλλει μᾶλλον*(?) *καὶ* b **26** *ἀρτιγενῶν* b *αὐθιγενῶν* Br **26** *ὑπερηκόντισεν* Br *ὑπερεκόντισεν* b **27–28** *μηδὲ – εὐτύχηκεν* man.[2] mg. r *εὐτύχηκεν* codd. *ηὐτύχηκεν* Al. **28** *δὴ* om. br **30** *κάλλος* b *κράτος* Br **31** *μὲν οὖν εἰπεῖν* b *μὲν εὐθὺς* Br *καὶ* br *τὸ* Br man.[2] mg. *αὐτῷ* Kz. *πρωτῆς εὐθὺς* b *πρωτῆς ὡς εἰπεῖν* Br **32** *ἐξανθησάσης* b *ἐξ ἀνθούσης* Br

νίων τριχῶν τὸ λάσιον. ὑπήνθει γὰρ αὐτῷ τὰ τῆς συνέσεως
35 *ἄνθη καὶ τὸ φρόνημα ῥίζαν τινὰ εἶχε βαθεῖαν καὶ ὁ νοῦς ἐξήστραπτέ τι θαυμάσιον· ταῦτα δὲ τοῖς μὲν ἄλλοις ἀρκοῦντα ἐτύγχανεν εἰς τελείωσιν, ἐκείνῳ δὲ προχαράγματα τῆς τελείας ἐγνωρίζετο φύσεως. ὥσπερ οὖν τῶν δένδρων ὁπόσα παρὰ τὴν φύσιν ἀναβλαστάνει τῆς ἐπιμελομένης*
40 *χειρὸς βραχύ τι ἐπιδεόμενα, εἰ καὶ ἀρδείαν τινὰ παραδέξεται, ἔτι μᾶλλον πρὸς κάλλος καὶ μέγεθος ἐπιδίδωσιν, οὕτω δὴ κἀκείνῳ ἦν μὲν ἡ φύσις εὔδρομόν τι χρῆμα καὶ εὐθὺς προϊὸν κατ' εὐθύ· ὅθεν αὐτοφυῶς μὲν ἐρρητόρευε, πρὸς δὲ φιλοσοφίαν ὁ βαθὺς τῆς ψυχῆς κόλπος ἄφθονα ἐδίδου*
45 *νοήματα. ἐπεὶ δὲ καὶ πρὸς τὰς διατριβὰς τῶν φιλοσοφούντων ἀπέβλεπε καί τινας ἐκεῖθεν ἀρχὰς ἐκομίσατο πρὸς τὴν τῶν ζητουμένων εὕρεσιν ἀφορμάς, ἀνέκυψέ τε ἀθρόον καὶ ἤρθη μετέωρος καὶ ἀπὸ τῶν ἀκτίνων εὗρε τὸν ἥλιον ἢ οὕτως εἰπεῖν ἀπὸ τοῦ ἡλίου πρὸς τὰς ἀκτῖνας διέβλεψε, τὸ*
50 *μὲν ἐκ τῶν ὑστέρων τὰ πρῶτα συλλογιζόμενος, τὸ δὲ ἐκ τῶν προτέρων τὰ δεύτερα τῇ φύσει συμπεραινόμενος.*

Εἰδὼς δέ, ὡς δυσὶ τούτοις ἡ τελεία καθ' ἡμᾶς φύσις κεκόσμηται, νοῦ γεννήμασι καὶ γλώττης ῥεύμασι, καὶ ὡς τῶν προλαβόντων ἐκείνων σοφῶν οἱ μὲν διὰ φιλοσοφίας
55 *τὸν νοῦν ἐτελείωσαν, οἱ δὲ διὰ ῥητορικῆς τὴν γλῶσσαν ἐκάθηραν καὶ πλήν γε ἑνὸς ἢ δυοῖν οἱ λοιποὶ πρὸς θάτερον ἀπένευσαν τῶν μερῶν καὶ τοῖς μὲν ἡ γλῶττα ποταμηδὸν ἔρρευσεν ἐξ ἐπιχειρημάτων πυκνῶν, τοὺς δὲ ἐκή-*

34 *ὑπήνθει* Bbr *ὑπήνθη* O 36 *ταῦτα – ἀρκοῦντα* B om. *δὲ* r *ταῦτα μὲν τοῖς ἄλλοις οἶμαι ἀρκοῦντα* b 39 *ἀναβλαστάνει* Br *ἀναβλαστάνουσι* b 45 *καὶ* om. O 47 *ἀνέκυψε* Bb *ἐνήκυψε* r 49 *πρὸς* om. b 53 *γεννήμασι* Bb *γενήμασι* r *ῥεύμασι* br *ῥήμασι* B 55 *γλῶσσαν* b *γλῶτταν* Br 56 *δυοῖν* br *δυεῖν* B 57 *ἀπένευσαν* codd. *ἐπένευσαν* Al. *ποταμηδὸν* br *ποταμὸν* B 58 *πυκνῶν* Br *τινῶν* b

ρυξε τῶν νοημάτων τὰ ὑψηλότερα, ὡς εἶναι τούτους μὲν μικροῦ δεῖν ἀγλώττους, ἐκείνους δὲ ἐρήμους τῆς τελειοτέ- 60
ρας νοήσεως, ἐκεῖνος μέσον ἀμφοῖν γεγονὼς σύνδεσμος οἷον τῶν τέως διεστηκότων ἐγένετο. καὶ τήν τε γλῶτταν ἐξάψας τοῦ νοῦ οἷον πείσματος τόν τε νοῦν ἐπιστήσας τοῖς λόγοις καὶ ῥητορικῇ μὲν τὴν φιλοσοφίαν προσεμβιβάσας εἰς πρακτικωτέραν καὶ ἐμφανεστέραν ἐνέργειαν, τῇ δέ γε 65
φιλοσοφίᾳ τὴν τέχνην ὑψώσας καὶ κεράσας ἄμφω πρὸς ἄλληλα τοῖς παρ' ἑαυτοῦ κάλλεσιν, ἔμφωνον, ἵν' οὕτως εἴπω, τὸν νοῦν καὶ ἔννουν τὴν γλῶτταν εἰργάσατο. ἐφιλοσόφει γοῦν μετὰ τῆς ἠθικῆς πιθανότητος καὶ ἐρρητόρευε μετὰ τῆς φιλοσόφου βαθύτητος· καὶ ἦν ἀμφοῖν τοῖν γενοῖν 70
ὁμοίως εὐάρμοστος καὶ οὔθ' ὁ φιλόσοφος τὴν πολιτικὴν ἐμίσει ὑπόθεσιν ὁρῶν χρωννυμένην ταῖς ἀπὸ τῆς φιλοσοφίας βαφαῖς οὔθ' ὁ ῥήτωρ πρὸς τὴν ἐπιστήμην ἀπήχθετο ταῖς τεχνικαῖς μεθόδοις ἐναμβρυνόμενος.

Ἐντεῦθεν ὥσπερ τις λαμπτὰς ἀπὸ τῆς Βυζαντίδος 75
ἀφθεῖσά τε καὶ ἐξαρθεῖσα οἱονεί τις πυρσὸς διαέριος ταῖς ἁπάσαις ἔδοξε πόλεσι. καὶ ἦν ὡς ἀληθῶς ὁ χῶρος οἷόν τις κόσμος οὐράνιος, πᾶσι λόγων καταστραπτόμενος γένεσι καὶ δι' ἑνὸς δᾳδούχου τὰ μὲν τὴν σύμπασαν οἰκουμένην καταπυρσεύσας, τὰ δὲ πρὸς τῷ οἰκείῳ φωτὶ καὶ ταῖς ἀλλο- 80

60 *τῆς τελειοτέρας* om. Al. **61** *μέσον* B *μέσος* br *σύνδεσμος* Br *συνδέσμοις* b **62** *τε* om. b **63** *οἷον πείσματος* om. Br **64** *ῥητορικῇ* br *ῥητορικῆς* B **64** *προσεμβιβάσας* Br *προβιβάσας* bAl. **65** *γε* om. b **67** *ἑαυτοῦ* r *ἑαυτῶν* ObAl. lac. B **69** *γοῦν* Br *γὰρ* b **71** *οὔθ'* codd. *οὐδ'* Al. *πολιτικὴν* codd. *πολιτικὸν* Al. **74** *ἐναμβρυνόμενος* br *ἐναβρυνόμενος* B *ἐμβραδυνόμενος* Or man.[2] mg. **76** *ἐξαρθεῖσα* Or *ἐξαφθεῖσα* b lac. B *ἀρθεῖσα* Al. *πυρσὸς* br *πυρὸς* O lac. B **77** *ὁ χῶρος* codd. *τὸ βυζάντιον* add. s. l. b **78** *λόγων* Or *λόγῳ* b lac. B

τρίαις ἀπαστράπτων μαρμαρυγαῖς. καὶ τό γε θαυμασιώτερον καὶ δι' ὃ μᾶλλον ἄν τις ἐκεῖνον θαυμάσειεν, ὅτι καὶ γένους εὖ ἔχων καὶ τὰ τῆς εὐκλείας οἴκοθεν κεκτημένος βαθεῖ τε πλούτῳ κομῶν καὶ οἵοις ἄν τις πρὸς παίδευσιν
85 *ἀποκνήσειεν (οἱ γὰρ πλεῖστοι ἀφορμὴν τοῦ πλουτεῖν ὥσπερ τὸν λόγον τιθέασιν, οὐχ ἵν' ἐπήβολοι τῶν κρειττόνων γένοιντ', ἀλλ' ὅπως ἂν τοῖς ματαίοις ἐπεντρυφήσωσιν περὶ ταῦτα σπουδάζοντες), παρασκευαῖς ἐκεῖνος ταῖς παρὰ τῆς ἔξωθεν τύχης πρὸς φιλοσοφίαν ἐκέχρητο. ἐντεῦθεν οὔτε*
90 *τοὺς ἀργοτέρους τῶν φιλοσοφησάντων οὔτε τοὺς περιττοτέρους τῶν ῥητόρων ζηλοῖ. οἱ μὲν γὰρ ὥσπερ ἀπλέτῳ φωτὶ ταῖς ἀπὸ τῆς φιλοσοφίας καταστραφθέντες ἀκτῖσιν αὐτίκα ἐπέμυσαν καὶ οὐ προεβίβασαν εἰς πρᾶξιν τὴν ἀρετὴν οὐδ' ἐχρήσαντο τοῖς δόγμασι μεγαλοπρεπῶς οὐδὲ ἡγεμόνες*
95 *γεγόνασι πόλεων οὐδὲ φέροντες ἃ μεμαθήκασιν εἰς μέσον τοῖς πολλοῖς προτεθείκασιν, ἀλλὰ μακροὺς μὲν ἐξέθρεψαν πώγωνας ὥσπερ ἄκαρπα θέρη καὶ σκυθρωποὶ τοῖς προσώποις γεγόνασιν· εἶτα δὴ οἱ μὲν οὐδὲν δέον διὰ τῆς ἀγορᾶς θέοντες ἀκράτῳ τῇ παρρησίᾳ ἐχρήσαντο, οἱ δὲ πί-*
100 *θάκνας τινὰς κατῳκήκασι περιγράψαντες ἑαυτούς, οἱ δὲ*

99–100 cf. CPG I 87,14

81 *ἀπαστράπτων* b *καταστράπτων* Br **82** *ὃ* Br *οὗ* b *ἐκεῖνον* Or *ἐκεῖνα* b lac. B **84** *οἵοις* Kz. *οἷον* O Al. *οἵῳ* b *οἷς* rB man.² mg. lac. B **85** *τοῦ* Br *τῷ* b **86–87** *γένοιντ' – ἂν* b *γένοιντ' ἄν, ἀλλ' ὅπως* Br **87** *τοῖς* Obr lac. B *ταῖς* Kz. **88** *ταῦτα* b *τοῦτον* Br *ταῖς* Bb *τοῖς* r *παρὰ* Br *περὶ* b *τῆς* Bbr *τοῖς* O **91** *ζῆλοι* Bbr *δῆλοι* O **93** *ἐπέμυσαν* Br *ἐπέμυσο* O *ἀπέμυσαν* b **95–96** *μέσον τοῖς πολλοῖς* b *μέσους τοὺς πόλλους* Br **98** *οἱ μὲν* s. l. *οἱ κυνικοὶ* b **99** *δὲ* Bbr *μὲν* O *πιθάκνας* Fr. *πιθάκνους* b *πίθους* Br (cf. Psell. or. 25,50 Littlewood) **100** *κατωκήκασι* codd. *κατώκησαν* Kz. Dxl. *οἱ δὲ* s. l. *ὁ πλάτων* b

περὶ διαλεκτικὰς ἐρωτήσεις τὸν ἑαυτῶν βίον κατατετρίφασιν, ἄλλοι δὲ περὶ φυσικῶν ἐζήτησαν ὑποθέσεων ἀνωφελεῖς τινας ἀντιλογίας καὶ ἔριδας τῷ βίῳ κατακομίσαντες. καὶ τῶν ῥητόρων δὲ οἱ πλείους ταὐτὸ τοῦτο πεπόνθασι τὴν ἔμφρονα τέχνην ἀφροσύνης ἀφορμὴν ποιησάμενοι καὶ δέον 105 *τὰ λυσιτελοῦντα ταῖς πόλεσι προαιρεῖσθαι καὶ μελετᾶν, οἱ δὲ τὰ μὲν αὐτοὶ πλάττοντες, τὰ δὲ οἷον ἀποκειμένοις χρησάμενοι πλάσμασι καινήν τινα σκηνὴν τῷ βίῳ ἐπετραγῴδησαν.*

Ἀλλ' ἐκεῖνος οὐχ οὕτως, πολλοῦ γε καὶ δεῖ· ἀλλὰ μήτε 110 *τὴν ἐσθῆτα μεταλλάξας μήτε τι τοῦ μεγαλοπρεποῦς καθυφεὶς μήτε τὸ γένος ἀτιμάσας ταῖς τοιαύταις καινοτομίαις μήτε πλάσας ἢ μεταπλάσας ὑποθέσεις πολιτικὰς μήτε τηνάλλως σοφιστευσάμενος, τῇ μὲν ἀπὸ τοῦ γένους φιλοτιμίᾳ ὕλῃ πρὸς τὸ εὖ δρᾶν πολυαρκεστάτῃ ἐχρήσατο, τὴν δὲ* 115 *ἀπὸ τῶν μαθημάτων ἀρετὴν ἀφορμὴν εὐθὺς ἔσχε μεγαλοπρεπείας τε καὶ λαμπρότητος· βασιλεῦσι γὰρ ἐπέραστος γεγονὼς τὰ τιμιώτατα τῶν ὅλων πιστεύεται, τὸ μὲν ἐγγὺς ἑστάναι τοῦ βήματος διὰ τὴν σύνεσιν, τὴν δὲ τῆς πολιτείας διοίκησιν διά τε τὴν τῆς φύσεως ἐπιτηδειότητα καὶ* 120 *τὴν τῶν πραγμάτων προσλαβὼν ἐπιμέλειαν. καὶ πρῶτα μὲν*

107–109 cf. Heliod. Aeth. 7,6,4

101 *κατατετρίφασιν* Br *κατετρύφησαν* b **102** *ἀλλοὶ δὲ* s.l. *ὁ Ἀριστοτέλης* b **104** *δὲ* om. Or man.[1] **106** *ταῖς* Bbr *τοῖς* O **108** *πλάσμασι* b *πράγμασι* Br *καινήν* Bbr *καὶ νῦν* O **111** *τι* om. br man.[1] **112** *τοιαύταις* om. Al. **113–114** *τηνάλλως* Al. *τηνάλως* codd. *σοφιστευσάμενος* Br *σοφιστισάμενος* b *τοῦ* codd. *τούτων* Al. **115** *ὕλῃ* Obr man.[2] mg. *ὅλῃ* rB man.[2] mg., Bman.[1] lac. *δρᾶν* b *ποιεῖν* Br **120** *τε* om. b **121** *πραγμάτων* rB man.[2] mg., B man.[1] lac. *λόγων* b om. O *προσλαβὼν* Or *προλαβὼν* b lac. B *πρῶτα* Br *πρῶτον* b

ἐπὶ ταῖς μυστικωτέραις ἐφειστήκει τῶν πράξεων καὶ τοῖς ἀπορρήτοις βουλεύμασι κοινωνὸς παρειστήκει τοῖς συμβουλεύουσιν. ἐπεὶ δὲ ἡ τοῦ τρόπου πίστις ἐν τούτοις τοῦτον
125 *ἐκήρυξε, μετὰ τῶν ἀδύτων καὶ τὰς κοσμικωτέρας φροντίδας συνείληφεν, ὡς τὸν αὐτὸν γεγενῆσθαι εἰσαγγελέα τε τῷ κρατοῦντι τῶν ἔξωθεν καὶ ἐξαγγελέα τῶν τοῦ κρατοῦντος τοῖς ἔξωθεν. καὶ ἦν ὡσανεὶ δεσμὸς τῆς διοικήσεως ἀκριβής.*

130 *Τοῦ μὲν οὖν ἡλιακοῦ κύκλου τὸ μέν ἐστιν ἑτέρωθι, τὸ δὲ πρὸς ἡμᾶς· ἐκεῖνος δὲ ὁ αὐτὸς ὅλος ἦν καὶ τῷ βασιλεῖ καὶ τοῖς πράγμασιν. ὥσπερ γὰρ καὶ ἄνωθεν τοῦτον ὁ λόγος ἐγνώρισε, παντοδαπῶς εἶχε τῆς φύσεως τὰ μὲν προβουλεύσασθαι, τὰ δὲ τῶν βουλευμάτων καὶ κατεργάσα-*
135 *σθαι βαρβάρους τε πορρωτέρω τῆς Ῥωμαίων ἀπώσασθαι γῆς, τοὺς δὲ καὶ καταγωνίσασθαι ἢ στρατεύμασιν ἢ τεχνάσμασιν ἔθνη τε ὑποποιῆσαι καὶ στῆναι δεξιῶς πρὸς τοὺς καιροὺς πρὸς τὰ πράγματα, τὸ μεταβεβλῆσθαι, ὅτε δέον, τὸ καινοτομῆσαι, ὅτε συμφέρον, τὸ τὴν αὐτὴν τηρῆσαι ἰδέαν,*
140 *ὅτε τοῦτο καλὸν δόξειε. καὶ ἐπὶ τούτοις οὐδὲ χαρίτων ἀμ-*

126–128 cf. Psell. theolog. I opusc. 76,56 Gautier/Westerink

122 *ἐπὶ* om. Br *ἐφειστήκει* Br *ἐφεστήκει* b Al. **123** *παρειστήκει* Br *καθειστήκη* b **123–124** *συμβουλεύουσιν ἐπεὶ* p. c. B *συμβουλεύουσιν· οἶμαι τοῖς βασιλευουσιν· ἐπεὶ* O a.c. B *βασιλεύουσιν· ἐπεὶ* br **125** *κοσμικωτέρας* b *κοσμικὰς* Br **126** *τὸν* om. Br **127** *τῶν*[1] om. Al. **130** *οὖν* Or *γὰρ* b lac. B *ἐστιν* Br *ἐπεὶ* b **132** *γὰρ* om. Al. **132–133** *τοῦτον ὁ λόγος* r *τοῦτο ὁ λόγος* b *ὁ λόγος τοῦτον* B **135** *πορρωτέρω* b *πόρρω* Br **137** *δεξιῶς* b *δεξιὸς* Br **138** *πρὸς* codd. *καὶ* Al. **138–139** quod ... quod ... quod = *τῷ* ... *τῷ* ...*τῷ* Su. **138** *τὸ*[1] O p. c. b *τῷ* Br a. c. b *τὸ*[2] a. c. O p. c. b *τῷ* Br a. c. b p. c. O **139** *τὸ* b a. c. O *τῷ* Br p. c. O **140** *χαρίτων* codd. *χάριτος* Al.

οιρος ὁ ἀνήρ, ἀλλὰ κατήρτυτο αὐτῷ πρὸς πᾶσαν σπουδὴν μετ' ἐμμελοῦς παιδιᾶς καὶ ἡ γλῶττα καὶ ἡ διάνοια. μεγαλοπρεπῶς δὲ ἔχων καὶ τῆς στολῆς καὶ τοῦ σχήματος ἅμα δὲ καὶ τοῦ βαδίσματος ἀντήλλαττε τὸ ἦθος πρὸς τὸ φαινόμενον, ἐπίχαρίς τε ὢν καὶ εὐπρόσιτος καὶ αὐτόθεν 145 *ἕλκων πάντας τῷ μειδιάματι. εἶχε δὲ καὶ τῆς χειρὸς ἀφειδῶς, δύο ταύτην ἐπεκτεινόντων, πλούτου τε καὶ προαιρέσεως· καὶ προέκειτό γε αὐτῷ ὑπτιάζουσα καὶ ἐξήντλει ταύτης ὥσπερ ἐκ ποταμοῦ δαψιλῶς ὁ βουλόμενος. εἶχε μὲν οὖν οὕτω ταῦτα τῷ μεγάλῳ τούτῳ ἀνδρί· εἶχε δὲ καί, ὡς* 150 *οὐκ ἐχρῆν ἄλλως, μέρη τινὰ τῶν τὴν ἡμετέραν πίστιν συγκροτεῖν εἰωθότων· τὰ δὲ ἦν – ἀλλὰ τί μὴ τελεώτερον χρῶμαι τῷ λόγῳ μηδὲ εἰς κορυφαίαν ἀρχὴν ἀνάγω τὸ μέγιστον τῶν ἐκείνου κεφάλαιον; εἶμι γοῦν πρὸς τὴν πρώτην ὑπόθεσιν, βραχύ τι τὸν λόγον προκαταστήσας.* 155

Φιλότιμα μὲν τὰ παρὰ τῶν μαρτύρων κατ' ἐχθρῶν ἀγωνίσματα, πρὸς οὕς τε ἐμφανῶς καὶ πρὸς οὓς ἀφανῶς ἠγωνίσαντο. καὶ πῶς γὰρ οὔ; παρρησίαι λαμπραὶ καὶ γνῶμαι ἀήττητοι τό τε ἐκκεκόφθαι τῶν σχέσεων καὶ τὸ καταμελῆσαι τῆς φύσεως τομαί τε τῶν μελῶν καὶ ἀποβολαὶ καὶ τὸ 160

141–142 cf. Xen. symp. 1,1 et Psell. orat. 25,20 Littlewood

141 *κατήρτυτο* Br *κατήρτητο* b *σπουδὴν* om. r add. man.[2] mg. 142 *παιδιᾶς* Br *παιδείας* b = doctrina Su. 143 *στολῆς* Br *χολῆς* b 144 *δὲ* om. Br 145 *τε* Br *τὶς* b 147 *τε* om. Br 148 *αὐτῷ* Br *αὐτῇ* b 149 *ταύτης* codd. *ταύτῃ* Al. 150 *τούτῳ* om. b 150–151 *ὡς – ἄλλως* r *ἄλλως* om. Bb *οὐκ … ἄλλως* om. O *ὥσπερ ἐχρῆν* Al. 152 *ἀλλὰ* codd. *ἄλλως* Al. 154 *πρώτην* om. b 156 *παρὰ* Bbr *περὶ* O *κατ' ἐχθρῶν* Br *καὶ τῶν ἐχθρῶν* b 157 *οὓς* codd. *τοὺς* Al. 160 *τε τῶν μελῶν* b *τε μέλων* Br man.[2] mg. *τε βελῶν* rB man.[2] mg.

τελευταῖον ζωῆς περιφρόνησις. οὐδὲν δὲ ἧττον τούτων καὶ
ὁ ἀσκητικὸς βίος κατέλαμπε· δαπάνη γὰρ κἀνταῦθα σαρ-
κῶν καὶ τρυφὴ τὸ μὴ τρυφᾶν, ἐν οἷς οὐ δέον τρυφᾶν, καὶ
τὸ ἀπερρῆχθαι κόσμου καὶ πρὸς θεὸν μετὰ τῶν σωμάτων
165 αὐτῶν ἀναπτῆναι καὶ στῆναι πρός τε τὰ ἔμφυτα πάθη καὶ
πρὸς τὰ ἐπιρρέοντα παρὰ τῶν πονηρῶν πνευμάτων ἔξωθεν.
λαμπροὶ τοιγαροῦν ἄμφω οἱ βίοι καὶ πάλαι μὲν ἤστην,
ἐστὸν δὲ καὶ αὖθις· ἀλλ' οὐ λαμπρὰ τέως ἐγνώριστο ἡ
τούτων ἐνταῦθα διαγωγή, μᾶλλον δὲ ἡ τούτων ἀντίδοσις,
170 ἀλλ' αἱ μὲν ἀπόρρητοι βίβλοι, ἃς δὴ τοῖς πολλοῖς ἐν τῇ
ἀποκαταστάσει οἱ ἄγγελοι ἀναγνώσονται, ἀκριβῆ τὰ τῆς
μαρτυρίας αὐτῶν καὶ ἀσκήσεως ἔχουσιν ὑπομνήματα. οἱ δὲ
πρὸ τοῦ θαυμασίου τοῦδε ἀνδρὸς ἐνταῦθα τὰς ἐκείνων
πράξεις ἀναγραψάμενοι οὐμενοῦν τῆς μεγαλοπρεπείας
175 ἐκείνων ἐφίκοντο, ἀλλὰ τὰ μὲν αὐτῶν κατεψεύσαντο, τὰ
δὲ μὴ δυνηθέντες κατάλληλα θεῖναι ἄκομψον ἐκείνοις τὸ
ἀγαθὸν καὶ ἀφιλότιμον συγγεγράφασιν, οὔτε καλὴν ὑποθέ-
μενοι ἔννοιαν οὔτε μὴν εὐπρεπέσι κατακοσμήσαντες λέξε-
σιν οὐδ' ἀκριβῶς ὑπογράψαντες οὔτε τὴν τῶν κολασάντων
180 βαρύτητα οὔτε τὴν τῶν μαρτυρησάντων πρὸς τὰς ἀποκρί-
σεις πυκνότητα· ἀλλὰ καὶ τοῖς ἀσκηταῖς τὴν ἄσκησιν ἐκι-
βδήλευσαν, ἀφελῶς αὐτοῖς καὶ ὥσπερ ἐκ τοῦ παρα-
τυχόντος τὰ ἐσπουδασμένα διεξιόντες.

170–172 cf. Apoc. 21,6

161 *τούτων* rB man.[2] mg. *τοῦτον* b lac. B om. OAl.
162 *ὁ* om. r 166 *παρὰ* Br *περὶ* b 168 *ἐστὸν* Br *νῦν* b
169 *διαγωγή – τούτων* om. Br 171 *ἀκριβῆ* Bbr man.[2]
mg. *ἀκριβῶς* rB man.[2] mg. 177 *ἀγαθὸν* br *καλὸν* B *καὶ*
ἀφιλότιμον om. b 178 *μὴν* brB man.[2] s.l. om. B
180 *μαρτυρησάντων* b *μαρτύρων* Br 181–182 *ἐκιβδήλευσαν*
b *ἐκιβδήλωσαν* Br

Ἔνθεν τοι οἱ μὲν οὐδὲ ψιλὴν ἐκαρτέρουν τὴν τῶν ὑπομνηματισθέντων ἀνάγνωσιν, τοῖς δὲ καὶ γέλωτος ἀφορμὴ 185
τὰ λεγόμενα ἐλογίζετο. καὶ τὸ τῆς συνθήκης δὲ ἀκαλλὲς καὶ τὸ ἀνακόλουθον τῆς ἐννοίας καὶ τὸ τῆς λέξεως εὐτελὲς ἀγλευκῆ τοῖς ἀκούουσιν ἦν καὶ ἀπηχθάνοντο μᾶλλον ἢ προσίεντο· καὶ τὸ ἐπὶ τοῖς ἀναγραψαμένοις διεκωμῳδεῖτο ἡμῖν τὰ θαυμάσια τῶν τοῦ Χριστοῦ θεραπόντων ἀγωνί- 190
σματά τε καὶ τρόπαια. καὶ ξύμπαντες μὲν διελοιδοροῦντο σαφῶς τοῖς πράγμασιν, ἀντεισενεγκεῖν δὲ τούτοις τὰ κρείττονα (οἱ μὲν δι' ὄκνον ψυχῆς, οἱ δὲ ὡς τελεώτατον σπούδασμα καὶ ᾧ μηδὲ βίος ἂν ὅλως ἀνδρὸς ἐξαρκέσειεν) οὔτε βουλομένοις δύναμίς τις προσῆν οὔτε δυναμένοις βού- 195
λησις. ἀλλ' οὐχὶ καὶ ὁ θαυμάσιος Συμεὼν ταὐτὸν ἐπεπόνθει τοῖς βεβλημένοις, ἀλλὰ μέχρι τοῦ μέμψασθαι τοῖς γεγραμμένοις συμπροϊὼν αὐτοῖς ἔπειτα περαιτέρω προβέβηκε. καὶ θαρρεῖ τι πρᾶγμα νεανικόν, μᾶλλον δὲ εὐτυχεῖ πρᾶξιν, ἣν οὐδεὶς τῶν πάντων εὐτύχηκε· δι' ἧς ἐκεῖνός τε 200
περιφανέστερος τῶν ἁπανταχῇ ἐλλογίμων ἔδοξε καὶ τῷ τε θεῷ τὰ κάλλιστα τῶν ὄντων ἀφωσιώσατο καὶ τοὺς τῶν μαρτύρων ἀγῶνας καὶ δρόμους τάς τε τῶν ἀσκητῶν ἐγκρατείας καὶ καρτερίας ἐκάλλυνέ τε καὶ κατεκόσμησε· καὶ

194 cf. Plat. Phd. 108 d

186 *ἐλογίζετο* b *ἐγνωρίζετο* Br 187 *ἀνακόλουθον* Bbr *ἀκόλουθον* O 189 *τὸ* codd. *τῷ* Dxl. *ἐπὶ* om. b 191 *διελοιδοροῦντο* Bbr man.² mg. *ἐλοιδοροῦντο* rB man.² mg. 192 *πράγμασιν* b *συγγράμμασιν* Br *τούτοις* b *τούτων* Br 193–194 *τελεώτατον σπούδασμα* Br *τελεώτατα σπουδάσματα* b 194 *ὅλως* b *ὅλος* Br 195 *τις* Br *τε* b 197 *τοῖς βεβλημένοις* bmg. *τούτοις* Br 198 *περαιτέρω* Br *περετέρω* b 199 *εὐτυχεῖ* Ob *εὐτυχῇ* Br 200 *εὐτύχηκε* codd. *εὐτετύχηκε* Al. 201 *ἔδοξε* b *ἐγένετο* Br 201 *τε* om. b

205 *τὴν αὐτὴν ἐκείνοις προεισενεγκὼν εὔνοιαν, τὰς παρὰ πάντων ἀντείληφε χάριτας.*

Καὶ τί γὰρ ἄν τις τῷ τοιούτῳ παραβάλλοι σπουδάσματι; ποίαν ἀρχαιολογίαν Ἑλληνικὴν ἢ καταμέτρησιν τῆς συμπάσης γῆς; ἢ ὁπόσα Πέρσαις καὶ πρὸ ἐκείνων Βαβυλω-
210 *νίοις κατώρθωται ὅσα τε μετὰ ταῦτα Ἀλεξάνδρῳ τῷ Μακεδόνι ἀνδρικώτερον διηγώνισται; ἔχει μὲν γὰρ καὶ ταῦτα φιλοτίμως καὶ μάλιστα τοῖς μετὰ καλλιλογίας ἐκτεθεικόσι τὰς συγγραφάς· ἀλλὰ τούτων μὲν διὰ τὴν τῶν ἀναγραψαμένων συνθήκην διεσπούδασται τοῖς πολλοῖς ἡ ἀνάγνωσις·*
215 *ὁπόσα δὲ ὁ γενναῖος οὗτος ἀνὴρ μετὰ τῆς πρεπούσης τοῦ λόγου περιβολῆς ἐπὶ τοῖς μαρτυρήσασι καὶ ἀσκήσασι τῶν συγγραμμάτων ἐξύφανε, διττὸν ἔχει τὸν ζῆλον, τῆς τε πρὸς τὴν συνθήκην μιμήσεως καὶ τῆς πρὸς τὰ κάλλιστα τοῦ ἤθους τυπώσεως. εἴποιμι δὲ καὶ τρίτον ἄλλο οὐκ ἔλαττον*
220 *τούτων, ἀλλ' ἀκριβέστερόν τε καὶ ὑψηλότερον, ὅτιπερ τῶν συγκροτούντων τὸ εὐαγγέλιον ἡ τῶν ἁγίων ἀνάγραπτος μνήμη κεφάλαιον τῶν ἄλλων καθέστηκε. τὸ μὲν οὖν ἐκλέ-*

208 Cleanthes Assius Archaeologiam scripsit (cf. Diog. Laer. 7,174), Eratosthenes Cyrenensis libros dimensionum (cf. Macrob. comm. 1,20,9)

205 *προεισενεγκὼν* b *προσενεγκὼν* Br *παρὰ* Br *περὶ* b **206** *ἀντείληφε* Ob *ἀντήλειφε* r lac. B **207** *παραβάλλοι* br *παραβάλ..* B = contulerit Su. **209** *ἢ* codd. *καὶ* Kz. Dxl. **210** *Μακεδόνι* br *Μακεδόνων* B = Macedonum Su. **211** *γὰρ* om. Al. *καὶ* om. b **212** *φιλοτίμως καὶ μάλιστα* codd. *φιλότιμα καὶ κάλλιστα* Al. *καλλιλογίας* Or *καλλιγορίας* b lac. B *ἐκτεθεικόσι* Br *εἰστεθηκόσι* b **213** *συμφορὰς* corr. s. l. *συγγραφὰς* b **215** *οὗτος* om. OB man.[1] add. B man.[2] mg. *τῆς* om. b **218** *συνθήκην* Or *προσθήκην* b lac. B **219** *τρίτον ἄλλο* Fr. *τρίτον* Br *ἄλλο* b **220** *ὅτιπερ* codd. *ὅτι περὶ* Al.

ξασθαι τοῦτον τοιαύτην ἑαυτῷ τοῦ γράφειν ὑπόθεσιν μαρτύριόν ἐστιν ἀκριβέστατον τῆς ἐκείνου συνέσεως· τὸ δὲ τοιαύταις ἐννοίαις χρήσασθαι καὶ λέξει μετὰ τοῦ σαφοῦς 225 *διῃρμένῃ τό τε πιθανὸν ἐχούσῃ καὶ ἀληθινόν τε καὶ ἔμφυτον ἔστι μὲν καὶ τῆς ἐκείνου σοφίας τεκμήριον, μάλιστα δὲ σημεῖον, ἄν τις θεῖτο, τῆς εὐαρμόστου πρὸς τοὺς καιροὺς καὶ τοὺς ἀκούοντας χρήσεως.*

Καὶ ἵνα τι περὶ τούτου τοῦ μέρους ἐρῶ καὶ παρεκβατι- 230 *κώτερον τῷ λόγῳ χρήσωμαι, οὐκ ἀγνοῶ, ὅτι τοῖς πολλοῖς τῶν τε σοφιστικώτερον τῇ περιβολῇ τῆς γλώττης κεχρημένων, οὐδὲν δὲ ἧττον καὶ τοῖς περὶ τὰ μαθήματα ἐσπουδακόσιν, ἀλλὰ καὶ οἷς τὰ φυσικὰ ζητήματα περισπούδαστα, οὐ πάνυ τι σπουδάζεται τοῦ ἀνδρὸς τὰ σπουδάσματα,* 235 *ὅτι μήτε τὰ τῆς μίξεως τῶν ἰδεῶν ἐκπρεπῆ παρ' αὐτοῖς μήτε οἱ σχηματισμοὶ τῶν λόγων καταφανεῖς μήτε τις ἀπορία φύσεως καὶ ἐπίλυσις μήτε γραμμικαὶ ἀποδείξεις μετὰ τῶν φορτικῶν ὀνομάτων μήτε φιλόσοφοι ἔννοιαι ὑψηλολογοῦσαι τὸ ὑποκείμενον. βούλονται γὰρ οἱ περιττοὶ τὴν* 240 *σοφίαν πρὸς ἐπίδειξιν πάντα γεγράφθαι, οὐ πρὸς ὠφέλειαν καὶ ἤθους κατόρθωσιν· ἐγὼ δὲ οὐδέ τινος τούτων φημὶ τὰ τοῦ ἀνδρὸς ἀπεστερῆσθαι συγγράμματα, ἀλλ' ἐπειδὴ μὴ ἐπιδεικτική τις αὐτῷ ἡ χρῆσις, οὐ πυκνὰ ταῦτα αὐτῷ τίθε-*

238 Eudoxus et Archytas artem mechanicam primi exposuerunt (cf. Plut. Marcell. 14,5)

224 *ἀκριβέστατον* Br *ἀκριβέστερον* b 225 *μετὰ* Bb = cum Su. *μὲν* r 226 *τε* om. Al. 228 *θεῖτο* codd. *θοῖτο* Al. 230 *ἐρῶ* codd. *εἴπω* Al. 232 *τῇ περιβολῇ* om. Al. *τῆς γλώττης* codd. *τῇ γλώττῃ* Al. 234 *ζητήματα* b *μαθήματα* Br 238 *γραμμικαὶ* brB man.[2] mg. *γραμματικαὶ* B 239 *τῶν* om. OB add. man.[2] s. l. 241 *ὠφέλειαν* Br *ὠφελείας* b 242 *καὶ* om. b *τούτων* Br *αὐτῶν* b 243 *ἐπειδὴ μὴ* om. b 244 *ταῦτα αὐτῷ* Br *αὐτῷ ταῦτα* b

245 *ται οὐδ' ἐκ προοιμίων εὐθὺς οὐδὲ πανταχῇ οὐδὲ πᾶσιν, ἀλλ' ὅπῃ αὐτῷ ἀφορμὴν τὸ πρᾶγμα δίδωσιν, ὁπόσα δέον τῷ λόγῳ χρησάμενος, ἐπὶ τὸν προτεθειμένον σκοπὸν αὖθις ἐπάνεισιν. ὁ γὰρ λόγος αὐτῷ οὔτε πρὸς σοφιστείαν ὁρᾷ καὶ ἀγοραίαν κομψότητα οὔτε εἰς τεχνολογίαν καὶ κατα-*
250 *νόησιν φύσεως οὔτε μὴν εἰς γραμμικὴν θεωρίαν ἢ τὴν περιττοτέραν ἐν τοῖς ἀριθμοῖς σύνεσιν· ἀλλ' οὐδὲ σπουδάζεται τούτῳ ἡ τοῦ οὐρανοῦ κίνησις ἢ ὅπως ὁ ἀπλανὴς κόσμος πρὸς τοὺς πλάνητας ἀπαντᾷ· μέλει δὲ συμφώνων αὐτῷ ἢ ὁμοφώνων οὐδέν, ἀλλ' οὐδὲ τῶν ἐπὶ τούτοις ἐμμε-*
255 *λειῶν. διὰ τοῦτο ταῦτα μὲν ὡς περιττὰ παραπέμπεται, ἔστιν ὅπου καὶ κατὰ καιρὸν χρώμενος, τῆς δὲ ἀληθείας ἀπανταχῇ ἔχεται καὶ τῆς ἀψευδοῦς διηγήσεως. φράσεως δὲ πολλοὺς μὲν ἠπίστατο τρόπους, κέχρηται δὲ τῷ ἀποχρῶντι πρὸς τήν τε τῶν σπουδαίων καὶ τῶν πολλῶν ἅμα*
260 *ἀκρόασιν. καὶ ἤρκεσέ γε κατὰ ταὐτὸν ἀμφοτέροις τοῖς γένεσι· τῷ μὲν γὰρ ῥυθμῷ καὶ τῷ κάλλει τῆς λέξεως τὸν ἐλλόγιμον ἀκροατὴν ἐφειλκύσατο καὶ ἔθελξεν ἱκανῶς τοῖς τῶν χαρίτων θηράτροις, τῷ δέ γε σαφεῖ καὶ ποτίμῳ τὰς*

252–253 cf. Plat. epin. 987 b **262–263** Longinus (rhetor) ars rhet. 562.19 (Spengel Rhet. Gr. I. 190,17); cf. Psell. orat. 19,73 Littlewood

245 *οὐδ'* codd. *οὐδὲ* Al. *οὐδ' – εὐθὺς* om. b *οὐδὲ πᾶσιν* Br *οὐδὲ πᾶσα* b *οὐδὲ ἐν πᾶσιν* Al. **246** *ὁπόσα* Br *ὁπόσον* b **247** *αὖθις* rB man.[2] mg. *εὐθὺς* bBr man.[2] mg. **248–249** *πρὸς – οὔτε* om. Al. **249** *εἰς* Br *γὰρ* b *καὶ κατανόησιν* bis O **250** *γραμμικὴν* Br *γραμματικὴν* Ob **252** *ὅπως* Br *ὅπερ* b **253** *πρὸς* Bb *περὶ* r *ἀπαντᾷ* codd. *ἐπαντᾷ* Al. **253–254** *συμφώνων αὐτῷ* b *αὐτῷ συμφώνων* Br **258** *ἠπίστατο* codd. *ἐπίστατο* Al. *ἐπίσταται* Kz. Dxl. *τῷ* Bbr *τῶν* O **259** *τε* om. b **260** *ταὐτὸν* r *ταὐτὸ* Bb *γένεσι* b *μέρεσι* Br **262** *ἐφειλκύσατο* Bbr *ἐφειρκύσατο* O

ἰδιώτιδας ἀκοὰς τῆς ἑαυτοῦ φωνῆς ἀνηρτήσατο· ἀμφοτέρους τε αὖ ὑπηγάγετο τῷ συντόμῳ καὶ πιθανῷ. 265

Ἐγὼ γάρ, ἵνα μηδὲν ἐρῶ τοῦ ἀληθοῦς ἔλαττον ἐπικρυψάμενος, χαρακτῆρας μὲν λόγων πολλοὺς οἶδα καλλίονας, λέγω δὴ τῶν τελεωτέρων ῥητόρων καί, οἳ μηδὲ πρὸς παράδειγμα τοῖς πολλοῖς ἑστᾶσι τῷ ὑπερηχοῦντι τοῦ τόνου καὶ τοῦ ῥυθμοῦ, ἀκριβεστέραν δὲ ἰδέαν οἷς εἵλετο συνθέσθαι 270 *συγγράμμασιν οὐκ οἶδα εἴ τις τῶν πάντων συνήρμοσεν· ἀλλὰ καὶ εἴ τις ἂν τῶν περιττῶν ἐκείνων τήν τε φράσιν καὶ τὴν ἐνθύμησιν προείλετο τὴν τοιαύτην ὑπόθεσιν, περιεργότερον μὲν ἂν αὐτῇ τὸν λόγον εἰργάσατο, οὔ φημι δὲ σύμπασιν ἀκροαταῖς καταλληλότερόν τε καὶ ἁρμοδιώτερον.* 275 *τά τε γὰρ προοίμια τῶν λόγων αὐτῷ ἁπτόμενα εὐθὺς τοῦ ὑποκειμένου καὶ βραχύ τι προϊὼν τὸν τοῦ συγγράμματος ἀναφαίνει σκοπὸν καὶ τὴν πᾶσαν ἐπ' ἐνίοις τῶν λόγων ὑπόθεσιν κεφαλαιωσάμενος εὐθὺς κατὰ μέρη τέμνει πρός τε τὰ πρόσωπα καὶ τοὺς καιροὺς μεθαρμόζεται. καὶ τὸ* 280 *μὲν χρῶμα τοῦ λόγου τὸ αὐτὸ πᾶσι καὶ ἡ ποιότης μία τῆς φράσεως, ἡ δέ γε τοῦ ἤθους μεταβολὴ ποικίλη καί, ὡς ἂν εἴποι τις, τεχνική, οὐ διὰ τὴν τέχνην τὰ πράγματα μεταβάλλουσα, ἀλλὰ τὸ ἑκάστῳ τῶν παραπιπτόντων πραγμάτων*

264 *ἰδιώτιδας* Bbr *ἰδιότητας* O 265 *ὑπηγάγετο* Bbr *ἠπηγάγετο* O 266 *ἐρῶ* codd. *φῶ* Al. *ἀληθοῦς* ObrB man.[2] mg. *ἀληθῆ* B 267 *χαρακτῆρας* br *χαρακτήρων* Br man.[2] mg. 268 *δὴ* Br *δὲ* b *οἳ* add. s. l. *χαρακτῆρες* b 269 *τῷ ὑπερηχοῦντι* codd. propter excellentem = *τῷ ὑπερέχοντι* Su. 271–272 *τῶν – τις* om. b 274 *ἂν* om. Or *ἴσως* post *ἂν* add. Al. *αὐτῇ* Or *αὐτῷ* b lac. B *αὐτ. τὸν λόγον* Br *τὸν λόγον αὐτ.* b *εἰργάσατο* add. s. l. *τῆς τῶν ῥητόρων* b 275 *καταλληλότερον* b *κατάλληλον* Br 279 *μέρη* OrB man.[2] mg. *μέρ.* b lac. B *μέρος* Al. 280 *τε* om. b 283 *εἴποι* codd. *εἴπῃ* Al. *οὐ* Bbr *οὐδὲ* O 284 *παραπιπτόντων* Br *περιπιπτόντων* b

285 τε καὶ προσώπων οἰκεῖον διερμηνεύουσα. ὡς πρὸς ἀρχέτυπα δὲ τὰ ἀρχαιότερα τῶν πραγμάτων ἐπατενίζων ἐκείνων τε οὐκ ἀφίσταται, ἵνα μὴ δόξῃ ἄλλο τι ποιῶν καὶ παρὰ τὸ παράδειγμα, καὶ τὴν ὅλην ἰδέαν μετατυποῖ, οὐκ ἐναλλάττων τὴν ὕλην, ἀλλὰ τὸ ἡμαρτημένον τῶν εἰδῶν δι-
290 ορθούμενος, οὐδὲ καινοτομῶν τὰς ἐννοίας, ἀλλὰ τὸ τῆς λέξεως σχῆμα μετατιθείς· ἀνωμαλίαις τε περιπίπτων διηγημάτων ὁ λόγος αὐτῷ καὶ μεταλλαγαῖς ὑποθέσεων οὐ συγχεῖται οὐδὲ ταράττεται, ἀλλ' ὥσπερ ἄριστος κυβερνήτης περικλυζομένης αὐτῷ τῆς νεὼς ἀτρέμας εἱστήκει τῷ οἴακι
295 τεχνικώτατα χρώμενος.

Ἔστι δὲ οὗ τῶν λόγων καὶ γεωγραφεῖ τὰς τῶν ἐπαινουμένων πατρίδας, τῆς συμπάσης ἀποτεμνόμενος γῆς καὶ ἀνάγων εἰς ἓν τῶν τμημάτων. εἶτα δὲ καὶ περὶ ποταμῶν τι φθέγγεται καὶ φυσιολογεῖ αὐτῶν τὰς ἀρχὰς καὶ περὶ εὐ-
300 καιρίας πόλεων καὶ κράσεως ἀέρων καὶ ὡρῶν ἁρμονίας, εἰ καὶ οἱ τὴν ἀκοὴν τῷ ὄντι δυσήκοοι τούτων λεγομένων οὐκ ἐπαΐουσιν. ἅπτεται δὲ καὶ πολυειδῶς τῶν τοῦ λόγου μερῶν, τὰ μὲν ἀγωνιστικώτερον, τὰ δὲ πραότερον. τῆς δὲ τῶν διηγήσεων χάριτος τίς ἂν αὐτῷ τῶν πάντων ἀμφισβη-
305 τήσειε; τῆς δὲ συνθήκης; τῆς δὲ τῶν ῥυθμῶν ἀναπαύσεως; τῆς δὲ πρὸς πάντα καταλλήλου εὐαρμοστίας; βούλομαι μὲν οὖν, ὅτι μὴ στωμύλος, ὑπὲρ ἐκείνου διαγωνίσασθαι, εὑρί-

285 *οἰκεῖον* O r *οἰκείων* b B man.[2] mg. lac. B *διερμηνεύουσα* codd. *ὑφερμηνεύουσα* Al. **286** *πραγμάτων* B r *συγγραμάτων* b *ἐπατενίζων* r *ἐνατενίζων* B b **288** *παρὰ* B r *περὶ* b **288** *μετατυποῖ* B b r man.[2] mg. *μεταποιεῖ* r **293** *ὥσπερ* B b *ὡς* r **293** *κυβερνήτης* b r B man.[2] mg. *τεχνίτης* B r man.[2] mg. **294** *εἱστήκει* B b r *ἑστήκει* O corr. *ἑστήκοι* **296** *δὲ οὗ* B r *δ' οὗ* b **297** *πατρίδας* b r B man.[2] mg. *πέδας* B *παῖδας* r man.[2] mg. **298** *δὲ* om. b **301** *οἱ* om. B **306** *μὲν* om. b

σκω δὲ τοὺς λόγους αὐτῷ μηδὲ ταύτης τῆς χάριτος ἀποδέοντας, ἀλλ' ὅπου μὲν καὶ τὸ περιττὸν ἔχοντας, ἐν δέ γε τοῖς πλείοσι τὸ σεμνὸν καὶ τὸ κόσμιον· δύο δὲ ταύτας 310 ὁδοὺς αὐτῷ θέμενος, μαρτυρικὴν ἔνστασιν καὶ ἀσκητικὴν καρτερίαν, τρέχει μὲν ἐπ' ἀμφοῖν τοῖν σταδίοιν οὐ μετὰ ποδῶν ὠκύτητος, ἀλλὰ μετὰ λογισμῶν ὀξύτητος· μάλιστα δὲ τὸν ἀσκητικὸν διαθέων δίαυλον εὐτονώτερος αὐτοῦ καὶ ἀγωνιστικώτερος γίνεται. πιαίνει γοῦν μοι τὴν ἀκοήν, ὁπη- 315 νίκα ὁ λόγος αὐτῷ ἄνεισι μὲν ὄρη, ὕπεισι δὲ σπήλαια· ὑπό τε πίτυν ἢ δρῦν τινα καθίζει τῶν ἀσκητῶν καὶ σχεδιάζει αὐτῷ τροφὴν τὴν ἐκ βοτανῶν καὶ πόμα τὸ ἐκ πηγῶν· περιανθίζει γὰρ τὰς τοιαύτας διηγήσεις λέξεσί τισι τὸ καλὸν ἀνθούσαις καὶ σχημάτων ποικίλαις ῥοδωνιαῖς καὶ ὡς ὁρώ- 320 μενα δείκνυσι τὰ τότε καιροῦ πράγματα μᾶλλον πραττόμενα. ζηλῶ μὲν οὖν ἐγὼ τὸν ἄνδρα καὶ τῆς τοιαύτης εὐστομίας καὶ χάριτος, οὐδὲν δὲ ἧττον τῆς εὐχρηστίας τῶν ὑποθέσεων· εἰ γὰρ κἀμοὶ πολλὰ καὶ περὶ πολλῶν συγγέγραπται, ἀλλ' οὐκ ἂν ἔχοι τοιοῦτον ζῆλον καὶ μίμησιν τὰ 325 σπουδάσματα. ἀλλὰ λογίοις μὲν ἴσως ἀνδράσι φανήσεται

316–317 cf. Hom. Od. 9,186

310 *τὸ σεμνὸν καὶ* codd. del. Al. **311** *μαρτυρικὴν* Bbr *μαρτυρὴν* O **312** *οὐ* brB s.l. man.[2] *ἀλλά* B *μετὰ* om. B Al. **313** *ὠκύτητος* br *ὠκύτατος* B *ὠκύτητι* Al. *μετὰ* codd. del. Al. *ὀξύτητος* br *ὀξύτατος* B *ὀξύτητι* Al. **314** *αὐτοῦ* B *ἑαυτοῦ* br *αὐτοῦ* O **315–316** *πιαίνει – ὄρη* om. b **317** *τῶν ἀσκητῶν* b *τὸν ἀσκητὴν* Br **318** *τὴν ... τὸ* om. O add. s.l. B **319** *τὸ καλὸν* brB man.[2] mg. *τῶν καλῶν* B **320** *ποικίλαις* bB man.[2] mg. *ποικίλλαις* r *ποικίλλει* Br man.[2] mg. **321** *πράγματα μᾶλλον* om. Br **323** *δὲ* br *τε* B **324** *συγγέγραπται* Fr. *συγγεγράφεται* b *συγγράφεται* Br **325** *ἔχοι* br *ἔχῃ* O lac. B *τοιοῦτον* Or *τοσοῦτον* b lac. B **326** *ἴσως* brB man.[2] mg. *ἴσθι* B

περισπούδαστα καὶ ζηλώσουσι ταῦτα διὰ τὴν λέξιν καὶ τὸν ποικίλον σχηματισμόν, καταφρονήσουσι δὲ οἱ πολλοί, ὅτι μὴ μέλον αὐτοῖς ζητημάτων καὶ ἐννοιῶν ἀπορρητοτέρων.
330 *Φασί γέ τοι μηδ' ἐκ παρέργου τοῦτον ἧφθαι τοῦ πράγματος μηδὲ αὐτὸν προθέμενον, εἰ μὴ ὅσον βούλεσθαι· βασίλειοι δὲ τοῦτον παρακλήσεις ἐπὶ τοῦτο προήνεγκαν καὶ οἷς ἐφροντίζετο λόγος καὶ σύνεσις. καὶ ἦν αὐτῷ ἡ παρασκευὴ ἐξ ἑτοίμου κύκλος τε οὐ βραχὺς τῶν τε πρώτως ἐν-*
335 *σημαινομένων τὴν λέξιν καὶ τῶν μετὰ ταῦτα τιθέντων· καὶ ἄλλος ἐπ' ἄλλῳ, ὁ μὲν τὰ πρῶτα ποιῶν, ὁ δὲ τὰ δεύτερα· καὶ ἐπὶ τούτοις οἱ τὰ συγγεγραμμένα ἐξακριβούμενοι, ἵν', ὅ τι τοὺς ὑπογραφέας λάθοι, πρὸς τὴν προκειμένην διορθώσωνται ἔννοιαν. οὐ γὰρ ἐνῆν αὐτῷ διὰ τὸ πλῆθος τῶν*
340 *συγγραμμάτων πολλάκις τὰ αὐτὰ ἀνακυκλεῖν τε καὶ ἐφορᾶν· ἀλλ' εἰ καὶ πολὺς ὁ ζῆλος ὀνόματος καὶ ἡ φροντὶς περιττοτέρα τοῦ δέοντος ἢ μᾶλλον πρὸς τοῦτο δὴ ἀξιόχρεως, ἀλλ' ὅ γε στάχυς ἐνενικήκει μακρῷ τὴν σπορὰν καὶ τὸ λήϊον οἷον οὐδέπω καὶ τήμερον· ὥστε εἰ καὶ μηδὲν*
345 *ἄλλο τῷ ἀνδρὶ διεσπούδαστο μηδ' ἀποχρῶντα τἄλλα σύμπαντα καὶ καθ' ἕκαστον πρὸς ἀφορμὴν εὐφημίας ἀρκεῖν, ἀλλὰ τό γε τοιοῦτον ἑλέσθαι σπούδασμα καὶ οὕτω*

327 *λέξιν* br *τάξιν* O lac. B **329** *μέλον* Br *μέλλον* Ob *ἐννοιῶν ἀπορρητοτέρων* Br *ἀπορρητοτέρων ἐννοιῶν* b **331–332** *βασίλειοι ... παρακλήσεις* brB man.[2] mg. *βασιλεὺς ... παρακαλῶν* B **332** *τοῦτο* Bb *τούτῳ* r **334** *τε*[2] om. b **338** *προκειμένην* brB man.[2] mg. *ὑποκειμένην* Br man.[2] mg. **338–339** *διορθώσωνται* Br *διορθώσονται* Ob **339** *ἐνῆν* Br *ἐν* O *ἦν* b **341** *πολὺς* Bbr *πολλοὺς* b *ζῆλος ὀνόματος* B *ζῆλος* r man.[2] mg. Al. *κάματος* brB man.[2] mg. **344** *ὥστε εἰ* brB man.[2] mg. *εἴτε* Br man.[2] mg. **345** *τἄλλα* r *τὰ ἄλλα* Bb **346** *ἀρκεῖν* r *ἀρκοῦν* B om. b

προσκαταπράξασθαί τε καὶ ἀκριβώσασθαι αὔταρκες ἀντὶ παντὸς ἄλλου πρὸς ἐγκώμιον τῷ ἀνδρί.

Ἔγωγ' οὖν πρὸς μὲν τὰ τῶν θύραθεν σοφῶν συγγράμ- 350 *ματα οὐδ' ἀξιῶ συγκρῖναι τὰ σπουδάσματα τοῦ ἀνδρός. τί γάρ, εἰ οἱ μὲν τούτων τοὺς Παναθηναϊκοὺς συνέθεντο, οἱ δὲ τὴν τῶν Πελοποννησίων καὶ Ἀθηναίων μάχην μετὰ τῆς σοβαρᾶς λέξεως συνεγράψαντο; καὶ οἱ μὲν κατὰ τῶν ῥητό-ρων, οἱ δὲ ὑπὲρ τῶν ῥητόρων ἀντηγωνίσαντο; ἐν οἷς τὸ* 355 *μὲν περιττὸν ἔκδηλον καὶ διαπρεπές, τὸ δ' ὠφελοῦν βραχύ τι καὶ ἀσθενές. οὐ πρὸς τούτους οὖν ἐγὼ τὸν ἐμὸν ἀγωνι-στὴν ἑλοίμην ποτ' ἂν παραβαλεῖν, ἀλλ' εἴ μοί τις δοίη, ἐν ἴσῳ ἂν τοῦτον θείην τοῖς περὶ τὸν τοῦ εὐαγγελίου λόγον πονήσασι καὶ τὸ τοῦ λόγου βάθος διερμηνεύσασιν. ὧν γὰρ* 360 *ἴσα τὰ τέλη, τούτων καὶ αἱ ἀρχαὶ παραπλήσιοι· καὶ εἰ σω-*

352–354 Orationes panathenaicas et Isocrates (or. 12) et Aelius Aristides (or. 1 Lenz/Behr = 13 Dindorf) scripserunt. Historiam de bello Peloponnesiaco et Thucydides et Xenophon (Hell. 1–2, 3, 9) scripserunt

348 *προσκαταπράξασθαί* Fr. *προκαταπράξασθαί* b *καταπράξασθαί* Br *ἀντὶ* Br *παντὶ* b **350** *θύραθεν* brB man.[2] mg. *θυραίων* Br man.[2] mg. *θυρέων* O **351** *συγκρῖναι* Bbr *δικρῖναι* O *σπουδάσματα* Br *συγγράμμ* corr. *σπουδάματα* (sic) b **351–352** *τί γάρ, εἰ* brB man.[2] mg. *τί μὲν δὲ* B **352** *τοὺς Παναθηναϊκοὺς* b *τὰ Παναθηναϊκὰ* Br **353** *Πελοποννησίων* b *Πελοπονησίων* Br **355** *οἱ – ῥητόρων* om. b *ἀντηγωνίσαντο* rBman.[2] mg. *κατηγωνίσαντο* Bb **356** *ἔκδηλον* codd. *εὔδηλον* Al. *διαπρεπές* codd. *διαφανές* a. c. b **357** *τούτους* Bb *τούτοις* r *ἀγωνιστὴν* codd. *ἀνταγωνιστὴν* Al. **359** *τὸν* Bbr *τῶν* O **360** *πονήσασι* br *ποιήσασι* O lac. B *διερμηνεύσασιν* codd. *ἐξερμηνεύσασιν* Al. **361** *τὰ ἴσα* a. c. b *τέλη* brB man.[2] mg. *γένη* Br man.[2] mg. *εἰ* Bbr *ἤ* O *ὧν ἤ* Al.

τηρία ψυχῶν παρ' ἀμφοῖν τὸ τέλος τῶν ὑποθέσεων, πῶς οὐχὶ καὶ τὰ αἴτια ἐν ἴσῳ καθεστήκει ἀλλήλοις καὶ οἱ συγγραφεῖς ἐπὶ τῆς αὐτῆς σταῖεν στάθμης ἤ, ἵνα τὸ ἡμέτερον
365 *εἴπω, τῶν ἴσων κληρονομήσουσι; πόσοις δ' οὐκ ἂν στεφανωθείη ἀριστείας στεφάνοις ὁ θαυμαστὸς οὗτος ἀνήρ; μᾶλλον δὲ πόσοις οὐκ ἂν ἤδη κατέστεπται ἀναδραμὼν πρὸς θεὸν καὶ πρὸς ἐκείνοις χορεύων, ὧν ἐνταῦθα τὰ ἤθη καὶ τοὺς βίους συνέγραψεν. ἔδειξε γὰρ κἂν τῷ τέλει,*
370 *ὁποῖος αὐτῷ ὁ διεσπουδασμένος βίος ἐτύγχανεν ὤν· οὐ γὰρ ὥσπερ τετμῆσθαι αὐτὸν οἱ συνεωρακότες φασὶν οὐδὲ διῃρῆσθαι, ἀλλ' ἐῴκει ὥσπερ τινὸς δέσμης ἐλευθερούμενος καὶ ἱλαρῷ πρὸς τοὺς ἄγοντας ἀγγέλους ἀνατεινόμενος νεύματι καί πως ἐπιδιδοὺς ἑαυτὸν ταῖς ἐκείνων χερσίν, ἵνα*
375 *ταχὺ ἀποσταίη τοῦ σώματος.*

Καὶ ἐτεθνήκει μὲν οὕτως, εὐωδίας δὲ αὐτίκα πάντα ἐγεγόνει μεστά, καὶ οὐκ εὐθὺς μόνον οὐδὲ εἰς τρίτον ἦμαρ, ἀλλὰ καὶ εἰς πολλοστὴν ἀπ' ἐκείνης, ἕως δὴ κόσμος μόνος τῷ τάφῳ ἐτεθησαύριστο. καὶ ἦν ἂν μέχρι παντὸς
380 *ἀρωματίζουσα ἡ σορός, εἰ μή τινες τοσοῦτον παρηνομήκασιν, ὥστε καὶ ἕτερον παρ' αὐτῷ καταθεῖναι σωμάτιον·*

363 *καθεστήκει* br *καθεστήκασιν* B *καθ. ἀλλ.* Br *ἀλλ. καθ.* b **365** *πόσοις* codd. *πόσος* Al. **366** *ἀριστείας* Br man.[2] mg. *ἀριστείοις* br *ἀριστείαις* B man.[2] mg. **367** *ἀναδραμὼν* codd. *ἀναδρομὼν* Al. **368** *πρὸς ἐκείνοις* Or *μετ' ἐκείνων* b lac. B *παρ' ἐκείνοις* Al. *χορεύων* Ob *χορεύον* r lac. B **369** *συνέγραψεν* Bb *ἐνέγραψεν* r *ἔδειξε* codd. *ἐπέδειξε* Al. **372** *τινὸς* Bbr *τις* O **374** *πως* Br *ὥσπερ* b **375** *ἀποσταίη* b *ἀνασταίη* Br **377** *μόνον* Br *μὲν* b **377–378** *τρίτον ἦμαρ* b *τρίτην ἡμέραν* Br **378** *πολλοστὴν* Bbr *πολλὰς* O = multos dies Su. **378–379** *κόσμος μόνος* Fr. *κόσμος* Br man.[2] mg. *μόνος* brB man.[2] mg. **379** *τῷ τάφῳ* om. b **381** *παρ'* Br *ἐν* b *σωμάτιον* Br *σώματι* b

ὁμοῦ τε γὰρ κἀκεῖνο συμπεπτώκει τῷ μεγάλῳ ἀνδρὶ καὶ ἡ τῆς εὐωδίας ἔστη πηγή. τοῦτο μὲν δή σοι τὸ θαῦμα, κάλλιστέ μοι πάντων ἀνδρῶν καὶ ἐλλογιμώτατε, εἰς περιουσίαν ἐστὶν ἀποδείξεως τῆς σῆς καθαρότητός τε καὶ ἁγιότητος, 385 *ἐπεὶ καὶ τἆλλα ἀποχρῶντά σοι πρὸς τὴν τῆς ἀρετῆς ἀκριβεστάτην τελείωσιν. σὺ δέ μοι ἵλεως εἴης, εἰ μή σοι σύμπασαν διηκριβωσάμην τὴν ἀρετὴν μηδ' ἐκ πάντων τῶν σῶν καλῶν συνεμέτρησά σοι τὴν εὐφημίαν. καὶ μή με, οἷς ἐλλέλοιπα, δι' ὀργῆς ἔχοις, ἀλλ', οἷς συγγέγραφα, διὰ μνή-* 390 *μης ἄγοις, εἴ τίς ἐστι μνήμη τῶν ἐνταῦθα ταῖς καθαρωτέραις ὑμῶν καὶ θεοειδέσι ψυχαῖς.*

387 Matt. 16,22

382 *κἀκεῖνο* Br *ἐκείνῳ* b *συμπεπτώκει* om. b **383** *ἔστη* Bb = desit Su. *ἔστι* r **385** *ἐστὶν ἀποδείξεως* om. B add. B man.[2] mg. **385** *τε* om. Al. **388** *τὴν* om. B *τὴν – μηδ'* codd. *μηδὲ τ. ἀρ.* Al. **390** *ἔχοις* br p. c. B *ἔχῃς* a. c. B *μνήμης* Br *μνήμην* b **391** *ἄγοις* brB man.[2] mg. *ἔχοις* B *καθαρωτέραις* Bb *καθαρωτάταις* r **392** finit add. b *ἐν χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα τιμὴ καὶ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν* add. rB man.[2] mg.

ORATIO IN DECOLLATIONEM IOANNIS BAPTISTAE

Iam diu afflictus et mutus auctor (4ff.) nunc Ioannem Baptistam narrat et Zachariam eius patrem, qui mutus at tamen prophetis veteribus sacerdotibusque similis (41ff.) ab angelo doctus est de Israel liberando (68). Christi praecursor autem Ioannes mirabiliter natus (74ff.) ipso in genere vitae angelum imitatus est (106). qui Iesum nondum natum in utero salutavit (131ff.) potius narrari debet quam insolenter parti dei et heroes Graecorum (145ff.). Ioannes ab ineunte aetate ignotus (164ff.) nos vita sua instruxit (175–176), et patribus veteribus prophetisque similiter se solus in solitudinem abdens (183ff.) et similiter Cynicis pauperum habitum habens (226ff.) et cibo abstinens (242ff.) et adsidue orans (265ff.). hic autem Graecis omnibus praestetit philosophus, mundum scientia comprehendens (283ff.), philosophiam Socraticam (321) et silentium Pythagoreum (326ff.) exercens, atque in terra vivens quasi in caelo (343ff.). nam locis in desertis cum multos baptizavit (367ff.) tum reprehendit (387ff.) qui se pro Christo haberent (426ff.). hoc errore valde negato (433ff.) Ioannes propter multas causas se indignum habens (449ff.) non libens sed oboediens Iesum baptizavit (480). denique Herodes impius rex Iudaeorum (526ff.) ab Ioanne accusatus non solum vinculis mandavit (548ff.) sed etiam Ioannem securi percussit suum natalem impudenter celebrans (562ff.). huius sceleris causa postea Herodes repentina morte periit (618ff.). nunc Ioannes beatus caelo fruitur (632ff.), tan-

tum ab Iesu laudatus (660ff.) ut alia laudatio deficiat (669ff.).

Occasio huius orationis fortasse fuit dies festus Decollationis Ioannis Baptistae (29 Aug.).

*8. *Ἐγκώμιον εἰς τὴν ἀποτομὴν τοῦ πανευφήμου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου*

Λύει κἀμοὶ τὴν γλῶσσαν ὁ βαπτιστὴς οὐχ ἧττον τῆς πατρῴας ἐνησχημένην, καὶ τὸν λελυκότα τῷ δώρῳ δωροῦμαι, 5 *πολλοῦ τὸ εὐγνωμονεῖν τιθέμενος. ἀνῆπτο γάρ μοι καὶ πρὶν ἡ καρδία καὶ διασκευὰς ἐτύπου καὶ ἀναβάσεις ἐτίθετο· ἀλλὰ τοῦ Λυδοῦ παιδὸς ἀπηχέστερον ἔμενον τοῦ ὀργάνου πεπεδημένου. τὰ γὰρ πολλὰ τῆς ψυχῆς τοῖς τοῦ σώματος ἐπιφαίνεται, ὧν εἴ τι που παρεῖται, καὶ ταῦτά* 10 *πως ὑποστέλλεται. ἤδη δέ μοι τῆς χάριτος ποριζούσης καὶ τῶν ἐλύτρων ἀπορραγέντων ποταμίου δίκην ἐρύματος, τῷ πατρὶ τὰ ἐκείνου συνεκθειάσομαι, εἰ καὶ μὴ προφητικώτερον ἀλλ' οὖν προθυμότερον καὶ ὅσον τὸ ἐκεῖθεν ὕδωρ ἐκχέοιτο.* 15

4 Greg. Naz. or. 6,1 (PG 35,721 A 5) **4–5** cf. Luc. 1,64 **7** Ps. 83,6 **8–9** auctor filium mutum Croesi significat; cf. Hdt. 1,34

m 466ᵛ–494ʳ; p 250ʳ–265ʳ; t 12ᵛ–41ᵛ; v 294ʳ–305ʳ – Combefis 1372–1409. Cum p et m concinunt, lectionem m solam reportavi.

1–3 *Ἐγκώμιον – Ἰωάννου* v *τοῦ μακαριωτάτου καὶ σοφωτάτου τάτου* [sic] *ψελλοῦ ἐγκώμιον εἰς τὸν τίμιον Πρόδρομον* t *Ἐγκώμιον εἰς τὸν ἅγιον Ἰωάννην τὸν βαπτιστήν* m *τὸν* om. p **8** *ἀλλὰ* ⟨*καὶ*⟩ *τοῦ* m

Εἰ δὴ τοιγαροῦν τῆς φωνῆς οἱ λόγοι καὶ τοῦ κήρυκος τὸ ἀπήχημα καὶ ὑψόθεν τὰ τοῦ ἀγγέλου, προσεκτέον τοῖς λεγομένοις μὴ ἀνειμένως ἀλλ' εὐσυνέτως, ἵνα δαψιλῶς τῶν ἐκείνου ἐντρυφῴημεν. εἰ γὰρ τοῖς ἀσέμνων ὑποκριταῖς οὕ-
20 *τως ἡ πόλις πανημέριος ἤρτηται, ὡς μηδ' αἰσθέσθαι τῶν ἄλλων ἁπάντων οὐδ' ὅ τι οὖν μόνων δὲ τῶν κρουμάτων εἶναι καὶ κινημάτων, καίτοι τῆς ἐνδείας εὐτόνως τοῖς πολλοῖς ὑποικουρούσης αὐτῶν, ὅσῳ χρὴ τοῖς τὰ θεῖα πανηγυρίζουσι καὶ ὧν ἡ ὑπόθεσις ἀρετῆς ἀκούσματα καὶ θε-*
25 *άματα καὶ οὕτω φαιδρὰ καὶ ἐπεραστά, ὡς καὶ φίλτρον ἔχειν εὖ μάλα ἐμποιεῖν καὶ ζῆλον ὑφάπτειν τοῖς τῶν τοιούτων ἐφιεμένοις. ὅτῳ μὲν οὖν καὶ ὅθεν καὶ ὑπὲρ ὧν ὁ λόγος, οὕτω μοί πως ἐναλήθως τε καὶ εὐσυνόπτως ἢ κατὰ Πρόκλον ἀνωμολόγηται. τῷ μὲν γὰρ οἱ παράλογοι τῶν*
30 *προτάσεων ἀφθονώτεροι· ἐμοὶ δὲ τὸ ἀληθὲς γυμνόν τε καὶ ἀδιάσκευον.*

Ἵνα δὲ τοὺς ἐγκωμίων παρελεύσομαι τόπους, χώρας καὶ γένη καὶ περιουσίας καὶ θρόνους καὶ ὅ τι μικροπρεπὲς καὶ τῶν κάτω (κολοιῶν γὰρ τοῖς ἐκ γειτόνων ἐγκαλλωπίζεσθαι,
35 *οἷς γε καὶ μείζων ἡ ἀδοξία, τῶν ἀλλοτρίων ὑπαπιόντων), ὀλίγα ἄττα τῶν Ζαχαρίου μνησθήσομαι μόνον· καὶ ταῦτα, ἐπεὶ μηδὲ δίχα ῥίζης ἄνθος ἐπινοήσαις μηδὲ πηγῆς ὀχετὸν μηδὲ μετάλλου χρυσὸν οὐδέ τι σχεδὸν τῶν τοιούτων ἀναί-*

16 cf. Matt. 3,3 etc. cf. infra 65–66 **28–31** cf. Ammon. in Arist. de interp. p. 1,6–11 (Busse) **34–35** Aesop. fab. 103 Hausrath/Hunger; cf. Psell. orat. 15,165 Littlewood

19 *τοῖς* vm *τοὺς* t **21–22** *μόνων δὲ τῶν κρουμάτων εἶναι καὶ* vm *μόνων εἶναι τῶν κρουμάτων καὶ* t **27–28** *καὶ ὑπὲρ ὧν ὁ λόγος* om. t **28** *τε* om. t **35** *οἷς γε καὶ* om. t **36** *μνησθήσομαι* t *μνησομαι* vmp s. l. *σθή* man[2] **37** *πηγῆς* vm *πηγᾶς* t **38–39** *ἀναίτιον* ⟨*ὧν*⟩ *καὶ* t

τιον, καὶ ὅπως ἐνδοξοτέραν ἢ κατὰ Σαμουὴλ παραστήσαιμι τὴν ὠδῖνα· οὐ γὰρ ὅτι προφήτου τιμιωτέρα, ἀλλ' ὅτι 40
καὶ ὑψόθεν σαφῶς ὑψηλοτέρα. ἐκεῖνος οὖν, ἵνα τὰ καίρια εὐλαβώμεθα, τὴν ἀρετὴν ὅση φρένα καὶ ἤθη κοσμεῖ τῶν κατ' ἐκεῖνον ἀνεστηκὼς καὶ τοὺς περὶ Ἐλεάζαρ καὶ Ἰθάμαρ παραδραμών, ὡς καὶ Ἀαρὼν συναμιλλᾶσθαι, προσανέχει τῷ ἱλαστηρίῳ καὶ τῷ δήλῳ κοσμεῖται καὶ τελειοῦται 45
τῷ μύρῳ καὶ ἁγνῶς ἐπαφᾶται τῶν ἱερείων (καὶ γὰρ ἀνάγνοις ἀνέπαφα) καὶ καταγίζει τὸ σύνθεμα ὄντως εὐωδίας ὀσμήν, καὶ μέντοι τῆς ἁγιστείας δῶρον, θείας ἐμφανείας καὶ ὀμφῆς ἀξιοῦται καὶ τὰ τῆς χάριτος ἐνσημαίνεται. εἰ γὰρ ὁ ἔκφυλος Βαλαὰμ παρ' αὐτοῖς δηλοῦται τὰ κρύφια, 50
πρὸς δὲ καὶ προφητείᾳ τιμᾶται, ὅσον ὁ γνήσιος καὶ τῶν τοιούτων, εἰ καί τις, ἐπάξιος, πλὴν ὅτι μὴ σαφῶς τε καὶ εὐθυβόλως. τὰ γὰρ πολλὰ τῶν θείων δυσέφικτά τε καὶ δυσθεώρητα. ἐπεὶ καὶ αὐτὸς διαπορεῖ καὶ κυκᾶται καὶ ὡς ἀντιρρόποις πνοαῖς πέλαγος ἀντιστρέφεται καὶ κυμαίνεται, 55
καὶ γὰρ τοῦ Ἰσραὴλ ἐντυγχάνων, παιδοτοκεῖν ἐπαγγέλλεται, καὶ ταῦθ' ὑπὲρ τὸν τοῦ μύθου τελῶν Τιθωνόν, ὅπερ ἀπεναντίας προσίστατο. τὸ δ' ἦν ὄντως οὐ τοῦ Ἰσραὴλ

39–40 cf. 1 Reg. 1,5–28 **43–44** cf. 1 Paral. 24,1–2 **44–45** cf. Os. 3,4 **47–48** cf. Exod. 30,7 cf. Exod. 29,18 et al. **50–51** cf. Num. 23–24 **56** cf. Luc. 1,12–13 **57** cf. Luc. dial. mort. 7,1

39 *ὅπως* vm *πῶς* t **42** *εὐλαβώμεθα* m *ἐκλαβώμεθα* v *ἐκβώμεθα λα* s. l. t **43** *καὶ Ἰθαμαρ* vm *καὶ ἡ αθαμαρ* t **44** *καὶ* om. t **46** *ἐπαφᾶται* vm *ἐφάται* t *ἀνάγνοις* vm *ἐν ἁγνοῖς* t **50** *αὐτοῖς* vm *αὐτῆς* t **52** *τοιούτων* tv *τοιού* mp mg. *των εἰ καί τις* vm *οἰκέτης* t **54** *αὐτὸς* corr. Cb. *αὐτὸ* codd. *κυκᾶται* vm *κυκᾶτω* t **57–58** *ὅπερ ἀπεναντίας προσίστατο* om. t

ἀλλὰ καὶ τῆς ὑφ' ἡλίῳ ῥύσιον, διὸ καὶ ἐνδοιάζων ἀντερεῖ
60 *καὶ παρεῖται τὸν λόγον ἀντεξαγόμενος μείζονι. καὶ προστι-*
μᾶται κωφεύειν, ἐπεὶ μὴ τοῖς προλαβοῦσι παιδαγωγοῖτο·
καὶ ἡττημένος ἐκχωρεῖ, ὡς ἄν, οἶμαι, τὰ θεῖα περιφανέ-
στερα φαίνοιτο καὶ τὰ τῆς ἀσθενείας κατὰ τὸν Ἰακὼβ
ἀπελέγχοιτο· τὴν μέντοι ἀφωνίαν ὁρίζεται, ὅτι μηδὲ θέμις
65 *ἐπὶ τῇ φωνῇ εὐφωνεῖν. φωνεῖ μέντοι τῶν προφητῶν εὐτο-*
νώτερα καὶ τρανότερα, τοῦτο μὲν καὶ τῇ τῆς φωνῆς, οἶμαι,
δυνάμει, τοῦτο δὲ καὶ ὅτι μεῖζον ὢν κολάσειεν ἀντισηκοῦ-
ται θεός. οὕτω τοῦ Ἰσραὴλ Ζαχαρίας πρῶτος ἀκούεται καὶ
τῆς ἐλευθερίας ἀρραβῶνα τὸν τόκον προοιμιάζεται καὶ τῶν
70 *προτέρων εἰς δεῖγμα κωφεύει, ὡς ἂν θειοτέρᾳ γλώσσῃ καὶ*
καινοτέρᾳ τὰ τῆς χάριτος ᾄδοιτο.

Τοιαύτης ἐπαγγελίας, τοιαύτης ὠδῖνος ὁ Πρόδρομος, γῆ-
θεν σεπτῆς, σεβασμίας ὑψόθεν καὶ παραδοξοτέρας ἀμφοῖν.
καὶ στεῖρα πρὸ τῆς παρθένου καὶ ῥυσὴ γαλουχεῖ, ἵνα θαύ-
75 *ματα θαυμάτων ἡγῆται καὶ παράδοξα παραδοξοτέροις*
ἐνείρηται. καὶ γὰρ ὁ πλοῦτος τῆς χάριτος ἄφθονος· κἀν-
τεῦθεν τὰ πρώην ἐστειρωμένα τελεσφορεῖν ἐναπάρχεται.
ἀλλ' ἵνα τὸν εἱρμὸν καὶ τὸ εὔτακτον καὶ ὡς οὐχ ἑτέρως
ᾠδοποιεῖτο τὸ σωτήριον ὅτι τε σωρὸς ἀγαθῶν, κατὰ τὴν
80 *παροιμίαν, ὁ τόκος, ὑποδηλώσαιμι, μικρὸν ἀναδραμὼν ᾠδί*
πως, τὴν ἀρχὴν καταστήσομαι.

63–64 cf. Gen. 32,32 **68–71** cf. Luc. 1,64 etc.
79–80 CPG I 4,10; cf. Ar. Plut. 804

59 *καί*[1] om. t **60** *προστιμᾶται* m *προτιμᾶται* tv
61 *παιδαγωγοῖτο* vm *παιδαγωγεῖτο* t **65** *εὐφωνεῖν* t *ἀφωνεῖν*
vm *εὐτονότερα* t *εὐφωνότερα* vm **71** *ᾄδοιτο* vm *ᾄδοι* t
72 *τοιαύτης*[1] vm *ταύτης* t *ὠδῖνος* vm *ὀδῦνος* t **73** *ἀμφοῖν*
vm *ἀμφοινῶν* t **75** *ἡγῆται* vm *ἡγεῖται* t **79** *ᾠδοποιεῖτο*
Fr. *ᾠδοποιῆτο* vm *ὁδοποεῖτο* t *τὸ* om. t **80** *ᾠδίπως*
vm *ὡς δ' εἴπως* t

Κατεσοφίσθημεν τῷ ἐχθρῷ· κατεστρατηγήθημεν τῇ ἐλπίδι· τοῦ εὖ εἶναι τὸ μὴ ὂν ἠλλαξάμεθα· οὐκ ἦν τῶν ἀρκύων ἐξαιρεθῆναι, ὅτι μὴ ἁπλοῦς τις ὁ τεκτηνάμενος. ἐχρῆν ἐπιδειχθῆναι τὰ τῆς προνοίας· καὶ γὰρ ἄφατος, οὐκ 85 *ἠκρωτηριασμένη γε κατ' Ἐπίκουρον. ἡ δὲ πρῶτα τοῦ τῆς ζωῆς ἀπάγει φυτοῦ, μὴ ἀτελεύτητα πάσχοιμεν. προϊόντι δὲ καὶ λόγου καὶ νόμου τῷ ἀλογήσαντι μεταδιδοῖ συνιέναι τὸ δέον, ἐκστῆναι τῆς ἄλης καὶ δευτέρων ἀμεινόνων τυχεῖν. ὁ δέ – φεῦ τῶν ἐμῶν – ἔτι παρασυνεβλήθη τοῖς κτήνεσιν.* 90 *οὐ γὰρ ἐπιπολῆς ἡ ἐπίσκηψις· ἡ δὲ κἀκ τῶν ἀριστερῶν μεθοδεύεται, τῶν γὰρ ἐναντίων θάτερον ἀναγκαῖον. καὶ δὴ καὶ δειμαίνει· τρύχει· πῦρ ὀμβρίζει· νέφη ξηραίνει· ἀμφοτέρων δεδίττεται ἀφ' ὧν ἡ σύγκρασις. τοῦ δ' ἐμμένοντος ὡς ἄν, οἶμαι, τὸ πᾶν ᾖ θεοῦ καὶ τῆς ἄνω ῥοπῆς τὸ* 95 *πρῶτον ἄκος καὶ τελευταῖον, αὐτὸς ἥκει τὸ καθ' ἡμᾶς ὁ θεός καὶ τοῖς ἐν χώρᾳ καὶ σκιᾷ θανάτου τὸ μέγα φῶς καὶ ἀπρόσιτον.*

Ἐπεὶ δὲ λημῶσα τὸν ἥλιον οὐκ ἐνέγκειεν ὄψις θᾶττόν τ' ἂν ἀμαυρωθείη μᾶλλον ἢ αὐγασθείη, οὐδ' οἴκοι βασιλέα 100 *πενέστατος δέξαιτο, μὴ καὶ τὸ ἐνὸν ἐξολέσειε, διὰ τοῦτο νῦν ὁ ὄρθρος ὁ ἑωσφόρος προανίσχει, ἐθίζων τῷ ἀμυ-*

85–86 cf. Psell. orat. contra Cerul. apud Kurtz et Drexl[1] 259,23 **90** Ps. 48,13 et 21 **96–97** cf. Matt. 1,23 = Is. 8,8 et Is. 9,1

83–84 *ἀρκύων* vm *κυνῶν* t **85** *καὶ γὰρ* tvm [3 litt.] *γὰρ* p **90** *παρασυνεβλήθη* m *παρεσυνεβλήθη* tv **91** *ἐπιπολῆς* vm *ἐπὶ πολλοῖς* t **92** *τῶν* vm *τὸν* t *θάτερον* vmt s. l. *ω* **94** *ἀφ' ὧν ἡ σύγκρασις* om. t *ἐμμένοντος* vm *ἐμμένων* t **101** *πενέστατος* vm *πενέστατον* t *δέξαιτο* v om. mt **102** *προανίσχει* p *προδιανίσχει* tvm

δροτέρῳ φωτὶ τὸ τρανότερον. καὶ ὁ ἄγγελος πρόεισι, διαγγέλλων τὸ πρόσταγμα κυρίου καὶ προσάγων τοὺς ὑποδεξο-
105 *μένους, ἵνα μή, φησι Μαλαχίας, ἄρδην ἐξαναλώσω αὐτούς· ἄγγελος δ' οὐχ ὥς τις τῶν πρὸ ἡμῶν τε καὶ ἀφ' ἡμῶν σωματωθείς, ἐπεὶ καὶ θεός (τίς γὰρ ἀρετῆς ἔπαινος ἀγγέλῳ διεξιόντι τὰ γηγενῶν;), ἀλλὰ τῷ σταλῆναί τε καὶ ἀγγεῖλαι καὶ τῷ τῆς ἐκείνων ἀκριβεῖ πολιτείας τὴν κλῆσιν μετειλη-*
110 *χώς.*

Ἐντεῦθεν ὁ Θεσβίτης, εἰ καὶ μὴ ἐκ τοῦ Καρμήλου ἀλλ' οὖν τῆς ὀρεινῆς, προενδημεῖ, διαλλάσσων καρδίας καὶ ἀποκαθιστάνων πατράσιν υἱούς, ἵνα μὴ ὁ μέν, ὁ δὲ οὔ, ὅμου δὲ πᾶσα σάρξ τὸ σωτήριον ὄψηται. καὶ οὕτω νῦν γε-
115 *γυμνασμένοις τοῖς ἐπὶ γῆς ὁ οὐράνιος καὶ ὁ ἀγωνοθέτης ἐπὶ τὸ στάδιον στάθμην ἑαυτὸν ὑποθεὶς καὶ τὸν ἀγῶνα ὑποποιούμενος κατὰ τῆς ἀλογίας ὁ λόγος, κατὰ τῆς χειρὸς ὁ βραχίων, κατὰ τῶν ἱδρώτων ἡ ἄνεσις, ὑπὲρ τῆς εἰκόνος ὁ χαρακτήρ, ὁ πλάστης ὑπὲρ τοῦ πλάσματος, ὑπὲρ ξύλου καὶ*
120 *τῆς ἐκπτώσεως ἡ ὄντως ζωὴ καὶ ἀνάκλησις· καὶ πάλιν τοῦ βαράθρου τὸν οὐρανὸν καὶ τῆς ἀδοξίας τὴν ἐν ὕψει καθέδραν βεβαιότερον ἀντελάβομεν. τούτων καὶ διὰ ταῦτα ὁ Πρόδρομος πρόδρομος καὶ τόσων καὶ τοίων πρόξενος ἡ ὠδίς· καὶ οὐκ ἄν ποτε ἂν ἔσχεν οὕτως, εἰ μὴ προδιέλαβεν*

105 Mal. 3,23 cum Num. 16,21 cum 3 Reg. 18,20–21; cf. Luc. 1,65 **111–112** Mal. 3,21–22 **112–113** cf. Mal. 3,23 **114** Is. 40,5

103 *διαγγέλλων* tm *δι'ἀγγέλλων* v **104** *προσάγων* corr. Cb. *προσαρῶν* codd. **106** *δ'* Cb. om. codd. *ὥς τις* vm *ὅστις* t **108** *τῷ* vm *τὸ* t **112** *προενδημεῖ* vm *προενδημοῖ* t **114** *ὄψηται* vm *ὄψεται* t **115** *ὁ*[2] om. t **115–116** *ἐπὶ τὸ στάδιον* om. t **123** *προδρόμος*[2] m mg. t om. v **124** *προδιέλαβεν* vm *προέλαβεν* t

οὕτως. ἀλλ' ἐπανακτέον ἐπὶ τὰ τοῦ πνεύματος αὖθις. εἰ 125
γὰρ καὶ ἀταλαίπωρον τὸ ἐπίτομον, ἀλλ' ἀνιαρόν γε τὸ ἐπι-
ζήμιον.

Πρὸ τοῦ πλασθῆναί σε ἔγνωκά σε, τῷ Ἱερεμίᾳ πάλαι
φησὶν ὁ θεός, καὶ πρὸ τοῦ τεχθῆναι καθηγίακά σε, καὶ
ὅσα ἑξῆς. τοῦτο δὲ ἀντιστρέφον οὐχ ἥκιστα ἐπαληθίζεται 130
νῦν· πρὸ τοῦ πλασθῆναι τὸν πλάστην Ἰωάννης ἐπιγινώσκει
ἐκ νηδύος ἐπὶ νηδὺν καὶ οἷον ἀκατέργαστον εἰπεῖν ἐνο-
πτρίζεται· ἐνθεάζει καὶ ῥητορεύει τὰ τοῦ δόγματος πρὸ
τοῦ δόγματος. καὶ οἱ μὲν βλέποντες πρὸ ὀμμάτων τὸ φῶς
σελαγίζον οὐ βλέπουσι, τῆς ἔνδον ἄχλυος, ἢ βασκανίας εἰ- 135
πεῖν, κἂν τοῖς ἔξω διαγελώσης· ὁ δ' οὐ τὰ κατὰ χθονός,
τὸ τοῦ λόγου, τὸν δὲ οὐράνιον, νέφη τὴν ἐπίβασιν ἤδη θέ-
μενον καὶ πρὸς ἡμᾶς καθ' ἡμᾶς ἐπερχόμενον, ζωηρῶν ἐκ
θαλάμων ὁρᾷ· ἀμέλει καὶ τὴν κραταιὰν χεῖρα τὰ τῆς ἐλευ-
θερίας προτείνουσαν ἐπῃσθημένος σκιρτᾷ τε καὶ χορεύει 140
καὶ συνήδεται, καὶ οὐχ ἧττον ἢ περὶ τὴν κιβωτὸν ὁ Δαβίδ·
καὶ τὰ δεσμὰ μυκτηρίζει καὶ οὐκ ἀναμένει τὸν χρόνον,
πρὸς αὐτὴν μᾶλλον ἢ ὁ Πέτρος ὕστερον ἐπειγόμενος. τοι-
αῦτα καὶ οὕτω τὰ τῆς λοχεύσεως. ποῦ δὲ σὺ τοιοῦτον ἀνα-
τετύπωσαί τι; ποῦ δὲ πέπυσαι ὁ τοὺς θείους γάμους καὶ 145

128–129 cf. Ier. 1,5 **131–132** cf. Luc. 1,41 **131–133** cf. Ps. 138,16 **134–135** cf. Matt. 13,13 etc. cum Io. 1,1 **136–138** Plat. apol. 18 b cum Ps. 103,3 **140–141** cf. 2 Reg. 6,16 **142** Iob 2,9a **143** cf. Io. 21,7 **145 ff.** significat auctor plures uxores patriarcharum (cf. Gen. 16,1–2; 25,1; 25,6) et regum Iudaicorum (cf. 3 Reg. 11,1)

126 *ἀταλαίπωρον* vm *ταλέπωρον* t **133–134** *πρὸ τοῦ δόγματος* om. t **135** *τῆς* vm *τὴν* t **137** *νέφη* t *νέφει* vm **138** *ἡμᾶς καθ'* mg. p **140** *τε* om. t **146** *τῶν Ἰουδαϊκῶν* vm *τὰ Ἰουδαϊκὰ* t *καὶ πλάττων καὶ ἂν* mg. v

τῶν Ἰουδαϊκῶν παρεκτείνων, καὶ πλάττων καὶ ἀναπλάττων θεοὺς τοὺς τυχόντας καὶ πολλῷ γε ῥᾷον ἢ ὁ Φρὺξ Αἴσωπος τὰ τῆς ὕλης, ὡς μηδὲ κλήσεων ἡμᾶς εὐπορεῖν ἔτι τῷ ἀφθόνῳ τῶν θεουμένων, πλὴν εἰ μή που καὶ τὴν κυοφ-
150 *όρον Μενίππην παρεισάγεις, ὡς μέγα δή τι σφαδάζουσαν, καὶ τὸν τὰ γυναικῶν ὑποστάντα μηρόν, ἵν' ᾖ θεῖον καὶ τὸ βακχεύειν, καὶ τὸν ἐν νηδύι καὶ φθονηθέντα καὶ πηρωθέντα, καὶ τοὺς Πηγάσους τε καὶ Χρυσάορας, τῇ αὐτῇ τομῇ καὶ φύντας καὶ προελθόντας, καὶ οὐκ οἶδ' οὓς ἐπὶ*
155 *μᾶλλον ἐξάροιο. ὁ γὰρ αὐτοῖς σπαργάνοις καὶ τὸ συλᾶν ἐπασκήσας, μέγας μέν τις καὶ ἀξιόλογος· ἀλλ' ὅτι μετὰ κύησιν τὸ κατορθούμενον, ἑτεροῖος πρὸς τὴν ὑπόθεσιν· ἃ καὶ ὅσα τῆς τοιαύτης τερατείας ἀξιεπαινετώτερα μᾶλλον ἂν ἦν, εἰ ἔμενεν ἄπλαστα τε καὶ ἄλεκτα. νῦν δ' ὅσον ὁ*
160 *κρότος, πλεῖον ὁ γέλως καὶ ἀμφοτέρων ἡ πημονὴ τοῖς ἀκούουσιν· ἀλλὰ ταῦτα μὲν καὶ οὐδενὸς ἀπελάσαντος ἐκπεφύσηται· τὰ γὰρ ἐξ ἀρχῆς ἀνυπόστατα οὐδεμίαν τῷ ὄντι δύναμιν ἔχει. ἡμῖν δὲ πάλιν τῶν ἐξ ὑπαρχῆς ἐφαπτέον.*
Τὴν μὲν οὖν πρὸ τῆς ἥβης ἀκμὴν καὶ τὴν ὑψηλὴν χεῖρα

150 significatne auctor matrem Eurysthei, quae in Schol. Hom. Il. 19,116 Menippe nominatur? cf. Hom. Il. 19,95–125 **151** auctor partum Dionysi significat; cf. Apollod. 3,26–27 **152** significatne auctor Hephaestum? cf. Hom. Il. 18,395–397 **153–154** cf. Hes. theog. 280–281 **155–156** auctor infantem Mercurium significat; cf. Hom. hymn. 4,18

149 *καὶ* t om. vm **150** *Μενίππην* Fr. *μήνιγγα* vm *μήνιγκα* t *Μήνιπα* Cb. (cf. Schol. Hom. ad Il. 19,116) **153** *χρυσάορας* vm *χρυσάωρας* t *χρυσαόρους* p **154** *φύντας* vm *φήντας* t **155** *ἐξάροιο* vm *ἐξάροι* t **156** *μέν τις* vm *μέν τοι* t *μετὰ* ⟨*τὴν*⟩ *κύησιν* t **157** *ἑτεροῖος* tm *ἑταιροῖος* v **160** *πημονὴ* vm *πηγμονὴ* t **163** *τῶν* vm *τὸ* t

καὶ τὸ παρ' ἡλικίαν φιλόσοφον καὶ τὴν αἰδὼ καὶ τὸ μεί- 165
λιχον καὶ τὸ ἔννουν καὶ εὐεπήβολον, Ἰκαροὺς καὶ Θουκυ-
δίδας διαδιδράσκοντα, σιγῇ τιμητέον ἐμοί· ἃ γὰρ ὑπερί-
δρυται καὶ λόγου καὶ γνώμης, κἂν ἀδοξήσειε ῥαψῳδού-
μενα, οὐ πάσχοντά τι. πῶς γὰρ τὰ καὶ ἡλίου φαιδρότερά
τε καὶ ὑψηλότερα, ἀλλ' ὅτι μὴ ὡς ἔχει φύσεως διευκρίνη- 170
ται; διὸ τὴν ἐρημίαν ἐγὼ καὶ τὸ ἔνδυμα καὶ τὸ τῆς ἀπ-
ορίας πολυειδὲς καὶ τὴν ἀποστολὴν καὶ τοὺς βασιλείους
ἐλέγχους, ὅ τι τε πρὸς τούτοις καὶ ὅ τι σὺν τούτοις οἷος
ἂν ᾧ, διηγήσομαι, οὐ τούτοις ἐκεῖνον ἀποσεμνύνων (τίς
γὰρ λόγου σεμνότης τοῖς ἔργῳ εὐδαιμονίζουσιν;) ἀλλὰ 175
πλοῦτον παιδαγωγίας ὑμῖν τὰ ἐκείνου παρατιθέμενος.

Ὁ μὲν οὖν ψάλλων, τίς ἐν ὄρει κατασκηνώσει, διαπορεῖ,
οὐ τὸ ἀνιέναι τὸ δὲ διεξιέναι μέγα τιθείς· καὶ τίς, ὁ
αὐτός, ἐν ἁγίῳ τόπῳ στήσεται; καὶ ὄρεσι, Μιχαίας, αἰωνί-
οις ἐγγίσατέ, φησι, πρὸ τῶν ἄλλων τὸ ἐντεῦθεν ὠφέλιμον 180
καὶ προορῶν καὶ προλέγων. καὶ ὅλως τὸ χρῆμα σπάνιον,
ὅτι καὶ θεῖον· κἂν αὐτόθεν ἐπιταθέν, ἥττηταί πως τοῦ ἀρ-
χετύπου. ἃ μὲν οὖν ἐκείνοις δυσεπιχείρητα, μικροῦ καὶ
ἀδύνατα, ταῦτ' ἐκ περιουσίας Ἰωάννης ἐργάζεται· ἀπαρνεῖ-
ται καὶ πρὸ τῆς ἐντολῆς ἑαυτὸν καὶ πρὸ τοῦ σταυροῦ τὸν 185
σταυρὸν ἐπωμίζεται· καὶ μισεῖ τὴν ἑαυτοῦ ψυχὴν τῷ
ἀμείνονι φίλτρῳ· καὶ οὕτω γῆς καὶ οἴκου καὶ συγγενείας,

177 Ps. 14,1 **179** Ps. 23,3 **179–180** Mi. 2,9 **184–186** Matt. 16,24 **186–187** Io. 12,25

165–166 *μείλιχον* vm *μειλίχιον* t **166** *εὐεπήβολον* m *εὐεπίβολον* v *εὐεπίβουλον* t *Ἰκάρους* v *ἱκάνους* tm *καὶ*[3] om. t **170** *τε* om. t *ἔχει* vm *ἔχῃ* t **173** *καὶ ὅτι σὺν τοῦτοις* om. t **174–175** *σεμνύνων τίς γὰρ λόγου* iter. t **176** *ὑμῖν* ci. Cb. *ἡμῖν* codd. **178** *διεξιέναι* tvm *δι* s. l. p **182** *κἂν* m *καὶ* vt **187** *ἀμείνονι* v *ἀμείνωνι* mt *φίλτρῳ* vm *φίλτρον* t

καίτοι διαφερόντων, ἀπαίρει καὶ πρὸς τὴν τῆς ἐπαγγελίας ἐπείγεται, τὰ Αἰγύπτου τοῖς ἐν Αἰγύπτῳ λιπών, τὰ
190 *Γομόρρας τοῖς ἐν Σοδόμοις, τὰ νεκροποιὰ τοῖς νεκροῖς, τοῖς περὶ Βαὰλ τὴν Ἀστάρτην, τοῖς πᾶσι τὸ πᾶν καὶ οὐδενὸς ἰσοστάσιον· διὸ καὶ στύλῳ ποδηγεῖται καὶ πεζεύει βυθὸν καὶ Φαραὼ καὶ Ἀμαλὴκ συνεκτρέχει, τὴν πρὸς τὰ αἰσθητήρια διαμάχην ἀποκρουόμενος· καὶ ψιλοῦται τῶν*
195 *ἐγκοσμίων καὶ κούφως ἐπὶ τὰ ὄρη μεταναστεύει. καὶ δὴ ἐκεῖθεν ὡς ἐξ ἀπόπτου τὰ τοῦ βίου διαγελᾷ, τὰς ἔριδας, τὰς παγίδας, τοὺς εὐπαρύφους, τοὺς ὑπερνεφεῖς, τὰς κοθόρνους ψυχάς, τὰς γλώσσας, τοὺς καινοὺς Μίδας, τοὺς καινοτέρους Ἰκάρους, τὴν ματαιότητα πᾶσαν, καὶ ὅσα*
200 *στροβεῖν τε καὶ κατασπᾶν τὴν τοῖς ἄνω ταχθεῖσαν ἰσχύει ψυχήν· καὶ τὸν ἐπαίνετον ὠδίνει φόβον, ὡς ἔχειν θεοσεβείας τε καὶ ἀρετῆς πληθύνειν βλαστήματα· καὶ ὅλος ἑαυτοῦ γίνεται καὶ θεῷ συγγίνεται, κατιόντι διὰ φιλανθρωπίαν, διὰ φιλοθεΐαν ὑψούμενος. οὕτω δῆτα μεμονωμένος,*
205 *βρέχει καὶ λούει καθ' ἑκάστην τοῖς δάκρυσιν οὐ κλίνην οὐδὲ στρωμνήν (οὐδὲ γὰρ εἶχεν) ἀλλ' ἑαυτόν, ἀνθ' ὅτου μέχρι τοῦδε συμπαραμένοι τῷ βίῳ· ἐφ' οἷς καὶ εἴ τί που ἀγνόημα τὸ γεῶδες ὑπεσύρετο σκῆνος, ἐναποσμήχει καὶ ἀποτρίβεται, ὡς ἀστέρος τῷ ὄντι λόγον ἐπέχειν καὶ τὴν*
210 *χιόνος ἀφεῖναι κάτω λευκότητα.*

192 cf. Exod. 13,21 **192–193** cf. Exod. 14,22 et Exod. 17,8 etc. **195** Ps. 10,1 **205–206** Ps. 6,7 **209** cf. Ep. Phil. 2,15–16

189 *τοῖς ἐν Αἰγύπτῳ* om. t **195** *ἐγκοσμίων* vm *ἐγκομίων* t *κούφως* vm *κοῦφος* t **198** *μίδας* m *μίσδας* v *μήδας* t **205** *βρέχει καὶ λούει* vm *λούει καὶ βρέχει* t **207** *τοῦδε* vm *τῷδε* t *συμπαραμένοι* Fr. *συμπαραμένη* t *παραμένοι* vm

Τίς οὖν εὐχῆς ἐκείνῳ καιρός, εἰ καὶ πάντων καιρός; εἰ γὰρ καὶ τῇ νῦν ῥᾳστώνῃ τὸ χρῆμα μεμέτρηται καὶ τὸ δυσκίνητον τύπος γέγονεν, οὕτω τῇ τοῦ βίου περιπετείᾳ διορισάντων ἡμῶν, ὁ δ' οὕτως ὄντως ἀδιαλείπτως προσεύχεται, ὡς (εἰ μὴ μέγα εἰπεῖν) ἀναπνέοι ὁ ζῶν. ᾔδει γὰρ ὡς 215 *θεῷ προσιὼν τιμιώτερον ἄνθρωπος καὶ διὰ τοῦτο τῶν πολλῶν ἀπονοσφίζεται, οὐ κατὰ Τίμωνα (πῶς γάρ;) τὸν ὄντως μισητὸν καὶ ἀπόπτυστον, ἡ τῆς ἀγάπης ἀκρόπολις, ἀλλ' ὡς ἂν ἑνοῖτο θεῷ συνεχέστερον, τῶν τῇδε μηδενὸς ἐμπαζόμενος. τί δήπουθ' οὖν τῶν θεόθεν ὅ γε τοιοῦτος οὐ* 220 *δυνήσαιτο; τί δαὶ οὐ λήψαιτο; εἰ γὰρ πᾶς ὁ αἰτῶν λαμβάνει καὶ πίστις ἐοικυῖα κόκκῳ σινάπεως ὄρη μεθιστάνει καὶ καινοτομεῖ τὰ ἀμήχανα, τί δήποτ' ἂν ἐκείνῳ τῶν ἁπάντων ἀνήνυτον ἦν, εἴ γε μὴ τῶν τοιούτων οἰκονομικώτερον εἴργετο;* 225

Ἐσθὴς μὲν Κυσὶν ὁ περιφορητὸς τρίβων. φιλοῦσι γάρ, ὥσπερ τὴν κλῆσιν, οὕτω καὶ τὰ τοῦ ζῴου λοιπά, καὶ φωνοῦσι βαρὺ καὶ δάκνουσι, σαίνοντες, καὶ πλὴν τοῦ ξύλου, τὸ ἐπίπαν κυνίζουσιν, ὥσπερ οὐκ ὄντων ἀνθρώπων οἷς γε ῥυθμίζοιντο· τῷ μέντοι ἀγοραίῳ καὶ ἐπιτετηδευμένῳ καὶ 230 *τάδε ἀπολλύουσι, οὕτω τῆς δίκης κατὰ τὸ εὖ δικαζούσης,*

211 Eccl. 3,1 **214–215** 1 Thess. 5,17 **216–218** philosophus in tempore Periclis significatur, cuius solitudinem et odium in humanitatem describat Lucianus in dialogo Timone (cf. 42–44) **221** Matt. 7,8 **222–223** Matt. 17,20

214 *ὄντως* om. t **215** *ἀναπνέοι* vm *ἀναπνέει* t **216** *τιμιώτερον* vm *τιμιώτερος* t **218** *καὶ ἀπόπτυστον* om. t **219** *ἑνοῖτο* vm *αἰνῶ τῶ* t **221** *δαὶ* vm *δὲ* t **222** *ὄρη* mt *ὄρει* v **224** *γε* om. t **228** *ξύλου* vm *ζήλου* t **230** *τῷ ... ἀγ-ῳ ... ἐπ-μένῳ* vm *τό ... ἀγ-ον ... ἐπ-μένον* t **231** *οὕτω* t *τοῦτο* vm

ἵνα καὶ τρύχωνται καὶ γελῶνται καὶ πονῶσι καὶ τὰ τῶν πόνων ἐν κενῷ θησαυρίζοιτο. ὁ δὲ ταῖς καμήλου ἐμφιλοσοφῶν θριξὶ καὶ τῇ ζώνῃ τὰ περὶ τὴν ὀσφύν τε καὶ τὸ
235 *ἦτρον ἀπονεκρῶν, αὐχμῶν, ἀνιπτοποδῶν, ἀγρυπνῶν καὶ τοῖς ἄλλοις ὑποπιεζόμενος, διὰ ταῦτα καὶ μᾶλλον ὑποχωρεῖ, ὡς ἂν μόνοις τοῖς κρυφίοις τοῦ ὑψίστου θεοῦ αἰθριάζοι βλεφάροις· παρ' ὧν καὶ τὸ ἐπισχύειν καὶ ἡ ἀντίδοσις ὅση. τὰ γὰρ ἑτέρως γινόμενα πρὸς τῷ ἀμίσθῳ καὶ τῇ*
240 *σκηνῇ τῶν ὁρώντων συγκαταστρέφεται. τὰ δ' ἀμφὶ δίαιταν χροιῇ καὶ ὄγκῳ, φασί, δῆλα, οἷς οὐδὲν ἢ μικρὸν τῶν ἐν σοροῖς διενήνοχε· τὰς γὰρ ἐπὶ λαιμῷ μαγγανείας Σαμίοις χαίρειν ἀφείς, ὑφ' ὧν Πέρσαις λατρεύουσιν, αὐτὸς ἀκρίσι διασαλεύει καὶ μέλιτι, καὶ τούτοις ἀνημέροις καὶ πικροτέρ-*
245 *οις, ἵν' ἔτι τὴν ὄρεξιν ἀηδίζοιτο. οὐδὲ γὰρ ζῇ διὰ τὴν γαστέρα· διὰ δὲ τὸ ποσῶς ζῆν καὶ τῶνδε μεταλαμβάνει, θαρρῶν, ὅτι μὴ λιμοκτονήσῃ κύριος ψυχὰς δικαίων· εἰ οὖν, ἵν' ὁ πέλας μὴ σκανδαλίζοιτο, Παῦλος ὁ θεῖος ἀδάπανος, ὅσον, ἵν' εὐαρεστῆται ὁ θεός, οὑτοσί. ἔνθεν οὐδὲ δὶς τοῦ*
250 *σαββάτου, οὐδὲ 'τετάρτῃ τε καὶ ἑβδόμῃ' τε καὶ ὅσον ὑπὲρ*

233–235 Matt. 3,4 **243–244** Matt. 3,4 **245–246** Plut. quomodo adolesc. poet. aud. deb. 4 (mor. 21e); Diog. Laer. 2,34 **246–247** Prov. 10,3 **248** 1 Cor. 8,13 cum 1 Cor. 9,18 **249** Heb. 13,16 **249–250** Luc. 18,12 cum Zach. 8,19

232 *γελῶνται καὶ* om. t **233** *θησαυρίζοιτο* vm *θησαυρίζοιντο* t **236** *ὑποπιεζόμενος* ⟨*πάθεσιν*⟩ *διὰ* t **237** *ὑψίστου* om. t *αἰθριάζοι* vtmp a. c. *αἰθριάζει* p p. c. **238** *ἐπισχύειν* vm *ἰσχειειν* t **239** *γινόμενα* vm *διδώμενα* t **240** *ἀμφὶ δίαιταν* m *ἀμφιδίαιτα* vt **247** *λιμοκτονήσῃ* v *λιμοκτονήσει* mt *εἰ* ⟨*γὰρ*⟩ *οὖν* t **249** *εὐαρεστῆται* vm *εὐαρεστεῖται* t *ὁ* v om. mt *οὑτοσί* t *οὑτωσί* vm **250** *τε*[1] om. t

⟨ταῦτα⟩· ταύτα γὰρ ὀλιγάκις τε καὶ ἐπισφαλῆ, διὰ βίου δὲ τῇ ἀποσιτίᾳ συζῇ, ἐλαφρότερος τῷ ἔθει γινόμενος. καὶ Ἰωσὴφ μὲν ἡδονῆς καὶ δόξης Ἰὼβ καὶ χρημάτων Ἐλισσαῖε καὶ ἄλλος ἄλλου τῶν τοιούτων ἐπικρατεῖ· γαστὴρ δὲ λίαν ἀνανταγώνιστον καὶ ἀήττητον· ὁ δὲ οὕτω ταύτην συνάγει 255 *τε καὶ συστρέφει, ὡς οὐδὲ οἱ σχοινεῖς τὰ καλῴδια· διὸ καὶ νεκρὸς ἐν ζῶσιν ὁρᾶται, ἢ ζῶν ἐν νεκροῖς μᾶλλον, ὅλον ἐπὶ ψυχὴν μετοχετεύσας τὸ ζῆν. τίς οὖν ἁγνείας καὶ καθαρότητος ἐρίσειεν ἐκείνῳ; ἢ τῶν μὲν ἐπὶ γῆς δῆλον οὐδείς, ὁ δὲ τοῖς οὐρανίοις ἐρίσειεν. εἰ γὰρ οὕτω τεθνήκει* 260 *τοῖς μέλεσι καὶ οὕτως ἠλόγει τῆς ὕλης τε καὶ τῶν ὕλης, ὡς ὄντως πολλῷ μᾶλλον ἔχειν ἐρεῖν τὸ 'ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ θεός,' σχολῇ γ' ἄν, εἴ τῳ τῶν ἔτι ζώντων εἰκάζοιτο.*

Ὠιδῶν δὲ περιόδους καὶ ἀγρυπνίας πόσας ἄν τις ἐκδιη- 265 *γήσαιτο; τὸ γὰρ 'ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε' εἰς τὴν παροῦσαν καὶ ᾀδόμενον καὶ τιμώμενον πολλοστὸν τῶν ἐκείνου ὑψώσεων, εἰ μὴ ἐπὶ τοῦ ἀπείρου μετατάττοιτο. εἰ δὲ καὶ τὰς νυκτὸς ἐκτάσεις ἐπιλογιζόμεθα καὶ ἐκστάσεις, ἀνάγκη τῶν ὑπερτελεστέρων τινὰ ζητεῖν ἀριθμόν. ὕπνος δὲ* 270 *τοῖς μὲν ἐγκόποις εἰς ἐπανάκλησιν φύσεως· εἰ δέ τις καὶ*

253–254 cf. Gen. 39,7–8 et Iob 21,23–34 et 4 Reg. 15–16 **260–261** cf. Col. 3,5 **262–263** Gal. 2,20a **266** Ps. 118,164 **274** Cant. 5,2

251 ⟨*ταῦτα*⟩ Wk. *ἐπισφαλῆ* vm *ἐπισφαλῆς* t 252 *ἀποσιτίᾳ συζῇ* vm *ἀποσιτιάζων* t 253 *ἐλισσαιὲ* vt *ἐλισσεαὶ* m 254 *τῶν τοιούτων* vm *λίαν* t 255 *ἀνανταγώνιστον* vm *ἀνταγώνηστον* t 256 *τε* om. t 258 *τὸ* vm *τοῦ* t 263 *θεός* vm *χριστὸς* t *σχολῇ* t *σχολὴ* vm 268 *μετατάττοιτο* vm *μετάττειτο* t

αὐτῷ δοίη (δεῖται γάρ, ἐπεὶ τυχὸν οὐ τὸ ἐπίπαν ἀσώματος), οὕτως εἴρπεν ἐπιπόλαιος, ὡς ἐναργῶς ὁρᾶσθαι τὸ Σολομώντειον 'ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ.'

275 *Εἰ δὲ καὶ τὸ ἀκτημοσύνης αἰνεῖς κτῆμα (καὶ γὰρ αἰνετόν, ὅσον ἀπαλλάττον πραγμάτων), τοῦτο μὲν ὁ υἱὸς τοῦ ἀνθρώπου τιμῶν (υἱὸς γὰρ τῇ τεκούσῃ καὶ τῇ προσλήψει) οὐκ ἔχειν ὅποι τὴν κεφαλὴν ἔφη κλίνοιτο, εἰ μή που τὰς οὐ δεχομένας ἢ μὴ ἀξίας ὑπολάβοις ψυχάς, οἰκίας καθε-*
280 *στηκυίας λῃστῶν. ὁ δ' οὕτως ἔχων, ὡς καὶ παρέχειν ἑτέροις, ἐκείνου πέφηνεν ἀπορώτερος, εἰδὼς ὅτι μὴ ἀργυρίου τὸ ζῆν (ἢ γὰρ οἱ περὶ Καλλικράτην ἀθάνατοι, οἱ δὲ τῆς βροντῆς οὐδ' ἐφήμεροι) ἀλλ' ὄντως ἐν τῷ τὰς γραφὰς ἡμέρας τε καὶ νυκτὸς μελετᾶν ἡ ζωή· ὧν ἐκεῖνος οὐκ ἀφιστά-*
285 *μενος, ἰσχνοτέροις δὲ νοήμασιν ἐντρυφῶν ἀεὶ καὶ μέντοι καὶ τῷ τῆς κτίσεως ἐπιβαλὼν ἀναλόγῳ, πρὸ τῶν ἄλλων ἀρχὴν ἄναρχον καὶ ἀναίτιον αἰτίαν καὶ νοῦν τοῦ παντὸς τὸ θεῖον τεκμαίρεται· ὃ τοῖς περὶ Διαγόραν καὶ ἀνεξεύρετον, ὅτι 'μὴ εἰσίτω σοφία κακοτέχνῳ ψυχῇ.' εἶτα διελὼν*

276–278 Matt. 8,20 **278–280** cf. Matt. 10,13–14 **280–282** cf. Luc. 9,2–3 **282** CPG I 170,29 **282–283** significat auctor Iacobum et Ioannem, filios Zebedaei; cf. Mar. 3,17 **283–284** Ps. 1,2 **288** poeta in tempore belli peloponnesiaci significatur, qui fertur deum esse negavisse (cf. Diod. Sic. 13,6,7) **289** Sap. 1,4

272 *αὐτῷ* vm *αὐτὸ* t *δεῖται* t *δοῖτο* vm *τυχὸν* vm *τυχὼν* t 272–273 *ἀσώματος* ⟨*ὁ δὲ*⟩ *οὕτως* t 273 *ἐπιπόλαιος* vm *ἐπιπόλεως* t 275 *τὸ* ⟨*τῆς*⟩ *ἀκτημοσύνης* t 276 *ὅσον* vt *ὅσων* m 278 *ἔχειν* vm *ἔχει* t 279 *ὑπολάβοις* vm *ὑπολάβῃς* t 279–280 *καθεστηκυίας* vt *καθεστακυίας* m **281** *πέφηνεν* vm *πέφυκεν* t **282** *ἢ γὰρ οἱ περὶ* vm *ὁ γὰρ περὶ* t **284** *τε* om. t *μελετᾶν* om. t **286** *κτίσεως* vm *φύσεως* t *ἐπιβαλὼν* vm *ἐπιβαλλῶν* t **288** *Διαγόραν* vm *τῆς ἀγορὰν* t **289** *εἰσίτω* Fr. *εἰσιτὸν* codd. (cf. Sap. 1,4) *σοφία* codd. *σοφίαν* v p. c.

λογισμοῖς τῶν Θέωνος βραχυτέροις μὲν ἀλλὰ συνετωτέροις, 290
οὐ μόνον οὐ συνάναρχον οὐδὲ συν⟨αν⟩αίτιον οὐδὲ αὐτό-
ματον, κατὰ τοὺς ὄντως τοῦ αὐτομάτου, τὴν κτίσιν ὑπ-
ολαμβάνει (πῶς γάρ, ἐπεὶ παθητή τε καὶ οὐκ ἀσύνθετος;)
ἀλλὰ καὶ δευτέραν καὶ ποιητὴν καί, τοῦθ' ὅπερ πέφυκε
τάξεως, τῆς πρώτης τάξεως εὐμοιρήσασαν· καὶ ταύτης πά- 295
λιν, τὸ μὲν οἷον εἶναι σκιάν, τὸ κάτω τοῦτο καὶ πρὸς
ἡμᾶς· τὸ δ' αὖ ἀναλλοίωτον, μεταπῖπτον καὶ ἀδιάπτωτον,
διαφεῦγον καὶ ὑφιστάμενον, θεώμενον, οὐχ ὁρώμενον, καὶ
τῶν ὧν ἕκαστον ὑπέστη κατάλληλον, καὶ τοῦτο εὐμηχάνως
καὶ φιλανθρώπως, ὡς ἂν ἡμεῖς, τοῖς παρατρέχουσιν ἀποβ- 300
ουκολούμενοι, μᾶλλον ἐφιέμεθα τῶν μενόντων. ὃ δὴ πρὸ
ἡμῶν ἐκεῖνος τρυτάνῃ νοὸς σταθμησάμενος καὶ τὰ σκηνῆς
τοὺς ἐπὶ σκηνῆς παίζειν ἐῶν σοφῶς, ἐνησχόλητο τοῖς ἀϊδί-
οις. καὶ τί δήποτ' ἐκείνῳ τῶν θείων οὐκ ἦν; τί δὲ τῶν ὅσα
σοφοῖς ἡ πρόχειρος γλῶσσα καὶ ψευδομένη χαρίζεται; τοῖς 305
μὲν γὰρ μέγα καὶ τὸ σιγηθῆναι τὰ φαῦλα, τῷ δ' ἐπιζήμιον
τὸ μηδὲ φαίνεσθαι λόγον τῶν ἐκείνου ἐφάμιλλον.

Καὶ γὰρ ἦν τις, ὡς ὑφειμένως ἐρεῖν, τἄλλα μὲν ἡδυεπής
τε καὶ ἤπιος τὰ δὲ τῆς ὕλης σιδήρου στερρότερος καὶ ἀδά-
μαντος, φιλάλληλος κἂν τοῖς ὄρεσιν, εἴ γε μὴ προσώποις 310

290 significatne auctor Theonem Alexandrinum, mathematicum et astrologum, quem Suda (s.v.) in Theodosii maioris temporibus locavit? **310** cf. Io. 15,12

291 ⟨*αν*⟩ Wk. **292** *κτίσιν* vm *κρίσιν* t *ὑπολαμβάνει* vm *ὑπολαμβάνειν* t **296** *οἷον* om. t *αὖ* t om. vm **303** *σοφῶς* mtv p. c. *σοφοῖς* v a. c. *ἐνησχόλητο* vm *ἐνησχολεῖτο* t **304** *θείων* vm *τοιούτων* t **308** *ὑφειμένως* vm *ὑφειμένος* t *τἄλλα μέν* om. t *ἡδυεπής* vm *ἡδυεπιηκής* t **309** *τὰ* vm *τὸ* t **310** *φιλάλληλος* vm *φιλάνθρωπος* t *κἂν* m *κ' ἂν* v *κἄν* t

ἀλλὰ γνώμῃ τὰ τῆς φιλίας, ὢς δὲ καὶ οἰκτίρμων, εἴ τι καὶ τοῦτο διαθέσει ὁρίζεται, σεβάσμιος, εἴ ποτε παρεφαίνετο, καί, ἰδιάζων, σεβασμιώτερος, ὠχρὸς τὴν ὄψιν, ἡλιοειδὴς τὴν διάνοιαν, αἰδοῖος οὐκ ἀνθρώποις (οὐδὲ γὰρ ἦσαν) ἀγ-
315 *γέλοις δὲ μᾶλλον, οἷς θαμὰ συνηλίζετο, παλαιὸς ὁ αὐτὸς καὶ νέος, τῇ ἀσκήσει καὶ ταῖς ἐμφάσεσιν ἀόργητος, ἐμβριθὴς ἀνθρώποις τε καὶ τοῖς πάθεσι, ταπεινὸς καὶ μετὰ τόσον ὕψος, καὶ μετὰ τοῦ ἀκριβοῦς συμπαθέστερος, τὸ μὲν ἑαυτῷ τὸ δὲ τοῖς πολλοῖς ἐμποιούμενος ὄνησιν, σοφὸς τῷ*
320 *πνεύματι, τὸν λόγον προφητικός, εἴ τι τοῦ Ἀττικίζειν τὸ προφητεύειν ἐπίπροσθεν. εἰ δὲ καὶ τὸ φιλοσοφεῖν μελέτη θανάτου, πόσους ἂν Σωκράτας καὶ Πλάτωνας ἑώρας πόρρω που τῶν ἐκείνου ἕρποντας ἰχνῶν; οὐδὲ γὰρ ὅλως πρόσηβος ἦν καὶ τῇ ἐγκρατείᾳ νενέκρωτο· τὸ δὲ στωμύλον*
325 *πάλαι παρῆκεν, ἐπεὶ μὴ ὀλίγοι τοῦδε τοῦ χρήματος· οὕτω δ' ἐτίθει τῷ στόματι φυλακήν, ὡς τὴν Πυθαγόρειον γελοῖον εἶναι πενταετίαν· σιγὴ γὰρ τὰ πλείω παιδεύσειεν. εἰ δέ τι που καὶ φθέγματος δέοιτο, λῆρος ὁ Πύλιος καὶ ἡ Θρᾳκία κινύρα· οὐ τῶν ἀλόγων ἀλλὰ τῶν ἀγγέλων τοῖς*

321–322 haec definitio philosophiae, primum in Plat. Phd. 81a data, postea solita est. Cf. Ammon. in Porph. isag. prooem. p. 4,15 Busse; Elias proleg. phil. p. 8,9 et p. 12,4 Busse; David proleg. phil. p. 25,17–18 Busse; ps.-Elias in Porph. isag. 10,11 Westerink **326** Ps. 38,1 **325–327** Iambl. protr. 21 (p. 122,20 Pistelli), vit. Pythag. 68 (p. 38,20–39,1 Deubner/ Klein), 71 (p. 40,20–22 Deubner/Klein) **328–329** Nestor suasor et Orpheus musicus significantur. cf. CPG II 695,56

312 *τοῦτο* vm *τούτω* t **314** *αἰδοῖος* vmt *αἰδοῖοις* p **317** *καὶ*[2] om. v **319** *τὸ* mt *τῶ* v *σοφὸς* vm *σοφῶς* t **325** *χρήματος* vm *φθέγματος* t **326** *δ'ἐτίθει* vm *δὲ τίθει* t *γελοῖον* om. t **328** *τι που* vm *τύπου* t **329** *τῶν ἀγγέλων* om. t

ἐκείνου ἐφεπομένων, πέτρα τις παράλιος πρὸς τὰς ἐπη- 330
ρείας ὑπῆν, ἀεὶ μὲν ἀρασσομένη ἀεὶ δὲ ἐρηρεισμένη· εἰ
γὰρ καὶ πολλοὺς τυχὸν ἓν πνεῦμα στροβήσειεν, τὸν δὲ οὐδὲ
παρακινήσαιεν ἅπαντα. συνέσεως δὲ τί μεῖζον, ἢ ὅτι οὐδὲ
λόγου τόδε τὸ πᾶν ἀξιῶν, μόνα τὰ τῶν ἐπουρανίων
ἐφρόνει; 335

Καὶ τὸν μὲν Αὐσίτην λόγος ἐγκωμιάζων θεοῦ τὸ πρῶτον
'ἄνθρωπον' ὑπαγορεύει· τὸν δ' ὁ αὐτὸς μακαρίζων, μείζω
τῶν γεννητῶν ἀποδείκνυσι. τὸ γὰρ 'ἄμεμπτος καὶ δίκαιος
καὶ θεοσεβής' καὶ ὅσα τοῦ ἐγκωμίου οὐκ οἶμαι τῆς αὐτῆς
δεῖσθαι φωνῆς, πᾶσιν ἐναργῶς ὁρώμενά τε καὶ γνωριζό- 340
μενα. ἀλλὰ τί τοῖς καθ' ἕκαστα διατρίβειν καὶ ψεκάδας
ὑετοῦ καὶ χειμερίους νιφάδας τὰ ἐκείνου περιεργάζεσθαι;

Δύο τὰ ἀνωτάτω γένη τῆς ἀρετῆς, θεωρία καὶ πρᾶξις,
ὧν αἱ παραφυάδες ἀσύνοπτοι· τούτων ἡ μὲν οἷα τὰ μετεώ-
ρων προτέλεια καὶ τὰ Εὐκλείδου στοιχεῖα ταῖς ἀποδείξεσιν 345
ἐμβιβάζοντα, ἡ δὲ τῶν ὕπερθεν ἐντελέχεια καὶ οἷον εἰπεῖν
μελέτη θεώσεως· ὧν θάτερον ἐξ ὀνύχων αὐτὸς ὑπερβὰς
καὶ τὸν στοιχειώδη καὶ καθηλοῦντα φόβον τῷ τῆς ἀγάπης
τελείῳ περιπυκάσας ὅλος ἦν νοητός, ὅλος ἐπῆρτο τοῖς μετε-

336–337 Iob 1,1 338–339 Iob 1,1a 341–342 CPG II 731,52 347 *ἐξ ὀνύχων* significat aut a proprietate (cf. CPG I 252,15 et adn.) aut ab infantia (cf. CPG II 407,51a) 348 Ps. 118,120 348–349 cf. 1 Io. 4,18

331 *ὑπῆν* vm *εἰπεῖν* t *ἀρασσομένη* vm *βρασσομένη* t 332 *στροβήσειεν* vm *στροβήσαιεν* t 333 *ἅπαντα* vm *ἅπασι* t 334 *τόδε* vm *τότε* p om. t 338–339 *δίκαιος καὶ* mg. v 340 *πᾶσιν* bis a.c. p 341 *ἕκαστα* vm *ἕκαστον* t 342 *ὑετοῦ* vt *υἱετοῦ* m 343 *γένη* mt *γένει* v 344 *ἡ* vm *οἱ* t 346 *ἐμβιβάζοντα* vm *ἐμβιβάζοιτα* t 347 *ἐξ ὀνύχων αὐτὸς* vm *αὐτὸς ἐξ ὀνύχων* t

350 *ὥροις καί, ὥσπερ τὴν Ἔριν ὁ μῦθος ἐπὶ γῆς βαίνειν καὶ οὐρανόθι στηρίζειν μυθεύεται κεφαλήν, οὕτω γῇ τε καὶ σαρκὶ τελῶν, ἔτι τοῖς οὐρανίοις διέτριβεν. εἶπες ἄν, αὐτὸν ἰδών, ὅλον εἶναι ψυχήν, οὐδὲν ἢ ὅ τι βραχὺ τοῦ χοὸς ἐπαγόμενον· τοιοῦτος ὅσον ἀγεννεῖ λόγῳ ὁ μέγας ὄντως*
355 *τὴν ἀρετὴν καὶ ἀπρόσιτος.*

Ἐπεὶ δὲ μὴ ἐχρῆν ἐν αὐχμηρῷ τὸν λύχνον μένειν ἀεὶ μηδ' ἐν ἀποβύστῳ τὸν ἰατῆρα μηδὲ τὸν κυβερνήτην ὄρει (τί γὰρ ὄφελος;) ἔδει δὲ τὰς ὀφρῦς κατενηνέχθαι καὶ τὰς διασφαγὰς ἐξισωθῆναι εἴ τί τε διάστροφον εἴτε δύσβατον,
360 *εἰς τὸ εὐθὺ καὶ λεῖον μεταβαλεῖν (οὐ γὰρ ἂν ἑτέρως ἐπιδημοίη θεός), θεῖον αὐτῷ λῆμμα καὶ λόγος ἐν ἐρήμοις ψυχαῖς, τῶν πόλεων ἐκκεκωφημένων. δεῖ γὰρ ὑπερβαλέσθαι τὴν ἄτεκνον· καὶ τὴν χώραν ὑπεριδὼν τῶν θείων ὑπερορῶσαν, τὴν περίχωρον περιΐησιν ἀνακόπτων τε τὸν Ἰορδάνην*
365 *ἢ πρότερον, λουτήριον δείκνυσιν ἀγνοημάτων. καὶ γὰρ φωνὴ κυρίου ἐν ἰσχύι καὶ μεγαλοπρεπείᾳ.*

Εἰ γὰρ καὶ εἰσὶ πλυνοί (καὶ γὰρ εἰσίν, ἀλλὰ τῶν ἐπιπολῆς μολυσμῶν), τῷ δὲ καὶ τῶν βαθέων τοῦ πνεύματος. διὸ καὶ γεγωνοτέρῳ προκαλεῖται κηρύγματι τοὺς πεπαλαι-
370 *ωμένους ἐπ' ἀνακαίνωσιν, τοὺς δεδηγμένους ἐπὶ τὸ ἄκος,*

350–351 Hom. Il. 4,440–443 **353–354** cf. Eccl. 12,7 **356** 2 Petr. 1,19 **358–360** Luc. 3,5 = Is. 40,4 **362–363** Is. 54,1 **364–365** cf. Ios. 3,13–17 **366** Ps. 28,4 **368** cf. Matt. 3,11 = Mar. 1,8 = Luc. 3,16 **369–370** cf. Heb. 8,13

353 *ἰδών* om. t *εἶναι* vt *ἐνεῖναι* m *ἐνεῖναι* p **354** *ὄντως* om. t **357** *ὄρει* ⟨*τί γὰρ ὄρει*⟩ *τί* t **359** *τί τε* vm *τέ τι* t **362** *ὑπερβαλέσθαι* vm *ὑπερβαλλέσθαι* corr. t **367** *πλυνοί* vm *πλυνεῖ* t *ἐπιπολῆς μολυσμῶν* vm *ἐπιπολυσμῶν* t **369** *πεπαλαιωμένους* vm *παλαιωμένους* t

τοὺς δοριαλώτους ἐπ' ἄφεσιν, τοὺς δίψει ἐκτετηκότας ἐφ' οὕτω δαψιλεστάτην πόσιν, ὡς καὶ ποταμοὺς ἔχειν ἐν ἀνύδρῳ τὸν πεπωκότα προχέειν. καὶ ὢ τῆς τῶν συνδεδραμηκότων πληθύος, ὁπόσοι ταῖς ὄχθαις ἐρρύησαν ἀγεληδόν, ῥοιζηδόν, περιφανεῖς, ἀφανεῖς, ῥητοί τε καὶ ἄρρητοι, καὶ 375 *μόλις ὅσοι τῶν ἰδίων ἀκριβεῖς ἑτασταὶ καὶ τῆς τοῦ λουτροῦ δυνάμεως ἵστορες, ᾗ καὶ τὰ τοῦ κήρυκος ἐφειλκύετο. καὶ γὰρ ἦν τῷ ὄντι θαῦμα ἰδέσθαι, ἄνδρα τῇ φυγαδείᾳ μεμακρυσμένον, νέον φάναντα, τὸ εἶδος ξένον, τὸ ἦθος ἀμίμητον, πιναρὸν τὴν κόμην, τὴν ὑπήνην ἀτημελῆ,* 380 *μονοχίτωνα, μελανείμονα. ἡ δὲ τῶν παρόντων ὑπεροψία, αἱ κρηπῖδες, ἡ ζώνη, τὸ μεῖζον, ἡ προφητικὴ χάρις, πόσοις ἀποφοιτήσασα, τῷ δὲ ἀναλάμψασα· οἷς καὶ πολλῷ πλείοσι καὶ ἐκπληκτικωτέροις ἐχηρώθησαν ἀγυιαί, δῆμοι κεκένωνται· μεσταὶ δὲ λαῶν πᾶσαι μὲν προχοαὶ πᾶσαι δ'* 385 *ὑδάτων συστροφαί. ὁ δὲ τὴν χεῖρα τῷ φωτισμῷ μὴ ὀκλάζων, καίτοι γε τῷ αὐχμῷ τεθνηκυῖαν, ἔτι καὶ χείλη διοίγει καὶ τὴν γλῶσσαν κινεῖ καὶ στερεωτέρων ἅπτεται λόγων, οὐχ ἑκὼν μέν, (πῶς γὰρ ὁ καὶ Λαβὶδ καὶ Μωσέως πρᾳότερος;) ἅπτεται δ' οὖν (πολλῶν γὰρ καὶ πολλάκις ἐπιεικε-* 390

371 cf. Luc. 4,18 371–373 cf. Io. 4,14 372–373 Is. 43,20 **378** haec locutio Homerica est. cf. Hom. Il. 5,725, Od. 6,306 etc. **387** cf. Ps. 50,17

372 *καὶ* om. t 373 *ὢ* Cb. *ὤ* t *ὦ* vm 375 *ῥοιζηδόν* vt *ῥυζηδόν* m 377 *ᾗ* v *ῇ* m *ἥ* t **378** *τῷ* vm *τὸ* t **379–380** *νέον* vm *νέου* t *τὸ εἶδος ξένον τὸ ἦθος ἀμίμητον* vm *τὸ ἦθος ἀμύητον τὸ εἶδος ξένον* t **380** *ἀτημελῆ* vm *ἀπημελῆ* t **384** *πλείοσι* vm *πλέον* t *ἀγυιαί* v *ἀγυαί* m *αἰτιαὶ* t 385 *πᾶσαι μὲν* om. t 387 *διοίγει* vm *διήγει* t **388** *κινεῖ* vm *κινεῖν* t **389** *δαβὶδ καὶ μωσέως* vm *μωσέως καὶ δαβὶδ* t **390–391** *ἐπιεικεστέρων* vm *δὲ εἰκεστέρων* t

στέρων καταπεφρονήκεσαν) καὶ γονὰς μὲν αὐτοὺς ἀλλ' ἐχίδνης, οὐχὶ τοῦ Ἀβραάμ, ὀνομάζει· πόρρω γὰρ μιαιφονίας ἐκεῖνος, τοὺς δὲ τὸ πατρῷον μέτρον καὶ τῷ αἰτίῳ τῆς τῶν κακῶν φυγῆς ἐκπληρώσαντας προεπίσταται καὶ λίθων
395 *ἀντ' αὐτῶν γεννήματα τῷ προπάτορι δίδοσθαι προαγορεύει (εἴτε τὸ τῶν ἐθνῶν ἀτέραμνον, οὐ πολλῷ τῆς λίθων ἀντιτυπίας μανώτερον, ἤ, ὥς τινες καὶ τῶν πάνυ, τοὺς κατὰ τὸν σταυρὸν τῇ τῶν πετρῶν ῥήξει μεταθεμένους, ἢ τὸ τοῦ θεοῦ παναλκὲς αἰνιττόμενος, καινοτομοῦντος ὅθεν καὶ*
400 *ὅπως ἂν νεύσειεν) καὶ τὸν κατὰ τῆς ἀκαρπίας ἐπιδείκνυσι πέλεκυν, πολλῷ τῆς πάλαι δρεπάνης καὶ ὀξύτερον καὶ τομώτερον, καὶ τοῦτον ὑπὸ ταῖς ῥίζαις ὁλόριζον ἀπειλοῦντα τὸν ὄλεθρον καὶ τὸ πῦρ ἐκεῖθεν καῖον, οὐ κατακαῖον καὶ ἀνάλωτα δαπανοῦν, καὶ πρὸς τῇ ἅλῳ τὸν γε-*
405 *ωργὸν διαιροῦντα τοὺς φλογός τε καὶ ἀποθήκης ἀξίους· τούτοις τὴν αὐθάδειαν συστείλας, πάλιν ἀνακτᾶται δεξιωτέροις· μετὰ γὰρ φόβον ἡ ἐντολὴ βεβαιότερον ἵδρυται καὶ δὴ μετανοίᾳ τῶν τῆς ἀνοίας ῥυσθῆναι παρεγγυᾷ καὶ θατέρου τῶν χιτώνων ἀποβολῇ ἐμπρέψαι καὶ ἐναυγάσαι θα-*
410 *τέρῳ θάτερον (εἴτε τὸ ὑπὲρ τὴν χρείαν ἅπαν καλῶν εἴτε τὸ ἁπλοῦν καὶ μονότροπον), ἀμέλει καὶ οἴκτῳ τοῦ οἴκτου*

391–392 Matt. 3,7 = Luc. 3,7 **393–394** Matt. 23,32 **394–395** Matt. 3,9 = Luc. 3,8 **396–397** cf. Matt. 19,8 = Mar. 10,5 et Mar. 3,5 **397–398** cf. Matt. 27,51 **400–403** Matt. 3,10 = Luc. 3,9 **400–402** Zach. 5,1–3 **404–405** Matt. 3,12 = Luc. 3,17 **408–409** Luc. 3,11 **409–410** cf. Matt. 5,16 **411–412** cf. Luc. 6,36 **411–413** cf. Matt. 25,35 cf. Io. 4,13–14

394 *ἐκπληρώσαντος* vt *ἐκπληρώσοντας* m **397** *ἢ* om. t **401** *καὶ*[1] om. t **401–402** *ὀξύτερον καὶ τομώτερον* vm *τομώτερον καὶ ὀξύτερον* t **403** *ὄλεθρον* vm *θάνατον* t *οὐ κατακαῖον* om. vt **407** *γὰρ* om. t **409** *ἐναυγάσαι* vm *διαυγάσαι* t *θατέρῳ* vm *θατέρου* t **410** *εἴτε – καλῶν* om. t **411** *ἀμέλει ⟨δὲ⟩ καὶ* t

τυχεῖν καὶ ξενίᾳ τοῦ παραδείσου καὶ ὅλως τοῖς ῥευστοῖς τὰ ἄρρευστα κτήσασθαι· ὃ γὰρ ἐν ὕδατι ῥίψεις, τῇ τοῦ βίου ῥοῇ, ἔσται πάλιν κατὰ τὴν παροιμίαν, τὸ δὲ συνεχόμενον ἔωλον. τοῖς μέν τοι στελλομένοις τὴν πολεμίαν αἰδούμενος τοῦ θανάτου χεῖρα μόνον καὶ γλῶσσαν ἀπέχειν τοῦ πλησίον ἐντέλλεται (εἴ γε κατὰ τῶν πολεμίων, οὐ τῶν ἐμφυλίων τὸ δόρυ), τὰ δ' ἄλλα τοῖς ἔτι ζῶσι παραχωρεῖν, τοῖς δὲ φορολόγοις, μὴ βαρύτερον ἐπικεῖσθαι (ἄμμου γὰρ παραλίας φόρος βαρύτερον· εἰ δὲ καὶ ἡμεῖς ἐπιβρίθοιμεν, οὐδὲ ὁ τοῦ μύθου ὑποσταίη ἂν Ἡρακλῆς). τοσαῦτα τοῖς λελουμένοις, ἵνα καὶ ἐφόδια ἔχοιεν, εἴποτε τῷ πονηρῷ μεθοδεύοιντο, καὶ παρῆκε τὰ τελεώτερα, δείσας μή τις αὐτὸν ὑπὲρ ὃ βλέποι καὶ ἀκούοι λογίσαιτο· πλὴν ἀλλ' ἔναγχος αὐτῷ φόβος ὃν ἐδεδοίκει συνήντησε. 415 420 425

Τῆς γὰρ ἐλευθερίας καὶ παρρησίας αὐτὸν τεθηπότες, τοῦτον ἐκεῖνον τὸν ὑπὲρ οὗ τὰς ἐλπίδας ἔτρεφον ὑπετόπαζον, τὸν καινὸν Χριστόν, τὸν νόμῳ καὶ πάσῃ γλώσσῃ προφητικῇ διακείμενον, τὸ ἐξ Ἰακὼβ ἐλπιζόμενον ἄστρον καὶ τὸν τοῦ Δαβὶδ κύριον, οὗ τὸ κλέος ὑπὲρ ἄνω τοῦ Λιβάνου καὶ πλήρη τὰ πέρατα τῆς αἰνέσεως· τοσοῦτον αὐτῷ 430

413 cf. Eccl. 11,1 **415–417** cf. Luc. 3,14 **419** cf. Luc. 3,12–13 **423–424** 2 Cor. 12,6 **427–428** cf. Io. 1,20 **428–429** cf. Matt. 5,17 Num. 24,17 **430** cf. Matt. 22,45 = Mar. 12,37 cf. Is. 35,2 **431** cf. Hab. 3,3 cum Ps. 47,11

413 *ῥίψεις* vm *ῥύψεις* t **416** *τοῦ θανάτου* om. t **419** *ἄμμου* vm *ψάμμου* t **422** *καὶ* vm *κἂν* t **423** *τις* ⟨*εἰς*⟩ *αὐτὸν* t **424** *βλέποι καὶ ἀκούοι* vm *βλέπει καὶ ἀκούει* t **427** *τὸν* om. t *ἔτρεφον* vm *ἔστρεφον* t **429** *προφητικῇ διακείμενον* t *προφήτιδι κείμενον* vm **431** *αὐτῷ* vm *αὐτὸς* t

τὸ τῆς ἀρετῆς περιόν, τοσοῦτον ἡ εὔκλεια καὶ τὸ σεβάσμιον, ὡς οὕτως ἐκ προθύρων ἡττῆσαι τοὺς ἀηττήτους καὶ ἧτταν, ἣν οὐδενὶ τῶν ἁπάντων ἡττήθησαν. ὁ δέ, ἵνα μὴ ἐξ
435 *ὑπογύου παθαίνοιντο, ἥκει, φησί, καὶ ἐπιχωριάζει μέσαις ὑμῶν ταῖς καρδίαις, ἠγνοημένος, ὃν ὑποπτεύετέ με· ὁ μόνος τανύων τὸν οὐρανὸν καὶ τῷ φωτὶ λέγων καὶ οὐχ ὁρῶν τὸν ὁρίζοντα, οὗ τῶν θείων ἐγὼ τὸ ἐλάχιστον διαλῦσαι, διασαφῆσαι πόρρω τῆς ἀξίας καθέστηκα· (εἰ γὰρ εἰ-*
440 *λιγγιῶσιν ἀσώματοι, ποῦ δήποτε ὀφθείη πηλός;) αὐτὸς ἐμπύρῳ βαπτίσει τῷ πνεύματι, εἴ τι χραῖνον, ἐξαναλῶν, εἴ τι ζώπυρον, ὑπανάπτων, καὶ ὑσσώπου σμήχων λευκότερον. οὕτω διδάσκων ἐκεῖνος καὶ καρδίας ἀθρῶν καὶ βλέπων τὰ πόρρωθεν.*
445 *Ἀλλὰ τίς ἀπάξει με τοῖς ἑξῆς, φρίττοντα καὶ λόγον καὶ νοῦν, μᾶλλον ἢ ἐκεῖνος τὴν δεξιάν; αὐτός, ὁ τὸ φῶς ὑφιστάνων καὶ τὰ χερουβὶμ φρυκτωρῶν, τῷ βαπτίζοντι ῥυφθησόμενος πρόεισι. τί οὖν ὁ αἰδήμων οἰκέτης καὶ ἄγαν φιλόθεος; οὔτε γὰρ κατεπτηχὼς ὅλως ἀποδιδράσκει οὔτε*
450 *ῥᾷον ἐπιτελεῖ τὸ ἐπίταγμα· τὸ μὲν γὰρ ἀπαγεστέρας, τὸ δὲ θρασυτέρας φρενός, καὶ ἀμφότερα θηρᾶν δόξαν ἐπιτετηδευμένης· ὧν ὅσον ἐκεῖνος ἐπισφαλὲς ὑπεκκλίνων, ὅσον*

435–436 Io. 1,26 cum Io. 1,20 = Luc. 3,15 **436–438** cf. Iob 9,7–10 **438–439** Io. 1,7 cum Io. 1,27 **440–441** Matt. 3,11 = Luc. 3,16 **442** Ps. 50,9 **445** Ps. 59,11 **445–446** cf. Ps. 72,23–24

432–433 *τοσ. ἡ εὔκ. κ. τὸ σεβ. ὡς* vm *τοσ. αὐτῷ τὸ σεβ. κ. ἡ εὔκ. ὡς* t **435** *παθαίνοιντο* vm *παθαίνοιτο* t **438–439** *διαλῦσαι* ⟨*καὶ*⟩ *διασαφῆσαι* t **440–441** *ἐμπύρῳ βαπτίσει τῷ πνεύματι* vm *ἐν πύρω βαπτίσει καὶ πνεύματι* t **444** *πόρρωθεν* vm *ἔμπροσθεν* t **448** *αἰδήμων* vm *ἀείδημος* t **452** *ἐκεῖνος* vm *ἐκεῖ* t

ἀσφαλὲς ἐκεράσατο, τοῦ μὲν τὸ δέος, τοῦ δὲ τὸν πόθον ἀφοσιούμενος, ἵνα καὶ πράττοι λογίως καὶ ἀποκρίνοιτο πρακτικώτερον. 455

Τὰ μὲν οὖν τῆς εὐλαβείας πῶς ἂν ἐφάψοιτο χόρτος ἔφη πυρός; καὶ νὺξ τὸ μεσημβρινὸν ἐναυγάσεται; οὗ ἀπὸ προσώπου πυρρινίζονται λόφοι, δραπετεύουσι θάλασσαι, ἄνω ποταμοὶ ῥέουσι, γῆς περιδονεῖται θεμέλια· οὗ σκιὰν ὁ νομοθέτης οὐ φέρει καὶ Ἡσαίας 'ὢ τάλας' βοᾷ καὶ ἕτερος 460 *'ἀπολώλαμεν' καὶ 'γῆν ἑαυτὸν καὶ σποδὸν' ἄλλος καὶ 'τὸ πᾶν οὐδὲ σταγόνι ἐπέοικε'· τούτου τῇ κορυφῇ θεῖναι χεῖρα θαρρήσαιμι; τῆς τολμηρίας – εἰ δὲ καὶ μὴ φλεχθείην, ἀλλὰ τίς τὸ ἀδύνατον δοίη; ἆρ' οὐ πλατεῖ γελασθήσομαι γέλωτι, οὐδ' ἐν ἴσῳ τοῖς ἀνοητοτέροις ὀφθείς; ἐγὼ χρείαν* 465 *ἔχω ὑπὸ σοῦ βαπτισθῆναι· τίς γὰρ ἔχειν ἁγνὴν τὴν καρδίαν καυχήσαιτο, εἰ μόνον κληθείη βροτός; τίς ὅλως, ὁπότε καὶ πρὸ συμπήξεως ἐν ἀνομίαις κεκίσσηται; εἰ γὰρ καὶ τῷ πρωτοτύπῳ μέγα φυσᾷ, ἀλλ' ὁ χοῦς ἕλκει κάτω καί, πρίν τι τῶν συγγενῶν ἀπομάξασθαι, οὐκ ἀνίησι. λου-* 470 *τρὸν τὸ ὑμέτερον, ἐν γὰρ πνεύματι – θεοποιοῦν, ἐπεὶ καὶ θεοῦ – ἀναπλάττον, ὑμῶν γὰρ τοῦ δημιουργοῦ. τὸ δὲ νῦν, εἰ μὴ ἐπὶ σοὶ ἀτέλεστον, τεύξῃ τούτων ὁ λόγος καὶ φαι-*

456 cf. Apoc. 8,7 **457–458** cf. Matt. 27,45 = Mar. 15,33 = Luc. 23,44 **458** cf. Exod. 19,18 **460** Is. 6,5 **461** Iud. 13,22 Gen. 18,27 **461–462** Sap. 11,22 **465–466** Matt. 3,14 **466–467** Prov. 20,9 **468** Ps. 50,7

454 *ἀφοσιούμενος* om. vm *πράττοι* vm *πράττει* t **457** *ἐναυγάσεται* vm *ἐναυγάσετο* t **458** *πυρρινίζονται* vm *πυρινίζονται* t **459** *περιδονεῖται* v *περιδινεῖται* mt **460** *ἕτερος* vm *ἕτερον* t **461** *ἑαυτὸν* om. t **465** *οὐδ' ἐν ἴσῳ* vm *οὐδὲν ἴσως* t *ἀνοητοτέροις* vm *ἀσυνετοτέροις* t **466** *τὴν* vm *ἔφη* t **471** *ὑμέτερον* vm *ἡμέτερον* t **472** *ὑμῶν* vm *ἡμῶν* t **473** *τούτων* vm *τοῦτον* t

δροτέρων. ἔα δὲ νῦν· ὧδε γὰρ τὸν κολοφῶνα θεῖναι τῇ δι-
475 *καιοσύνῃ καλόν, ἵνα μηδὲν ἀτελὲς ᾖ τοῦ τελειοῦντος καὶ*
πληροῦντος τὸ πᾶν. ἢ οὐκ αὔταρκες, ὅσοις ὁ σκολιὸς ὄφις,
τὸ τῆς ἐμῆς χειρὸς ἔργον ξύλῳ τῆς Ἐδὲμ προϋποσπάσας,
εἰσδὺς ἰλυσπᾶται τοῖς ὕδασιν; ἄφες εἰσπραχθήσαιτο τῆς
ἐξαπάτης, οὗ μεῖζον εἰς δικαιοσύνην οὐδέν.
480 *Τούτοις, ὅτι μὴ τῶν ἄγαν φιλερίδων ἐκεῖνος, εἴκει τῷ*
ἐπιτάγματι· καὶ τὰ ἐπὶ τούτοις ὅσῳ θειότερα. τὰς γὰρ ἄνω
πύλας ἡμῖν πάλαι συνεπτυγμένας διεπτυγμένας ὁρᾷ καί,
οἷον εἰπεῖν, παραδεχομένας τοὺς ἀπωσμένους· καὶ τὸ
πνεῦμα τῷ ἐν δίναις, καίτοι συνόν, ἐπιόν, τὸν μὲν τοῖς οὐκ
485 *εἰδόσι τιμῶν, τὸν δὲ καὶ ἁγιάζον τῇ θεωρίᾳ· καὶ ὁ πατὴρ*
διὰ νεφέλης, ὡς ἔθος, ἀποσαφῶν τὸ ἀμφίβολον, ἵνα τῆς
παλαιᾶς ἀγνοίας ἐκνήψαντες τῷ καινῷ φέγγει καταστρα-
πτώμεθα. τοῦτο ἐκείνου καὶ μᾶλλον ἔργον τοῦ πνεύματος.
εἰ γάρ τις ἐξ αἰῶνος τούτῳ κεκίνηται, ὁ Πρόδρομος ἐκ-
490 *δηλότερον, ἅτε καὶ κατοπτεύσας τοῦτο σωματικώτερον·*
τοῦτο κατὰ τῆς ἀπογνώσεως εὕρημα· τοῦτο τρίβος, φέρ-
ουσα τοῖς ἀφ' ὧν ὠλισθήσαμεν· τοῦτο τοὺς πάντα νεανικ-
ούς, καὶ ὀνομαστοτέρους μὲν ⟨τῶν⟩ τοῦ Ἐνάκ, πλατύνον-
τας δὲ κατὰ πήχεις τὰ φυλακτήρια καὶ τὸ στόμα τιθέντας

474–476 Matt. 3,15 **481–484** Matt. 3,16 = Luc. 3,22 cum Ez. 44,2 **483–485** cf. Iob 28,10 et Io. 1,33 **485–488** cf. Ez. 1,4 **489–490** cf. Luc. 3,22 **491–492** cf. Ps. 16,5 **492–495** cf. Deut. 9,1–2 et Gen. 6,4 **493–494** Matt. 23,5 **494–495** Ps. 72,9

476 *αὐταρκὲς* vm *αὐταρκως* t **477** *προϋποσπάσας* vm *πρὸ ὑποασπάσας* t **484** *τῷ* vt *τὸ* m **486** *ἀποσαφῶν* vm *ἀποσφῶν* t **487** *ἀγνοίας* vm *κακίας* t **489** *τις* vm *τι* t *κεκίνηται* vm *καὶ κήνηται* t **492** *πάντα* vm *πάν-τας* t **493** ⟨*τῶν*⟩ Fr. **494** *πήχεις* vm *πήχην* t

εἰς οὐρανόν, ἰχθύων ἀφωνοτέρους εἰργάσατο, εἰδότας μὲν 495
ὅτι θεῖον, ὑφορωμένους δὲ τὴν ἀντίθεσιν, ὅτι δὲ ἀνθρώ-
πινον, μὴ καὶ κτείνοιντο, δεδοικότας εἰπεῖν, πάντων θεῖα
τὰ ἐκείνου καὶ λογιζομένων καὶ τιθεμένων. τοιοῦτος
ἐκεῖνος ὁ τῆς ἐκ νεφῶν δημηγορίας ὑπογραφεύς, ὁ ἐξ ἀγό-
νων καὶ ὑπὲρ πᾶσαν γονήν, ὁ ἐκ γῆς καὶ ἠκριβωκὼς τὰ 500
οὐράνια, ὁ ἄτροφος μικροῦ καὶ ἀσώματος, ἡ νόμου κρηπὶς
καὶ ἀρχὴ τοῦ εὐαγγελίου καὶ κοινὸς ὅρος τῶν ἀμφοτέρων,
συνάγων τῷ Μεσσίᾳ τὰ διεστῶτα, ὁ καὶ γεννητῶν μείζων
καὶ προφητῶν περισσότερος τῷ βίῳ καὶ τῷ τυχεῖν ὧν ἐπε-
θύμουν ἐκεῖνοι, ὁ τοῖς ὑπὸ γῆν προκαταδὺς τῷ ἀκορέστῳ 505
τῆς σωτηρίας, οὗ θεία μὲν ἡ ὠδίς, ὁ δὲ βίος θειότερος,
καὶ ἀμφότερα ἐπουράνια. τούτου ὁ ὑπερβάλλειν αὐχῶν
πάντῃ ἠλίθιος· εἰ γὰρ ὁ ἐγγίζων οὐδείς, ὁ καὶ παραθέειν
αὐχῶν εὐηθέστερος. ὁ μέντοι τῶν δευτερείων ἠξιωμένος
ἀναμφιλέκτως τῶν προτέρων ὁ πρώτιστος. 510

Μέχρι μὲν τούτων ῥᾳδία ἡ τρίβος καὶ οἵαν πατήσαιεν
πόδες βασίλειοι· τὰ δ' ἑξῆς (ὢ τῆς ἀνωμαλίας – φεῦ τοῦ
πᾶσιν ἐποφθαλμοῦντος καλοῖς) ᾅδης καὶ ὕδωρ καὶ πῦρ
ἄπληστα κατὰ τὴν παροιμίαν καὶ τὸ τέταρτον ἀπλη-
στότερον· τὸ δ' ἔστι κατά γε τὸν ἐμὸν λόγον ὁ πονηρός, 515
ἀεὶ τῆς ἀνθρώπων ἀπωλείας οὐκ ἐμπιπλάμενος· καὶ γὰρ

495 CPG II 322,62a (adn.) **503** cf. Matt. 11,11 **513–516** Prov. 30,15–16

498 *τιθεμένων* vm *τιθεμένου* t **501** *ἡ νόμου* vm *ἠνομένου* t **503** *γεννητῶν* vm *γενητῶν* t **504** *προφητῶν* vm *προφήτου* t *τυχεῖν* vm *τυχῶν* t **508** *πάντῃ* vm *πάντως* t **510** *ἀναμφιλέκτως* vm *ἀναμφίλεκτος* t *πρώτιστος* vm *κρατίστος* t **511** *ῥᾳδία* ⟨*ἡμῖν*⟩ *ἡ* t **515** *τὸ δ' ἔστι κατά* vm *τὸ γ' ἐστὶν καί γε* t **516** *τῆς* ⟨*τῶν*⟩ *ἀνθρώπων* t *ἐμπιπλάμενος* mt *ἐμπιμπλάμενος* v

ἀνθρωποκτόνος ἀπ' ἀρχῆς καὶ ἔπειτα λυσσωδέστερος καὶ οὐκ ἄν ποτε 'ἱκανὸν' ἐρεῖ, ἔστ' ἂν καὶ εἷς ἄνθρωπος ἀνθέξοιτο τοῦ καλοῦ. μετὰ μέντοι τὴν οἰκονομίαν, ἅτε τῷ
520 *ξύλῳ βληθείς, τυχὸν φορητότερος· τὰ δὲ πρὸ τοῦ, τῆς ὠμότητος ὅση καὶ μάλιστά γε τῷ προκειμένῳ. πρὸς γὰρ τὸ ὑπερέχον εἰς ἀρετὴν ἰταμώτερος· ἐπεὶ γὰρ ἀμέσως συμπλεκόμενος οὐκ εἶχε κρατεῖν, ὅτι μὴ καὶ πίπτειν πυκνότερον, ἀνδράσι πονηροτέροις εὐληπτότερον κατανύει τὸ*
525 *βούλημα. τὸ δὲ ὅπως, ὡδί πως καὶ ὑφηγήσομαι.*

Ἡρῴδης (ἀλλ' ὡς ἂν μὴ περιαγοίμεθα, πολλὴ γὰρ ἡ τῶν τοιούτων ὁμωνυμία, οὕτω διαιρετέον) Ἀντίπατρος, οὐ τῶν αἱμάτων Ἰούδα ἀλλὰ καὶ τῆς αὐλῆς ἔξω τοῦ Ἰακώβ, τῷ δραστηρίῳ τοῦ τρόπου περιδεῖται τὸν στέφανον, Ἰδου-
530 *μαῖος, τὸν Ἰουδαίων, ὅτι μηδὲ ὁ ἀποκείμενος καὶ προσδοκώμενος πόρρωθεν· τούτου παῖς ὁ παιδοκτόνος Ἡρῴδης, καὶ φύσεως καὶ σκήπτρων ἐκείνῳ διάδοχος, οὗ παῖδες πολλοί· καὶ ἐκ μιᾶς Ἡρῴδης, ἐκ δ' ἑτέρας Φίλιππος καὶ Ἡρῴδης· τῷ δέ γε τῆς προτέρας θαλλὸς Ἡρῳδιάς, ἥν,*
535 *καὶ συζυγεῖσαν Φιλίππῳ, Ἡρῴδης οὗτος, ὑπὲρ οὗ καὶ ὁ λόγος, ἄγεται – φεῦ – ἔτι τῷ ἀδελφῷ περιόντι· τῷ δὲ οὐ*

517 Io. 8,44 **531–532** cf. Matt. 2,16 **534–536** cf. Mar. 6,17 **536–538** cum vir sine filio moriatur, lege Judaea frater uxorem eius in matrimonium ducere debuit (cf. Deut. 25,5) de moribus Persarum fratri sororem ducere licuit, ut dicitur multis ab auctoribus (cf. Dio. Sic. 10,31 apud Tzetzes Hist. 1,587; Iul. orat. 1,9 C)

517–518 *καὶ οὐκ ἄν ποτε* vm *τὸ δ' ἐστί ποτε* t **518** *ἀνθέξοιτο* vm *ἀνθέξεται* t **519** *μετὰ μέντοι* vm *τὰ μέντοι* t *τῷ ξύλῳ* vm *τὸ ξύλον* t **520** *φορητότερος* vm *φορητότερον* t **521** *πρὸς* vm *πῶς* t **522** *εἰς ἀρετὴν ἰταμώτερος* vm *ἀμύνεται* t **525** *βούλημα* vm *βούλευμα* t **526** *περιαγοίμεθα* vm *προαγοίμεθα* t **528** *ἀλλὰ* om. t **530** *τὸν* m *τῶν* vt **532–533** *καὶ φύσεως – Ἡρῴδης* om. t **534** *γε* om. t **536** *ἄγεται* vm *ἄδεται* t

τὰ πάτρια βεβηλοῖ μόνον, πολλῷ δὲ καὶ τὰ Μήδων ἐναποκρύπτεται καὶ τὰ πλείω γε τῶν ἀλόγων. ἆρ' οὖν τῷ ἀνομήματι τούτῳ καθευδήσοι ἐκεῖνος; κείσεται ἀναπνεῦσαι; τὸ μέντοι 'ἐπ' ἀσυνέτοις ἐξετηκόμην' καὶ 'βασιλεῦσιν ἐλάλουν 540 *οὐκ αἰσχυνόμενος' καὶ ὅσα γε τοιουτότροπα ὑπεκκαύματα τοῦ ζήλου ἐκείνῳ ἐφαίνετο. εἰ γὰρ οἱ περὶ Σαμουὴλ καὶ ἀμπελῶνος καὶ μόσχου καὶ χιμάρου καὶ λόγου καὶ ὑπονοίας αὐτῆς τοὺς ἀθεμίτους ἐγράφοντο (δεῖ γὰρ εἶναι τοὺς τοῦ τελείου τελείους), τοῦτο ἐκεῖνος παραδραμεῖται; εὐχε-* 545 *ρέστερον ἄν, εἰ μὴ αὐγάζοι ὁ ἥλιος. ἰδίᾳ μὲν οὖν, ὡς εὐπαράδεκτος ᾖ, νουθετεῖ· ὅσα γὰρ ἀθετήσει καὶ ἀποσκιρτήσει βασιλεύς, κοινῇ ἐλεγχόμενος. τούτου δὲ κατὰ τὴν ἀσπίδα βύοντος, καὶ διαπρύσιον ἀπελέγχει, πῶς τὸ τῆς δικαιοσύνης, φάσκων, διάδημα ἀθεμίτῳ διαπρέψειε κορυφῇ;* 550 *πῶς δὲ καὶ κρινεῖς λαοὺς ἐν εὐθύτητι, οὕτω σοι αὐτῷ τὸ εὐθὲς παρεγχαράττων; τὰ δὲ μέλη, τί καὶ γένοιτο, τῆς κεφαλῆς πονηρῶς διακειμένης; ταῦτ' οὐκ ἔχαιρεν αὐτός, καὶ μᾶλλον ἡ γυνή, διαπεπυσμένος. τέως μὲν οὖν αὐτὸν τὸ φρούριον δέχεται, μὴ θᾶττον ἀπαγορεύσοι, ὃ πολλοῖς τῶν* 555

538–539 cf. Ps. 120,4 **539** cf. Iob 9,18 **539–541** Ps. 118,158 cum Ps. 118,46 **541–542** cf. Ps. 78,5 **542–544** cf. 1 Reg. 8,15–16 **544–545** Matt. 5,48 **545–546** cf. Matt. 6,45 **546–547** cf. Heb. 12,6 **548–549** cf. Ps. 57,5 **551** Ps. 66,5

539 *καθευδήσοι* vm *καθεύδησει* t *ἀναπνεῦσαι* vm *ἀναπνεύσει* t **540** *ἐλάλουν* ⟨*καὶ*⟩ t **541** *αἰσχυνόμενος* vm *αἰσχυνόμην* t *γε* om. t **542** *ἐκείνῳ* m *ἐκείνου* vt *εἰ γὰρ οἱ* vm *οἱ γὰρ* t *καὶ* vm *περὶ* t **544** *αὐτῆς* vm *αὐτοῖς* t *τοὺς ἀθεμίτους* vm *τὰ ἀθεμίτα* t **545** *τοῦ* om. t **546** *αὐγάζοι* vm *αὐγάζει* t **547–548** *ἀποσκιρτήσει* vm *ἀποσκιρτήσοι* t *ἀποσκιρτήσει βασιλεὺς* add. ras. et mg. v **551** *οὕτω σοι αὐτῷ* vm *οὑτοσὶ αὐτὸς* t **553** *αὐτός* om. t

ἐν ἀθυμίᾳ πως θυμηρέστερον· κἀκεῖ τῷ ἀκουσίῳ προσδαπανᾶται λιμῷ καὶ τὸ σίκερα πάλαι χαίρειν ἐῶν οὐδὲ ῥανίδος ἀξιοῦται ψυχροῦ μικροῦ δὲ καὶ ἀναπνεῖν διακεκώλυται καὶ ἐπαπειλεῖται παθεῖν τὰ ἀνήκεστα. καὶ ὁ μὲν ἐν
560 *τούτοις· ἡ δὲ οὐ νυστάζει, σκευωροῦσα τὰ καιριώτερα.*

Ἄρτι τοίνυν ἡλίου τὴν γενέθλιον Ἡρῴδου μοῖραν ἐπέχοντος, φιλοτιμεῖται τὰ τῆς ἑστίας· τοιοῦτον γὰρ ἡ λίχνος ἐπίνοια, μυρίᾳ τῇ τύρβῃ περιαντλουμένη καὶ οὐδὲν τῆς κατὰ τὸν σοφὸν βδέλλης ὑπενδιδοῦσα, ἔτι καὶ πάσης
565 *προφάσεως ἐρανίζεται τὰ τῆς θρύψεως καὶ ἡ συνήθεια νόμος γέγονεν, ἵν' οὖν ὑπερβάληται καὶ Συβαρίτας τὰ ὄψα διώροφα καὶ τριώροφα καὶ τῶν οἴνων οἱ κιρρωδέστεροι καὶ πάντα συγκλύδων καὶ θορύβων μεστά. ὡς τότε μὲν δι' ὅλης ἡμέρας αὐτὸς καὶ οἱ δαιτύμονες εὐώχηντο, ἐπεὶ δὲ*
570 *περὶ φρένας ὡς τὸν Πολύφημον καὶ αὐτοῖς ἦλθεν ὁ οἶνος, ἰδοὺ καὶ ἡ τῆς Ἡρῳδιάδος, πυρριχίζουσα μέσον καὶ πρὸς τὸν αὐλὸν κινοῦσα τὸν πόδα καὶ ῥύθμικόν τι λυγιζομένη· καὶ πᾶς τις ἐνατενίζων τῷ θεάματι, ὅστις ἀκμὴν ἀνασπᾶν ἀπὸ τῆς κραιπάλης εἶχε τὸ βλέφαρον. τί οὖν ὁ καὶ δίχα*
575 *τῶν τοιούτων παράφορος, κεπφωθεὶς ἔτι; οὐ μόνον οὐκ εἶχε συγκαλύπτεσθαι καὶ τὸ κακὸν ἐκσοβεῖν, ἀλλὰ καὶ τῆς ἀκολασίας ἔπαθλον τὸ πᾶν συμμεριεῖσθαι ἐπόμνυσι· τῆς φρενοβλαβείας, τῆς κουφότητος – ἄρα γὰρ εἰ καὶ δὶς ἐλυγίζετο, καὶ αὐτὸν ἂν εἰς ἀνδραπόδων μοῖραν ἐγράφετο· ᾧ*

557 cf. Luc. 1,15 **563–565** cf. Prov. 30,15 **566–567** cf. CPG I 156,87 et II 649,83a **570** Hom. Od. 9,362 **571** cf. Matt. 14,6 **574–575** cf. Prov. 7,22 **577** cf. Mar. 6,23 **579–580** 2 Petr. 2,19

558 *δὲ* vm *δει* t **566** *ὑπερβάλεηται* vm *ὑπερβαλεῖται* t **568** *συγκλύδων* vm *συγκλύδονι* t **569** *αὐτὸς* ⟨*δὲ*⟩ vt *εὐώχηντο* vm *εὐώχοιντο* t **570** *φρένας* ⟨*καὶ*⟩ t **575** *παράφορος* vm *παράφρων* t **576** *καὶ τὸ* bis m solus

γάρ τις ὄντως ἥττηται, καὶ δεδούλωται. τὴν δὲ Γαλιλαίαν 580
ἐλάμβανεν, ὡς ὀφθῆναι, καὶ δούλων πόλιν, ἐναντία τῆς
παροιμίας. ἡ δέ (καὶ γὰρ ἐτύγχανε προβιβασθεῖσα) τῶν
μὲν ὑπεσχημένων αἰτεῖ οὐδέν (τίς γὰρ αἰτοίη τὸ μετὰ
χεῖρα;) τὸ δὲ πολλοῦ τιμιώτερον καὶ ὃ καταπραξαμένη ἐπὶ
βεβαίῳ σχοίη τὸ κράτος· τὸ δὲ ἦν ὄντως ἡ πρόδρομος κε- 585
φαλή, ἀποσκορακίζουσα τὴν ἀνομίαν. ὁ δὲ ἄχθεται μὲν
δῆθεν, τὸ ὕποπτον ὑπεκκλίνων, ὡς δὲ γυναικὶ καὶ τότε ἀκ-
ολάστῳ τὰ ὁμωμοσμένα στήσαιτο, μᾶλλον αἱρεῖται μιαιφο-
νεῖν, κακῶν τὸ ὅτι κάκιστον προελόμενος. οὕτως ἰσχυρόν
τι, κατὰ τὸν Ἔσδραν, γυνή· ἂν δὲ καὶ παρὰ μέθην, ὅσῳ 590
δεινότερον· εἰ δὲ καὶ ἀκολαστοτέροις ἀνδράσι, τοῦτο δὴ
σαφῶς καὶ ὑπὲρ τὴν ἄπιστον Χίμαιραν, δεινὸν ἀπὸ ῥινῶν
καὶ χειλέων θανάτου μένος ἐκπνείουσα, οὐδ' ὅσον οὖν εἰ-
πεῖν. καὶ ἡ τιμία κεφαλὴ δημίων ἵκται χερσίν, ἔτι σταζο-
μένη τῷ λύθρῳ καὶ τοῦ ἐδάφους ἐμπεφορημένη· καὶ οἱ 595
θεαυγεῖς ὀφθαλμοὶ μεμυκότες· καὶ ἡ λύρα τῆς μετανοίας
ἐκτετμημένη καὶ ἄλαλος καὶ μιαρῶν χειρῶν μιαρωτέραις
ἐκδίδοται.

Ὤμοι τῆς θέας – καὶ οἱ δαιτυμόνες ἐν κατηφείᾳ καὶ ὁ
θρῆνος ὑπερηχεῖ τοὺς αὐλοὺς καὶ τὸ γενέθλιον ἐπιτάφιον· 600
οὕτω τοῖς ἰατροῖς οἱ ἀνίατα κάμνοντες, οὕτω τοῖς λάκκων

580–582 civitatem inopem proverbium significat. CPG I 324,22 **582–583** cf. Matt. 14,8 **589–590** cf. I Esdr. 4,32 et 34 **592–593** Hom. Il. 6,181–182 **596** cf. Matt. 3,2

580 *ἥττηται* ⟨*τούτῳ*⟩ t **583** *γὰρ* ⟨*ἂν*⟩ t **584** *πολλοῦ* vm *πόλλα* t *ὃ* mt *ᾧ* v **585** *τὸ*² vm *τοῦ* t **587** *ὑπεκκλί-νων* vm *ὑπεκαλύπτων* t *τότε* ⟨*γὰρ*⟩ t **588** *ὁμωμοσμένα* m *ὁμωσμένα* vt **589** *κακῶν* v *κακὸν* mt *τὸ ὅτι* vm *τῷ ὄντι* t **592** *δεινὸν* mt *δεινῶν* v **593** *ἐκ-* om. t **594** *ἔτι* vm *ὑπο-* t

ἀνέλκουσιν οἱ δεόμενοι χειρὸς ἀντιλήπτορος, τοιοῖσδε χρηστοῖς τοιαύταις τίννυνται δεξιώσεσιν. ἐπὶ μὲν οὖν τοῖς τυχοῦσιν ἀποδυσπετῶν, ὁ Ἀμβακοὺμ 'οἴμοι,' 'Κύριε' καὶ 'ἵνα
605 *τί, Κύριε' ἀποτείνεται· νῦν δὲ πόσοις καὶ ποίοις ἀπωλοφύρατο ῥήμασιν, εἰ μίσθωμα πόρνης ὁ τῆς ἁγνείας καρπός, εἰ ἆθλον ἀκολασίας ὁ μετανοίας εἰσηγητὴς καὶ ὁ ἀγγέλοις αἰδέσιμος ἄθυρμα μεθυόντων χορῷ δείκνυται καὶ οὐδαμοῦ τὸ χάσμα Δαθὰν καὶ ὁ κατὰ Βαλτάσαρ ἀστράγαλος καὶ ὁ*
610 *ἀπορούμενος πανθήρ· καὶ ὅσα ἐπὶ ξυροῦ καὶ φοβερὸν φέρειν ἔχει τὸν ὄλεθρον, καίτοι τοῦτο πόσον ἐκείνων ἀνοσιώτερόν τε καὶ ἐναγέστερον.*

Ἀλλὰ τίς ἀτενίσοι κριμάτων βυθῷ; 'χθιζοὶ γάρ ἐσμεν καὶ οὐκ οἴδαμέν,' φησιν ὁ Ἰώβ. ὁ δὲ ἀνεξίκακος μᾶλλον ἢ
615 *γὰρ δίκαιος ἔοικεν εἶναι· πλὴν ἀλλ' ἐπεὶ τῇ παροινίᾳ μένειν φιλονεικεῖ καὶ αἵμασιν αἵματα μίγνυσιν, οὐκ ἀνασχόμενος ὁ τῶν ὁσίων κριτὴς τὸν μὲν ὑπὸ τῇ ἀνομίᾳ λαὸν τοῖς ἐναντίοις δίδωσιν ἄγων· τῇ δὲ πάλαι στιλβωθείσῃ*

604–605 Habac. 2,6 et 3,2 et 1,2 **606** cf. Deut. 23,19 **609** cf. Num. 16,32 cf. Dan. 5,24 **610** cf. Os. 13,7–8 **610–611** cf. Hom. Il. 10,173–174 **613** cf. Ps. 35,7 **613–614** Iob 8,9 **614–615** cf. Ps. 7,12 **617–619** Ps. 7,13 cum Act. 12,21–23. Herod Antipas et Herod Agrippa I confusi sunt; cf. Euseb. Hist. Eccles. 2,4 et 2,10

602 *ἀνέλκουσιν οἱ δεόμενοι χειρὸς* vm *ἀνέλκοντες οἱ χειρὸς δεόμενοι* t **603** *τοιαύταις* vm *τιαύταις* t *τοαύταις* p **603** *οὖν* om. t **604** *κύριε* om. t **605** *ἀποτείνεται* vt *διατείνεται* m *ἀπωλοφύρατο* vm *ἀπολοφύρετο* t **607** *ὁ ⟨τῆς⟩ μετανοίας* t *καὶ* om. t **608** *χορῷ δείκνυται* om. t **609** *καὶ*[1] vm *οὐδ'* t **610** *ἀπορούμενος* vm *ἐπαπορούμενος* t **610** *φέρειν* om. t **613** *ἀλλὰ τίς ἀτενίσοι κριμάτων βυθῷ* om. t ⟨*καὶ*⟩ *χθιζοὶ* t **615** *γὰρ* om. t **615–616** *μένειν φιλονεικεῖ* vm *μένει φιλονικῶν* t **617** ⟨*ἀν*⟩*οσίων* t **618** *παλαὶ* vm *πάλιν* t *στιλβωθείσῃ* vm *στηλβουμένῃ* t

ῥομφαίᾳ ἐν μέσοις θεάτροις ἀπολλύει τὸν ἀλιτήριον, μιᾷ τομῇ τὸ τῆς νομῆς ἅπαν διαναστέλλων. 620
Τοιοῦτος ὁ τοῦ Προδρόμου δρόμος, τοιοῦτος ὁ ἀγὼν καὶ τὸ στάδιον, ὡς μὴ τῇ τοῦ ξίφους ἀκμῇ προέσθαι τι τῆς ἀληθείας ἀλλ' ἕνεκεν αὐτῆς καὶ τῶν πατρίων καὶ πλείους, εἴπερ εἶχεν, ἑτοίμως καταθέσθαι καὶ κεφαλὰς καὶ ψυχάς. διὸ καὶ μετὰ τὸν θάνατον οἷον ἀπὸ σκοπιᾶς τῶν οὐρανίων 625 *ἀψίδων στηλιτεύει τὸν ἐναγέστατον (στήλην Ἀρκτούρου τε καὶ Ὠρίωνος καὶ τῶν τοιούτων ἀειφανεστέραν καὶ φαιδροτέραν). οὕτω τοῦ σώματος λέλυται, μικρὸν ἢ οὐδὲν τούτῳ προσδεδεμένος· οὕτω βαπτίζει νάμασι βύσσων ἐρυθροτέροις οὐ ποταμίοις· τοιούτῳ τέλει περαίνεται, πρὸ τῶν* 630 *μαρτύρων μάρτυς καὶ πρὸ τοῦ ἱερείου ἱερεῖον ὁλοκαρπούμενος, καὶ νῦν στεφάνοις ἐρημικοῖς τε καὶ διδασκαλικοῖς καὶ μαρτυρικοῖς αὐτοῖς ἀνθιζόμενος ὡραΐζεται καὶ ἀγγέλοις ὁ ἄγγελος ἥνωται καὶ τῷ πρωτοτόκων συγχορεύει χορῷ χορείαν τὴν μόνην τερπνήν τε καὶ ἀδιάλυτον. ἐπεὶ δὲ τῷ* 635 *θανάτῳ τὸ ὑφορώμενον διαλέλυται – βαβαί, τοῦ πλήθους τῶν τεραστίων – ὁ μὲν ἡμῶν ἐπαφῇ καὶ μόνον, ὁ δ' ἐπικλήσει, ὁ δὲ καὶ τῇ εἰκόνι προσσχών, αὐτίκα τὸ αἰτού-*

619–620 cf. Ier. 10,21 **621** cf. 2 Tim. 4,7 **622–623** cf. supra 610–611 et 2 Macc. 12,22 **623–624** cf. Io. 15,13 **631** cf. Sir. 45,14

619 *μέσοις* vm *μέσῳ* t **622** *μὴ* ⟨*δὲ*⟩ t **623** *πατρίων* vm *σωτηρίων* t **624** *εἴπερ εἶχεν ἑτοίμ.* vm *ἑτοίμ. εἴπερ εἶχε* t **625** *τὸν* om. t **626** *ἀψίδων* vm *ἀντίλογον* t **627** *ἀειφανεστέραν* Wk. *ἀεὶ φανεστέραν* vm *ἀεὶ φανεῖ* t **627–630** *καὶ φαιδροτέραν – ποταμίοις* om. t **630** *τοιούτῳ* vm *τῷ* t **631** *ὁλοκαρπούμενος* vm *ὁλοκληρούμενον* t **633** *αὐτοῖς* om. t **634** *πρωτοτόκων* mt *προτοτόκων* v **635** *τερπνήν* vm *τρεπήν* t **635** *ἀδιάλυτον* vm *ἀκατάλυτον* t *δὲ* om. t **637–638** *ἐπικλήσει* vm *ἐπικρύψας* t

μενον ἔχει καὶ πύλαι θανάτου δέδενται καὶ οἱ ἀπειρηκότες
640 *ἀναβιοῦσι· νέφη σκεδάννυνται θλίψεων καὶ θυμηδίας ἀκτῖνες αἰθριάζουσι· δαιμόνια πυρπολεῖται καὶ καταλαμπρύνεται πνεύματα· αἱ καταιγίδες εἰς αὔραν, εἰς βροχὴν ἑκούσιον οἱ αὐχμοί, τὰ πάντα πρὸς τὸ εὖ μεταβάλλουσιν· οἱ ἐν ταῖς ὀπαῖς τῷ ὑποδείγματι καρτερώτεροι, οἱ ἐν μέσοις*
645 *ἐννομώτεροι· οἱ ἀποροῦντες, ἣν ἂν ἀπορίαν λογίσαιο, καταπλουτίζονται· πᾶσι ῥεύματα θυμηδίας τῶν Φάσιδος ἀφθονώτερα ῥέουσι.*

Τῷ μὲν οὖν ἐπαινέτῃ καὶ ῥήτορι νόμῳ σπουδὴ καὶ ἐκ τῆς τῶν προειληφότων παραθέσεως μείζω δεῖξαι καὶ
650 *κρείττω τὸν ἐπαινούμενον. ἀλλὰ τοῦ μὲν ἀληθοῦς ἥκιστα κήδεται· συνάγει δὲ καὶ περιβάλλει τοῦτο ἐκεῖνο οὐχ ἧττον ἢ αἱ χελιδόνες τὰ κάρφη, τὰ μὲν ἐκ γειτόνων, τὰ πλείω δὲ ἅπερ μηδ' ἄν ποτε ὁ ἐπαινούμενος ἢ εἶδεν ἢ ἐπακήκοεν· εἰ δέ τι που καὶ σχοίη τῆς ἐσχατιᾶς τῶν κα-*
655 *λῶν, καὶ ὑπὲρ τὰ Γάδειρα τοῦτο τοῖς εὐφημοῦσιν ἐκτείνεται. εὐξαίμην δ' ἂν ἐγὼ τούτῳ τῷ ἐπιτάγματι εἶξαι καὶ καθ' ἕνα τῶν προλαβόντων τὸ ὑπερέχον ὑποδηλῶσαι τοῦ κήρυκος, οὕτω τῷ ἐμφύτῳ τῆς ἀρετῆς βρύοντος, ὡς καὶ πολλοὺς τοῖς ἐκείνου περιττοῖς ἔχειν ἀσυγκρίτους ἀποδει-*

642–643 Ps. 106,29 et Ps. 67,10 **643–644** Heb. 11,38 **644–645** cf. 1 Cor. 9,21 **645–646** cf. 2 Cor. 6,10 **655** Gades finem facultatum significat. cf. CPG II 661,19

643 *μεταβάλλουσιν* vm *μεταβάλουσιν* t **644** *τῷ ὑποδείγματι* om. t *καρτερώτεροι* vm *καρτερότερον* t **644–645** *ἐν μέσοις ἐννομώτεροι οἱ* om. t **645** *ἂν* om. t **651** *ἐκεῖνο* vm *ἐκείνω* t **653** *πλείω* om. t *ἄν* om. t **654** *ἐπακήκοεν* vm *ἤκουσεν* t **656** *δ'* om. t **657** *προλαβόντων* vm *προβαλόντων* t **659** *ἀποδεικνῦναι* vm *ὑποδεικνῦναι* t

κνύναι, ἀλλ' ὁ λόγος αὐτός, ἡ αὐτοσοφία, ἡ ὄντως ἀλή- 660
θεια, ἑνὶ ῥηματίῳ τὴν τῶν τοιούτων ἄβυσσον συνεκλεί-
σατο, 'μείζων Ἰωάννου' φάμενος 'οὐδεὶς ἐν γεννητοῖς γυ-
ναικῶν ἐξεγήγερται' οὐ τῶν πρὸ νόμου, οὐ τῶν ἐν νόμῳ,
οὐ τῶν τῆς αὐλῆς, οὐ τῶν θύραθεν, οὐ τῶν ὅλων οὐδείς,
εἴπερ ἅπαντες τέκνα γυναικῶν, ὡς εἶναι τῆς ἀνθρωπίνης 665
φύσεως κορωνίδα τὸν Βαπτιστὴν καὶ κεφάλαιον. οὐ πε-
ριττὸς οὖν ἔγωγ' ἂν μόνον εἴην ἀλλὰ καὶ θρασύς, θείοις
ἐπιβάλλων συγκρίμασι.

Ταῦτά σοι καὶ ὅσα μυρία οὐδὲ πολλοστόν τι μέρος τῆς
σῆς πολυειδοῦς ἀρετῆς καὶ θειότητος ἀλλ' οἷον ῥανίς, πρὸς 670
ἀχανὲς σταθμώμενα πέλαγος, ἢ τῶν ἐπ' αἰγιαλῷ ψηφίς,
πρός τι τῶν μεγάλων καὶ ἐπὶ μήκιστον ἀναδεδραμηκότων
ὀρέων. καὶ τί γὰρ χρὴ παθεῖν ἄνδρα, ἔνθεν μὲν τῷ ὑμε-
τέρῳ πόθῳ διαφλεγόμενον, ἔνθεν δὲ οὐδ' ἄκρῳ δακτύλῳ
τοῦ τῆς σοφίας γευσάμενον μέλιτος; ἀλλὰ σὺ τῷ φίλτρῳ 675
γε καὶ τῇ πίστει καὶ μόνοις προσέχοις (ὁπόσον γὰρ ἀποδεῖ
τὰ τοῦ λόγου, ἐπὶ πλέον τὰ τῆς στοργῆς ὑπερτερεῖ καὶ
ὑπέρκειται· αἱρέσει δὲ καὶ οὐχὶ ὄγκῳ τὰ προσαγόμενα κρί-

660–662 cf. Apoc. 20,3 **662–663** Matt. 11,11 **664** cf. Io. 10,16 **671** Luc. Tim. 56,10–11 (Macleod), Luc. de parasito 52,12; cf. Psell. orat. 18,42 Littlewood **674–675** cf. CPG II 5,29

660 *αὐτὸς* ⟨*ἑαυτῷ*⟩ t **661** *τοιούτων* vm *τῇδε* t **663** *οὐ*[2] vm *καὶ* t **664** *οὐ*[2] vm *καὶ* t **666** *καὶ κεφάλαιον* om. t **667** *οὖν* om. t *ἂν μόνον εἴην* vm *ἂν εἴη καὶ μόνων* t **669** *σοι* vm *μοι* t *ὅσα μυρία* om. t *τι* om. t *μέρος* ⟨*τῇ*⟩ *τῆς* t **671** *ἐπ' αἰγιαλῷ* om. t **672** *πρός τι τῶν μεγάλων* vm *πρός μετ' ἄλλα* t **673** *καὶ* om. t *ὑμετέρῳ* vm *ἡμετέρῳ* t **675** *γευσάμενον* vm *ἀπογευσάμενον* t **676** *γε* om. t *καὶ* om. v *μόνοις* vm *μόνος* t *γὰρ* ⟨*καὶ*⟩ *ἀποδεῖ* v

νεται) καὶ δοίης τοῖς μὲν συνειλεγμένοις ὅτιπερ ἕκαστος
680 *ἐξαιτοίη (τί γὰρ οὐκ ἔστι σοι, τῇ τῶν ἀγαθῶν πηγῇ πλησιάσαντι;) τῷ δὲ τῶν τοιούτων κατατολμήσαντι, τὰ σύντροφα τῶν κακῶν ἀπομεμαθηκότι, μεταμαθεῖν, εἰ καὶ ὀψέ, τὰ βελτίονα· καὶ τὸ ἁλμυρὸν καὶ ἄποτον ῥεῦμα τοῦτο ἐπὶ σοί γε κυβερνήτῃ καλῶς διαπεπλευκότι χρηστοτέραις ἐλ-*
685 *πίσι τῷ ἀκλύστῳ καθορμισθῆναι λιμένι, ἐν αὐτῷ Χριστῷ τῷ βασιλεῖ τῶν αἰώνων, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.*

679–680 cf. Matt. 18,19–20

679 *μὲν* om. t *συνειλεγμένοις* mt *συνηλεγμένοις* v **681** *τὰ σύντροφα* vm *τὴν σὴν τροφόν* t **682** *εἰ καὶ ὀψέ* vm *ὀψέ ποτε* t **683–685** *καὶ*[2] *-λιμένι* om. t et mg. "Hic quinque lineae seu versus desunt. Vide Cod. Ms. Hist. Graec. N. XIV fol. 305 pag. 1 colum. 2" **685–686** *χριστῷ τῷ βασιλεῖ* vm *χριστῷ τῷ κυρίῳ ἡμῶν* t **686** *τῶν αἰώνων* om. t **687** *ἀμήν* codd. *εἰς τὸν ἅγιον ἰωάννην τόν πρόδρομον* add. m solus

INITIA

INDEX LOCORVM

** emendationem aut coniecturam significat

SEPTVAGINTA

NOVVM TESTAMENTVM

INDEX NOMINVM

INDEX VERBORVM

** emendationem aut coniecturam significat